Η. Ἱππονίκῳ δὲ, τῷ Καλλίου πατρὶ, καὶ δόξαν ἔχοντι μεγάλην καὶ δυνάμιν ἀπὸ πλούτου καὶ γένους, ἐνέτριψε κόνδυλον, οὐχ ὑπ' ὀργῆς ἢ διαφορᾶς τινος προαχθείς, ἀλλ' ἐπὶ γέλωτι, συνθέμενος πρὸς τοὺς ἑταίρους. Περιβοήτου δὲ τῆς ἀσελγείας ἐν τῇ πόλει γενομένης, καὶ συναγανακτούντων, ὥσπερ εἰκὸς, ἁπάντων, ἅμ' ἡμέρᾳ παρῆν ὁ Ἀλκιβιάδης ἐπὶ τὴν οἰκίαν τοῦ Ἱππονίκου, καὶ τὴν θύραν κόψας, εἰσῆλθε πρὸς αὐτὸν, καὶ θεὶς τὸ ἱμάτιον, παρεδίδου τὸ σῶμα μαστιγοῦν καὶ κολάζειν κελεύων. Ὁ δὲ συνέγνω, καὶ τὴν ὀργὴν ἀφῆκεν· ὕστερον δὲ (καὶ) τῆς θυγατρὸς Ἱππαρέτης ἐποιήσατο νυμφίον. Ἔνιοι δέ φασιν, οὐχ Ἱππόνικον, ἀλλὰ Καλλίαν, τὸν υἱὸν αὐτοῦ, δοῦναι τῷ Ἀλκιβιάδῃ τὴν Ἱππαρέτην ἐπὶ δέκα ταλάντοις· εἶτα μέντοι τεκούσης, ἀλλὰ πάλιν δέκα προσ-

εισπρᾶξαι τὸν Ἀλκιβιάδην, ὡς τοῦτο συνθέμενον, εἰ γένοιντο παῖδες. Ὁ δὲ Καλλίας ἐπιβουλὴν δεδοικὼς, προσῆλθε τῷ δήμῳ τὰ χρήματα διδοὺς καὶ τὸν οἶκον, ἂν περ αὐτῷ συμπέσῃ μὴ καταλιπόντι γενεὰν ἀποθανεῖν. Εὔτακτος δ' οὖσα καὶ φίλανδρος ἡ Ἱππαρέτη, λυπουμένη δ' ὑπ' αὐτοῦ περὶ τὸν γάμον, ἑταίραις ξέναις καὶ ἀσταῖς συνόντος, ἐκ τῆς οἰκίας ἀπιοῦσα, πρὸς τὸν ἀδελφὸν ᾤχετο. Τοῦ δ' Ἀλκιβιάδου μὴ φροντίζοντος, ἀλλὰ τρυφῶντος, ἔδει τὸ τῆς ἀπολείψεως γράμμα παρὰ τῷ ἄρχοντι θέσθαι, μὴ δι' ἑταίρων, ἀλλ' αὐτὴν παροῦσαν. Ὡς οὖν παρῆν τοῦτο πράξουσα κατὰ τὸν νόμον, ἐπεξελθὼν ὁ Ἀλκιβιάδης, καὶ συναρπάσας αὐτὴν, ἀπῆλθε δι' ἀγορᾶς οἴκαδε κομίζων, μηδενὸς ἐναντιωθῆναι, μηδ' ἀφελέσθαι τολμήσαντος. Ἔμεινε μέντοι παρ' αὐτῷ μέχρι τελευτῆς. Ἐτελεύτησε δὲ μετ' οὐ πολὺν χρόνον, εἰς Ἔφεσον τοῦ Ἀλκιβιάδου πλεύσαντος. Αὕτη μὲν οὖν οὐ παντελῶς ἔδοξεν ἡ βία παράνομος, οὐδ' ἀπάνθρωπος εἶναι. Καὶ γὰρ ὁ νόμος δοκεῖ διὰ τοῦτο προάγειν τὴν ἀπολείπουσαν εἰς τὸ δημόσιον αὐτὴν, ὅπως ἐγγένηται τῷ ἀνδρὶ συμβῆναι καὶ κατασχεῖν.

Θ. Ὄντος δὲ κυνὸς αὐτῷ θαυμαστοῦ τὸ μέγεθος καὶ τὸ εἶδος, ὃν ἑβδομήκοντα μνῶν ὠνημένος ἐτύγχανεν, ἀπέκοψε τὴν οὐρὰν, πάγκαλον οὖσαν· Ἐπιτιμώντων δὲ τῶν συνήθων, καὶ λεγόντων, ὅτι πάντες ἐπὶ τῷ κυνὶ δάκνονται καὶ λοιδοροῦσιν αὐτὸν, ἐπιγελάσας· Γίνεται τοίνυν, εἶπεν, ὃ βούλομαι. Βούλομαι γὰρ Ἀθηναίους τοῦτο λαλεῖν, ἵνα μή τι χεῖρον περὶ ἐμοῦ λέγωσι.

1. Πρώτην δ' αὐτῷ πάροδον εἰς τὸ δημόσιον γενέσθαι λέγουσι μετὰ χρημάτων ἐπιδόσεως, οὐκ ἐκ παρασκευῆς, ἀλλὰ παριόντα, θορυβούντων Ἀθηναίων, ἔρεσθαι τὴν αἰτίαν τοῦ θορύβου· πυθόμενον δὲ, χρημάτων ἐπίδοσιν γίνεσθαι, παρελθεῖν καὶ ἐπιδοῦναι· τοῦ δὲ δήμου κροτοῦντος καὶ βοῶντος, ὑφ' ἡδονῆς ἐπιλαθέσθαι τοῦ ὄρτυγος, ὃν ἐτύγχανεν ἔχων ἐν τῷ ἱματίῳ. Πτοηθέντος οὖν καὶ διαφυγόντος, ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς Ἀθη-

ναίους, πολλοὺς δὲ συνθηρᾶν ἀναζάντας, λαβεῖν δ' αὐτὸν Ἀντίοχον τὸν κυβερνήτην, καὶ ἀποδοῦναι· διὸ καὶ προσφιλέστατον τῷ Ἀλκιβιάδῃ γενέσθαι· Μεγάλας δ' αὐτῷ κλεισιάδας ἐπὶ τὴν πολιτείαν ἀνοίγοντος τοῦ τε γένους καὶ τοῦ πλούτου, τῆς τε περὶ τὰς μάχας ἀνδραγαθίας, φίλων τε πολλῶν καὶ οἰκείων ὑπαρχόντων, ἀπ' οὐδενὸς ἠξίου μᾶλλον, ἢ τῆς τοῦ λόγου χάριτος, ἰσχύειν ἐν τοῖς πολλοῖς. Καὶ ὅτι μὲν δυνατὸς ἦν εἰπεῖν, οἵ τε κωμικοὶ μαρτυροῦσι, καὶ τῶν ῥητόρων ὁ δυνατώτατος ἐν τῷ κατὰ Μειδίου, λέγων, τὸν Ἀλκιβιάδην καὶ δεινότατον εἰπεῖν γενέσθαι πρὸς τοῖς ἄλλοις. Εἰ δὲ Θεοφράστῳ πιστεύομεν, ἀνδρὶ φιλικῷ καὶ ἱστορικῷ παρ' ὀντινοῦν τῶν φιλοσόφων, εὑρεῖν μὲν ἦν τὰ δέοντα καὶ νοῆσαι πάντων ἱκανώτατος ὁ Ἀλκιβιάδης· ζητῶν δὲ μὴ μόνον, ἃ δεῖ λέγειν, ἀλλὰ καὶ ὡς δεῖ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν, οὐκ εὐπορῶν δὲ, πολλάκις ἐσφάλλετο, καὶ μεταξὺ λέγων, ἀπεσιώπα καὶ διέλειπε, λέξεως διαφυγούσης αὐτὸν, ἀναλαμβάνων καὶ διασκοπούμενος.

ΙΑ. Αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων· ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν Ὀλυμπιάσιν ἰδιώτης, οὐδὲ βασιλεὺς, μόνος δ' ἐκεῖνος. Καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον, ὡς Θουκυδίδης φησιν, ὁ δ' Εὐριπίδης, τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. Λέγει δ' ὁ Εὐριπίδης ἐν τῷ ᾄσματι ταῦτα·

Σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ.
Καλὸν ἁ νίκα· κάλλιστον δ'
(Ὃ μηδεὶς ἄλλος Ἑλλάνων)
Ἅρματι πρῶτα δραμεῖν,
Καὶ δεύτερα, καὶ τρίτα,
Βῆναι δ' ἀπουνῆι,
Τρὶς σφθέντ' ἐλαίᾳ
Κάρυκι βοᾷν παραδοῦναι.

ΙΒ. Τοῦτο μέντοι τὸ λαμπρὸν ἐπιφανέστερον ἐποίησεν ἡ τῶν πόλεων φιλοτιμία. Σκηνὴν μὲν γὰρ αὐτῷ κεκοσμημένην διαπρεπῶς ἔστησαν Ἐφέσιοι, τροφὰς δὲ ἵπποις καὶ πλῆθος ἱερείων παρεῖχεν ἡ Χίων πόλις, οἶνον δὲ Λέσβιοι, καὶ τὴν ἄλλην ὑποδοχὴν, ἀφειδῶς ἑστιῶντι πολλούς. Καὶ μὴν καὶ διαβολή τις ἢ κακοήθεια γενομένη περὶ τὴν φιλοτιμίαν ἐκείνην πλείονα λόγον παρέσχε. Λέγεται γὰρ, ὡς ἦν Ἀθήνησι Διομήδης, ἀνὴρ οὐ πονηρὸς, Ἀλκιβιάδου φίλος, ἐπιθυμῶν δὲ νίκην Ὀλυμπικὴν αὐτῷ γενέσθαι, καὶ πυνθανόμενος ἅρμα δημόσιον Ἀργείοις εἶναι, τὸν Ἀλκιβιάδην εἰδὼς ἐν Ἄργει μέγα δυνάμενον καὶ φίλους ἔχοντα πολλοὺς, ἔπεισεν αὐτῷ πρίασθαι τὸ ἅρμα. Πριάμενος δ' ὁ Ἀλκιβιάδης, ἴδιον ἀπεγράψατο, τὸν δὲ Διομήδη χαίρειν εἴασε χαλεπῶς φέροντα καὶ μαρτυρόμενον θεοὺς καὶ ἀνθρώπους. Φαίνεται δὲ καὶ δίκη συχνὰ περὶ τούτου, καὶ λόγος Ἰσοκράτει γέγραπται περὶ τοῦ ζεύγους ὑπὲρ τοῦ Ἀλκιβιάδου παιδὸς, ἐν ᾧ Τισίας ἐστὶν, οὐ Διομήδης, ὁ δικασάμενος.

ΙΓ. Ἐπεὶ δ' ἀφῆκεν αὐτὸν εἰς τὴν πολιτείαν ἔτι μειράκιον ὤν, τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγοὺς, ἀγῶνα δ' εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου, καὶ Νικίαν τὸν Νικηράτου· τὸν μὲν, ἤδη καθ' ἡλικίαν προήκοντα, καὶ στρατηγὸν ἄριστον εἶναι δοκοῦντα· Φαίακα δ', ἀρχόμενον, ὥσπερ αὐτὸς, αὐξάνεσθαι τότε, καὶ γνωρίμων ὄντα πατέρων, ἐλαττούμενον δὲ τοῖς τ' ἄλλοις καὶ περὶ τὸν λόγον. Ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον, ἢ φέρειν ἀγῶνας ἐν δήμῳ δυνατός. Ἦν γὰρ, ὡς Εὔπολίς φησι,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

Φέρεται δὲ καὶ λόγος τις κατ' Ἀλκιβιάδου ὑπὸ Φαίακος γεγραμμένος, ἐν ᾧ μετὰ τῶν ἄλλων γέγραπται, καὶ ὅτι, τῆς πόλεως πολλὰ πομπεῖα χρυσᾶ καὶ ἀργυρᾶ κεκτημένης, Ἀλκιβιάδης ἐχρῆτο πᾶσιν αὐτοῖς ὥσπερ ἰδίοις πρὸς τὴν καθ' ἡμέραν δίαιταν.

Ἦν δέ τις Ὑπέρβολος Περιθοίδης, οὗ μέμνηται μὲν ὡς ἀνθρώπου πονηροῦ καὶ Θουκυδίδης, τοῖς δὲ κωμικοῖς ὁμοῦ τι πᾶσι διατριβὴν ἀεὶ σκωπτόμενος ἐν τοῖς θεάτροις παρεῖχεν. Ἄτρεπτος δὲ πρὸς τὸ κακῶς ἀκούειν καὶ ἀπαθὴς ὤν, ὀλιγωρίᾳ δόξης, ἣν ἀναισχυντίαν καὶ ἀπόνοιαν οὖσαν, εὐτολμίαν ἔνιοι καὶ ἀνδρείαν καλοῦσιν, οὐδενὶ μὲν ἤρεσκεν, ἐχρῆτο δ' αὐτῷ πολλάκις ὁ δῆμος, ἐπιθυμῶν προπηλακίζειν τοὺς ἐν ἀξιώματι καὶ συκοφαντεῖν. Ἀναπεισθεὶς οὖν ὑπ' αὐτοῦ τότε, τὸ ὄστρακον ἐπιφέρειν ἔμελλεν, ᾧ κολούοντες ἀεὶ τὸν προὔχοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν ἐλαύνουσι, παραμυθούμενοι τὸν φθόνον μᾶλλον, ἢ τὸν φόβον. Ἐπεὶ δὲ δῆλον ἦν, ὅτι ἑνὶ τῶν τριῶν τὸ ὄστρακον ἐποίσουσι, συνήγαγε τὰς σάσεις εἰς ταὐτὸν ὁ Ἀλκιβιάδης, καὶ διαλεχθεὶς πρὸς τὸν Νικίαν, κατὰ τοῦ Ὑπερβόλου τὴν ὀστρακοφορίαν ἔτρεψεν. Ὡς δ' ἔνιοί φασιν, οὐ πρὸς Νικίαν, ἀλλὰ πρὸς Φαίακα διαλεχθείς, καὶ τὴν ἐκείνου προσλαβὼν ἑταιρίαν, ἐξήλασε τὸν Ὑπέρβολον, οὐδ' ἂν προσδοκήσαντα. Φαῦλος γὰρ οὐδεὶς ἐνέπιπτεν εἰς τοῦτον τὸν κολασμόν, οὐδ' ἄδοξος, ὥσπερ καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε τοῦ Ὑπερβόλου μνησθείς·

> Καί τι πέπραχε τῶν τρόπων μὲν ἄξια,
> Αὐτοῦ δὲ καὶ τῶν σιγμάτων ἀνάξια.
> Οὐ γὰρ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.

Περὶ μὲν οὖν τούτων ἐν ἑτέροις μᾶλλον εἴρηται τὰ ἰσορούμενα.

ΙΔ. Τὸν δ' Ἀλκιβιάδην ὁ Νικίας οὐχ ἧττον ἠνία θαυμαζόμενος ὑπὸ τῶν πολεμίων, ἢ τιμώμενος ὑπὸ τῶν πολιτῶν. Πρόξενος μὲν γὰρ ἦν ὁ Ἀλκιβιάδης τῶν Λακεδαιμονίων καὶ τοὺς ἁλόντας αὐτῶν περὶ Πύλον ἄνδρας ἐθεράπευσεν. Ἐπεὶ δ' ἐκεῖνοί τε διὰ Νικίου μάλιστα τῆς εἰρήνης τυχόντες, καὶ τοὺς ἄνδρας ἀπολαβόντες, ὑπερηγάπων αὐτόν· ἔν τε τοῖς Ἕλλησι λόγος ἦν, ὡς Περικλέους μὲν συνάψαντος αὐτοῖς, Νικίου δὲ λύσαντος τὸν πόλεμον, οἵ τε πλεῖστοι τὴν εἰρήνην, Νικίειον ὠνόμαζον· οὐ

μετρίως ἀνιώμενος ὁ Ἀλκιβιάδης καὶ φθονῶν, ἐβούλευε σύγχυσιν ὁρκίων. Καὶ πρῶτον μὲν Ἀργείους αἰσθανόμενος μίσει καὶ φόβῳ τῶν Σπαρτιατῶν ζητοῦντας ἀποστροφήν, ἐλπίδας αὐτοῖς ἐνεδίδου κρύφα τῆς Ἀθηναίων συμμαχίας, καὶ παρεθάρρυνε πέμπων καὶ διαλεγόμενος τοῖς προεστῶσι τοῦ δήμου, μὴ δεδιέναι, μηδ' ὑπείκειν Λακεδαιμονίοις, ἀλλὰ πρὸς Ἀθηναίους τρέπεσθαι, καὶ περιμένειν ὅσον οὐδέπω μεταμελομένους καὶ τὴν εἰρήνην ἀφιέντας. Ἐπεὶ δὲ Λακεδαιμόνιοι πρός τε τοὺς Βοιωτοὺς ἐποιήσαντο συμμαχίαν, καὶ Πάνακτον οὐχ ἔσωσαν, ὥσπερ ἔδει, τοῖς Ἀθηναίοις παρέδωκαν, ἀλλὰ καταλύσαντες, ὀργιζομένους λαβὼν τοὺς Ἀθηναίους, ἔτι μᾶλλον ἐξετράχυνε. Καὶ τὸν Νικίαν ἐθορύβει καὶ διέβαλλεν εἰκότα κατηγορῶν, ὅτι τοὺς ἐν Σφακτηρίᾳ τῶν πολεμίων ἀπολῃφθέντας, αὐτὸς μὲν οὐκ ἠθέλησεν ἐξελεῖν στρατηγῶν, ἑτέρων δ' ἐξελόντων ἀφῆκε καὶ ἀπέδωκε, χαριζόμενος Λακεδαιμονίοις· εἶτ' ἐκείνους μὲν οὐκ ἔπεισε, φίλος ὢν, Βοιωτοῖς μὴ συνόμνυσθαι, μηδὲ Κορινθίοις, Ἀθηναίοις δὲ κωλύει τὸν βουλόμενον τῶν Ἑλλήνων φίλον εἶναι καὶ σύμμαχον, εἰ μὴ δόξει Λακεδαιμονίοις. Ἐκ δὲ τούτου κακῶς φερομένῳ τῷ Νικίᾳ παρῆσαν ὥσπερ κατὰ τύχην πρέσβεις ἀπὸ τῆς Λακεδαίμονος, αὐτόθεν τε λογους ἐπιεικεῖς ἔχοντες, καὶ πρὸς πᾶν τὸ συμβιβαστικὸν καὶ δίκαιον αὐτοκράτορες ἥκειν φάσκοντες. Ἀποδεξαμένης δὲ τῆς βουλῆς, τοῦ δὲ δήμου τῇ ὑστεραίᾳ μέλλοντος ἐκκλησιάζειν, δείσας ὁ Ἀλκιβιάδης, διεπράξατο τοὺς πρέσβεις ἐν λόγοις γενέσθαι πρὸς αὐτόν. Ὡς δὲ συνῆλθον, ἔλεγε· « Τί πεπόνθατε, ἄνδρες Σπαρτιᾶται; πῶς ἔλαθεν ὑμᾶς, ὅτι τὰ τῆς βουλῆς ἀεὶ μέτρια καὶ φιλάνθρωπα πρὸς τοὺς ἐντυγχάνοντάς ἐστιν, ὁ δὲ δῆμος μέγα φρονεῖ, καὶ μεγάλων ὀρέγεται; κἂν φάσκητε κύριοι πάντων ἀφῖχθαι, προσάττων καὶ βιαζόμενος ἀγνωμονήσει. Φέρε δὲ, τὴν εὐήθειαν ταύτην ἀφέντες, εἰ βούλεσθε χρήσασθαι μετρίοις Ἀθηναίοις, καὶ μηδὲν ἐκβιασθῆναι παρὰ γνώμην, οὕτω

διαλέγεσθε περὶ τῶν δικαίων, ὡς οὐκ ὄντες αὐτοκράτορες. Συμπράξομεν δ' ἡμεῖς Λακεδαιμονίοις χαριζόμενοι.» Ταῦτα δ' εἰπὼν ὅρκους ἔδωκεν αὐτοῖς, καὶ μετέστησεν ἀπὸ τοῦ Νικίου παντάπασι πιστεύοντας αὐτῷ, καὶ θαυμάζοντας αὐτοῦ ἅμα τὴν δεινότητα καὶ σύνεσιν, ὡς οὐ τυχόντος ἀνδρὸς οὖσαν. Τῇ δ' ὑστεραίᾳ συνήχθη μὲν ὁ δῆμος, εἰσῆλθον δ' οἱ πρέσβεις. Ἐρωτώμενοι δ' ὑπὸ τοῦ Ἀλκιβιάδου πάνυ φιλανθρώπως, ἐφ' οἷς ἀφιγμένοι τυγχάνουσιν, οὐκ ἔφασαν ἥκειν αὐτοκράτορες. Εὐθὺς οὖν ὁ Ἀλκιβιάδης ἐνέκειτο μετὰ κραυγῆς καὶ ὀργῆς, ὥσπερ οὐκ ἀδικῶν, ἀλλ' ἀδικούμενος, ἀπίστους καὶ παλιμβόλους ἀποκαλῶν, καὶ μηδὲν ὑγιὲς μήτε πράξειν, μήτ' εἰπεῖν ἥκοντας. Ἐπηγανάκτει δ' ἡ βουλὴ, καὶ ὁ δῆμος ἐχαλέπαινε· τὸν δὲ Νικίαν ἔκπληξις εἶχε καὶ κατήφεια τῶν ἀνδρῶν τῆς μεταβολῆς, ἀγνοοῦντα τὴν ἀπάτην καὶ τὸν δόλον.

ΙΕ. Οὕτω δὲ τῶν Λακεδαιμονίων ἐκπεσόντων, στρατηγὸς ἀποδειχθεὶς ὁ Ἀλκιβιάδης, εὐθὺς Ἀργείους καὶ Μαντινεῖς καὶ Ἠλείους συμμάχους ἐποίησε τοῖς Ἀθηναίοις. Καὶ τὸν μὲν τρόπον οὐδεὶς τῆς πράξεως ἐπῆνει, μέγα δ' ἦν τὸ πεπραγμένον ὑπ' αὐτοῦ, διασῆσαι καὶ κραδᾶναι Πελοπόννησον ὀλίγου δεῖν ἅπασαν, καὶ τοσαύτας ἀσπίδας ἐν ἡμέρᾳ μιᾷ περὶ Μαντίνειαν ἀντιτάξαι Λακεδαιμονίοις, καὶ πορρωτάτω τῶν Ἀθηνῶν ἀγῶνα κατασκευάσαι καὶ κίνδυνον αὐτοῖς, ἐν ᾧ μέγα μὲν οὐδὲν ἡ νίκη προσέθηκε κρατήσασιν, εἰ δ' ἐσφάλησαν, ἔργον ἦν τὴν Λακεδαίμονα περιγενέσθαι. Μετὰ δὲ τὴν μάχην εὐθὺς ἐπέθεντο καταλύειν ἐν Ἄργει τὸν δῆμον οἱ Χίλιοι, καὶ τὴν πόλιν ὑπήκοον ποιεῖν. Λακεδαιμόνιοι δὲ παραγενόμενοι κατέλυσαν τὴν δημοκρατίαν. Αὖθις δὲ τῶν πολλῶν ἐξενεγκαμένων τὰ ὅπλα καὶ κρατησάντων, ἐπελθὼν ὁ Ἀλκιβιάδης, τήν τε νίκην ἐβεβαίωσε τῷ δήμῳ, καὶ τὰ μακρὰ τείχη συνέπεισε καθεῖναι, καὶ προσμίξαντας τῇ θαλάττῃ, τὴν πόλιν ἐξάψαι παντάπασι τῆς Ἀθηναίων δυνάμεως. Καὶ τέκ-

τονας καὶ λιθουργοὺς ἐκ τῶν Ἀθηνῶν ἐκόμισε, καὶ πᾶσαν ἐνεδείκνυτο προθυμίαν, οὐχ ἧττον ἑαυτῷ κτώμενος, ἢ τῇ πόλει, χάριν καὶ ἰσχύν. Ἔπεισε δὲ καὶ Πατρεῖς ὁμοίως τείχεσι μακροῖς συνάψαι τῇ θαλάσσῃ τὴν πόλιν. Εἰπόντος δέ τινος τοῖς Πατρεῦσιν, ὅτι καταπιοῦνται ὑμᾶς Ἀθηναῖοι· Ἴσως, εἶπεν ὁ Ἀλκιβιάδης, κατὰ μικρὸν καὶ κατὰ τοὺς πόδας, Λακεδαιμόνιοι δὲ κατὰ τὴν κεφαλὴν καὶ ἀθρόως. Οὐ μὴν ἀλλὰ καὶ τῆς γῆς συνεβούλευεν ἀντέχεσθαι τοῖς Ἀθηναίοις, καὶ τὸν ἐν Ἀγραύλου προβαλλόμενον ἀεὶ τοῖς ἐφήβοις ὅρκον ἔργῳ βεβαιοῦν. Ὀμνύουσι γὰρ ὅροις χρήσεσθαι τῆς Ἀττικῆς, πυροῖς, κριθαῖς, ἀμπέλοις, ἐλαίαις· οἰκείαν ποιεῖσθαι διδασκόμενοι τὴν ἤμερον καὶ καρποφόρον.

Ις. Ἐν δὲ τοιούτοις πολιτεύμασι καὶ λόγοις, καὶ φρονήμα τι καὶ δεινότητι, πολλὴν αὖ πάλιν τὴν τρυφὴν τῆς διαίτης, καὶ περὶ πότους καὶ ἔρωτας ὑβρίσματα, καὶ θηλύτητας ἐσθήτων ἀλουργῶν ἑλκομένων δι' ἀγορᾶς, καὶ πολυτέλειαν ὑπερήφανον, ἐκτομάς τε καταγρωμάτων ἐν ταῖς τριήρεσιν, ὅπως μαλακώτερον ἐγκαθεύδοι, κειρίαις, ἀλλὰ μὴ σανίσι τῶν γρωμάτων ἐπιβαλλομένων, ἀσπίδος τε διαχρύσου ποίησιν, οὐδὲν ἐπίσημον τῶν πατρίων ἔχουσαν, ἀλλ' Ἔρωτα κεραυνοφόρον. Ἅπερ ὁρῶντες οἱ μὲν ἔνδοξοι μετὰ τοῦ βδελύττεσθαι καὶ δυσχεραίνειν, ἐφοβοῦντο τὴν ὀλιγωρίαν αὐτοῦ καὶ παρανομίαν, ὡς τυραννικὰ καὶ ἀλλόκοτα· τοῦ δὲ δήμου τὸ πάθος τὸ πρὸς αὐτὸν οὐ κακῶς ἐξηγούμενος ὁ Ἀριστοφάνης ταῦτ' εἴρηκε·

Ποθεῖ μέν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.

Ἔτι δὲ μᾶλλον τῇ ὑπονοίᾳ πιέζων·

Μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν·
Ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.

Ἐπιδόσεις γὰρ καὶ χορηγίαι, καὶ φιλοτιμήματα πρὸς τὴν πόλιν ὑπερβολὴν μὴ ἀπολείποντα, καὶ δόξα προγόνων, καὶ λόγου δύναμις, καὶ σώματος εὐπρέπεια, καὶ ῥώμη μετ' ἐμπειρίας τῶν

πολεμικῶν καὶ ἀλκῆς, πάντα τἄλλα συγχωρεῖν ἐποίει καὶ φέρειν μετρίως τοὺς Ἀθηναίους, ἀεὶ τὰ πραότατα τῶν ὀνομάτων τοῖς ἁμαρτήμασι τιθεμένους, παιδιᾶς καὶ φιλανθρωπίας. Οἷον ἦν καὶ τὸ Ἀγάθαρχον τὸν ζωγράφον εἰρξαι, εἶτα γράψαντα τὴν οἰκίαν, ἀφεῖναι δωρησάμενον· καὶ Ταυρέαν ἀντιχορηγοῦντα ῥαπίσαι, φιλοτιμούμενον ὑπὲρ τῆς νίκης· καὶ τὸ Μηλίαν γυναῖκα ἐκ τῶν αἰχμαλώτων ἐξελόμενον, καὶ συνόντα θρέψαι παιδάριον ἐξ αὐτῆς. Καὶ γὰρ τοῦτο φιλάνθρωπον ἐκάλουν. Πλὴν ὅτι τοῦ Μηλίους ἡδέως ἀποσφαγῆναι τὴν πλείστην αἰτίαν ἔσχε, τῷ ψηφίσματι συνειπών. Ἀριστοφῶντος δὲ Νεμέαν γράψαντος, ἐν ταῖς ἀγκάλαις αὐτῆς καθήμενον Ἀλκιβιάδην ἔχουσαν. ἐθεῶντο καὶ συνέτρεχον χαίροντες· οἱ δὲ πρεσβύτεροι καὶ τούτοις ἐδυσχέραινον, ὡς τυραννικοῖς καὶ παρανόμοις. Ἐδόκει δὲ καὶ Ἀρχέστρατος οὐκ ἀπὸ τρόπου λέγειν, ὡς ἡ Ἑλλὰς οὐκ ἂν ἤνεγκε δύο Ἀλκιβιάδας. Ἐπεὶ δὲ Τίμων ὁ μισάνθρωπος εὐημερήσαντα τὸν Ἀλκιβιάδην, καὶ προπεμπόμενον ἀπὸ τῆς ἐκκλησίας ἐπιφανῶς, οὐ παρῆλθεν οὐδ' ἐξέκλινεν, ὥσπερ εἰώθει τοὺς ἄλλους, ἀλλ' ἀπαντήσας καὶ δεξιωσάμενος· Εὖ γ', ἔφη, ποιεῖς αὐξόμενος, ὦ παῖ· μέγα γὰρ αὔξῃ κακὸν ἅπασι τούτοις· οἱ μὲν ἐγέλων, οἱ δ' ἐβλασφήμουν· ἐνίους δὲ καὶ πάνυ τὸ λεχθὲν ἐπέστρεφεν. Οὕτως ἄκριτος ἦν ἡ δόξα περὶ αὐτοῦ διὰ τὴν τῆς φύσεως ἀνωμαλίαν.

ΙΖ. Σικελίας δὲ, καὶ Περικλέους ἔτι ζῶντος, ἐπεθύμουν Ἀθηναῖοι, καὶ τελευτήσαντος ἥπτοντο, καὶ τὰς λεγομένας βοηθείας καὶ συμμαχίας ἔπεμπον, ἑκάστοτε τοῖς ἀδικουμένοις ὑπὸ Συρακουσίων ἐπιβάθρας τῆς μείζονος στρατείας τιθέντες. Ὁ δὲ παντάπασι τὸν ἔρωτα τοῦτον ἀναφλέξας αὐτῶν καὶ πείσας μὴ κατὰ μέρος, μηδὲ κατὰ μικρὸν, ἀλλὰ μεγάλῳ στόλῳ πλεύσαντας ἐπιχειρεῖν καταστρέφεσθαι τὴν νῆσον, Ἀλκιβιάδης ἦν, τόν τε δῆμον μεγάλα πείσας ἐλπίζειν, αὐτός τε μειζόνων ὀρεγόμενος. Ἀρχὴν γὰρ εἶναι, πρὸς ἃ ἠλπίκει, διενοεῖτο τῆς στρατείας οὐ τέλος ὥσπερ οἱ

λοιποὶ, Σικελίαν. Καὶ Νικίας μὲν, ὡς χαλεπὸν ἔργον ὂν τὰς Συρακούσας ἑλεῖν, ἀπέτρεπε τὸν δῆμον· Ἀλκιβιάδης δὲ Καρχηδόνα καὶ Λιβύην ὀνειροπολῶν, ἐκ δὲ τούτων προσγενομένων, Ἰταλίαν καὶ Πελοπόννησον ἤδη περιβαλλόμενος, ὀλίγου δεῖν ἐφόδια τοῦ πολέμου Σικελίαν ἐποιεῖτο. Καὶ τοὺς μὲν νέους αὐτόθεν εἶχεν ἤδη ταῖς ἐλπίσιν ἐπηρμένους· τῶν δὲ πρεσβυτέρων ἠκροῶντο πολλὰ θαυμάσια περὶ τῆς στρατείας περαινόντων, ὥστε πολλοὺς ἐν ταῖς παλαίστραις καὶ τοῖς ἡμικυκλίοις καθέζεσθαι, τῆς τε νήσου τὸ σχῆμα καὶ θέσιν Λιβύης καὶ Καρχηδόνος ὑπογράφοντας. Σωκράτη μέντοι τὸν φιλόσοφον, καὶ Μέτωνα τὸν ἀστρολόγον, οὐδὲν ἐλπίσαι τῇ πόλει χρηστὸν ἀπὸ τῆς στρατείας ἐκείνης λέγουσι· ὁ μὲν, ὡς ἔοικε, τοῦ συνήθους δαιμονίου γενομένου καὶ προσημαίνοντος· ὁ δὲ Μέτων, εἴτε δείσας ἐκ λογισμοῦ τὸ μέλλον, εἴτε μαντικῆς τινὶ τρόπῳ χρησάμενος, ἐσκήψατο μεμηνέναι, καὶ λαβὼν δᾷδα καιομένην, οἷος ἦν αὐτοῦ τὴν οἰκίαν ὑφάπτειν. Ἔνιοι δέ φασι, προσποίημα μὲν μανίας μηδὲν ἐσκευάσθαι τὸν Μέτωνα, καταπρῆσαι δὲ τὴν οἰκίαν νύκτωρ, εἶθ', ἕωθεν προελθόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἐπὶ συμφορᾷ τηλικαύτῃ τὸν υἱὸν αὐτῷ παραθῆναι τῆς στρατείας. Ἐκεῖνος μὲν οὖν ἔτυχεν ὧν ἠξίου, παρακρουσάμενος τοὺς πολίτας.

III. Ὁ δὲ Νικίας ἄκων μὲν ἡρέθη στρατηγὸς, οὐχ ἧκιστα τὴν ἀρχὴν καὶ διὰ τὸν συνάρχοντα φεύγων. Ἐραίνετο γὰρ τοῖς Ἀθηναίοις τὰ τοῦ πολέμου βέλτιον ἕξειν, μὴ προϊεμένοις τὸν Ἀλκιβιάδην ἄκρατον, ἀλλὰ μιχθείσης πρὸς τὴν τόλμαν αὐτοῦ τῆς Νικίου προνοίας. Καὶ γὰρ ὁ τρίτος στρατηγὸς Λάμαχος ἡλικίᾳ προήκων, ὅμως ἐδόκει μηδὲν ἧττον εἶναι τοῦ Ἀλκιβιάδου διάπυρος καὶ φιλοκίνδυνος ἐν τοῖς ἀγῶσι. Βουλευομένων δὲ περὶ πλήθους καὶ τρόπου παρασκευῆς, ἐπεχείρησεν αὖθις ὁ Νικίας ἐνίσασθαι καὶ καταπαύειν τὸν πόλεμον. Ἀντειπόντος δὲ τοῦ Ἀλκιβιάδου καὶ κρατήσαντος, ἔγραψε τῶν ῥητόρων Δημόστρατος, καὶ εἶπεν,

εἶπεν, ὡς χρὴ τοὺς στρατηγοὺς αὐτοκράτορας εἶναι καὶ τῆς παρασκευῆς καὶ τοῦ πολέμου παντός. Ἐπιψηφισαμένου δὲ τοῦ δήμου, καὶ γενομένων ἑτοίμων πάντων πρὸς τὸν ἔκπλουν, οὐ χρηστὰ παρῆν οὐδὲ τὰ τῆς ἑορτῆς. Ἀδωνίων γὰρ εἰς τὰς ἡμέρας ἐκείνας καθηκόντων, εἴδωλα πολλαχοῦ νεκροῖς ἐκκομιζομένοις ὅμοια προὔκειντο ταῖς γυναιξὶ, καὶ ταφὰς ἐμιμοῦντο κοπτόμεναι, καὶ θρήνους ᾖδον. Ἡ μέντοι τῶν Ἑρμῶν περικοπὴ, μιᾷ νυκτὶ τῶν πλείστων ἀκρωτηριασθέντων τὰ πρόσωπα, πολλοὺς καὶ τῶν περιφρονούντων τὰ τοιαῦτα διετάραξεν. Ἐλέχθη μὲν οὖν, ὅτι Κορίνθιοι διὰ τοὺς Συρακουσίους ἀποίκους ὄντας, ὡς ἐπισχέσεως ἐσομένης πρὸς τῶν οἰωνῶν, ἢ μεταγνώσεως τοῦ πολέμου, ταῦτα δράσειαν. Οὐ μὴν ἥπτετό γε τῶν πολλῶν οὔθ' οὗτος ὁ λόγος, οὔθ' ὁ τῶν σημείων δεινὸν εἶναι μηδὲν οἰομένων, ἀλλ' οἷα φιλεῖ φέρειν ἄκρατος ἀκολάστως νέων εἰς ὕβριν ἐκ παιδιᾶς, ὑποφερομένων· ὀργὴ δ' ἅμα καὶ φόβῳ τὸ γεγονὸς λαμβάνοντες, ὡς ἀπὸ συνωμοσίας ἐπὶ πράγμασι μεγάλοις τετολμημένον, ἅπασαν ἐξήταζον ὑπόνοιαν πικρῶς, ἥτε βουλὴ συνιοῦσα περὶ τούτων, καὶ ὁ δῆμος ἐν ὀλίγαις ἡμέραις πολλάκις.

ΙΘ. Ἐν δὲ τούτῳ δούλους τινὰς καὶ μετοίκους προήγαγεν Ἀνδροκλῆς ὁ δημαγωγὸς, ἄλλων τ' ἀγαλμάτων περικοπὰς, καὶ μυστηρίων παρ' οἶνον ἀπομιμήσεις, τοῦ Ἀλκιβιάδου καὶ τῶν φίλων κατηγοροῦντας. Ἔλεγον δὲ, Θεόδωρον μέν τινα δρᾶν τὰ τοῦ κήρυκος, Πολυτίωνα δὲ τὰ τοῦ δαδούχου, τὰ δὲ τοῦ ἱεροφάντου τὸν Ἀλκιβιάδην, τοὺς δ' ἄλλους ἑταίρους παρεῖναι καὶ μυεῖσθαι, μύσας προσαγορευομένους. Ταῦτα γὰρ ἐν τῇ εἰσαγγελίᾳ γέγραπται Θεσσαλοῦ τοῦ Κίμωνος εἰσαγγείλαντος Ἀλκιβιάδην ἀσεβεῖν περὶ τὼ θεώ. Τραχυνομένου δὲ τοῦ δήμου, καὶ πικρῶς πρὸς Ἀλκιβιάδην ἔχοντος, καὶ τοῦ Ἀνδροκλέους (ἦν γὰρ οὗτος ἐχθρὸς ἐν τοῖς μάλιστα τοῦ Ἀλκιβιάδου) παροξύνοντος, ἐν ἀρχῇ μὲν ἐταράχθησαν οἱ περὶ τὸν Ἀλκιβιάδην. Αἰσθόμενοι

δὲ, τούς τε ναύτας, ὅσοι πλεῖν ἔμελλον εἰς Σικελίαν, εὔνους ὄντας αὐτοῖς, καὶ τὸ στρατιωτικὸν, Ἀργείων δὲ καὶ Μαντινέων χιλίων ὄντων ὁπλιτῶν ἀκούοντες ἀναφανδὸν λεγόντων, ὡς δεῖ Ἀλκιβιάδῃ στρατεύειν ὁ διαπόντιον καὶ μακρὰν στρατείαν, ἐάν τις ἀγνωμονῇ περὶ τοῦτο, εὐθὺς ἀποστήσεσθαι· ἀνεθάρρουν καὶ παρίσαντο τῷ καιρῷ πρὸς τὴν ἀπολογίαν, ὥστε τοὺς ἐχθροὺς πάλιν ἀθυμεῖν καὶ φοβεῖσθαι, μὴ περὶ τὴν κρίσιν ὁ δῆμος ἀμβλύτερος αὐτῷ γένηται, διὰ τὴν χρείαν. Πρὸς ταῦτα οὖν τεχνάζουσι, τῶν ῥητόρων τοὺς οὐ δοκοῦντας ἐχθροὺς τοῦ Ἀλκιβιάδου, μισοῦντας δ' αὐτὸν οὐχ ἧττον τῶν ὁμολογούντων, ἀνιαμένους ἐν τῷ δήμῳ λέγειν, ὡς ἄτοπόν ἐστιν αὐτοκράτορι στρατηγῷ τηλικαύτης ἀποδεδειγμένῳ δυνάμεως, ἠθροισμένης στρατιᾶς καὶ τῶν συμμάχων, μεταξὺ συγκληροῦντας διαιτήριον, καὶ ὕδωρ διαμετροῦντας, ἀπολλύναι τὸν καιρόν· « Ἀλλὰ νῦν μὲν ἀγαθῇ τύχῃ πλεέτω, τοῦ δὲ πολέμου διαπραχθέντος, ἐπὶ τοῖς αὐτοῖς νόμοις ἀπολογείσθω παρών. » Οὐκ ἐλάνθανε μὲν οὖν ἡ κακοήθεια τῆς ἀναβολῆς τὸν Ἀλκιβιάδην, ἀλλ' ἔλεγε παριών, ὡς δεινόν ἐστιν αἰτίας ἀπολιπόντα καθ' ἑαυτοῦ καὶ διαβολὰς, ἐκπέμπεσθαι μετέωρον ἐπὶ τοσαύτης δυνάμεως. Ἀποθανεῖν γὰρ αὐτῷ προσήκειν μὴ λύσαντι τὰς κατηγορίας λύσαντι δὲ καὶ φανέντι καθαρῷ, τρέπεσθαι πρὸς τοὺς πολεμίους, μὴ δεδοικότι τοὺς συκοφάντας.

Κ. Ἐπεὶ δ' οὐκ ἔπειθεν, ἀλλὰ πλεῖν ἐκέλευον αὐτὸν, ἀνήχθη μετὰ τῶν συστρατήγων ἔχων τριήρεις μὲν οὐ πολλῷ τῶν τεσσαράκοντα καὶ ἑκατὸν ἀποδεούσας, ὁπλίτας δὲ πεντακισχιλίους καὶ ἑκατὸν, τοξότας δὲ καὶ σφενδονήτας καὶ ψιλοὺς περὶ τριακοσίους καὶ χιλίους, καὶ τὴν ἄλλην παρασκευὴν ἀξιόλογον. Προσβαλὼν δ' Ἰταλίᾳ, καὶ Ῥήγιον ἑλὼν, εἰσηγήσατο γνώμην, ὅτῳ τρόπῳ πολεμητέον ἐστί. Καὶ Νικίου μὲν ἀντιλέγοντος, Λαμάχου δὲ προσθεμένου, πλεύσας εἰς Σικελίαν, προσηγάγετο Κατάνην, ἄλλο δ' οὐδὲν ἔπραξε, μετάπεμπτος ὑπὸ τῶν Ἀθη-

ναίων ἐπὶ τὴν κρίσιν εὐθὺς γε ὁμενος. Πρῶτον μὲν γάρ, ὥσπερ εἴρηται, ψυχραί τινες ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ Ἀλκιβιάδου προσέπιπτον ἀπὸ δούλων καὶ μετοίκων. Ἔπειτα τῶν ἐχθρῶν ἀπόντος αὐτοῦ καθαπτομένων σφοδρότερον, καὶ τοῖς περὶ τοὺς Ἑρμᾶς ὑβρίσμασι καὶ τὰ μυστικὰ συμπλεκόντων, ὡς ἀπὸ μιᾶς ἐπὶ νεοτερισμῷ συνωμοσίας πεπραγμένα, τοὺς μὲν ὁπωσοῦν ἐπαιτιαθέντας ἐνέβαλον ἀκρίτους εἰς τὸ δεσμωτήριον, ἦχθοντο δὲ τὸν Ἀλκιβιάδην μὴ λαβόντες ὑπὸ τὰς ψήφους τότε, μηδὲ κρίναντες ἐπ' αἰτίαις τηλικαύταις. Ὁ δὲ τῇ πρὸς ἐκεῖνον ὀργῇ παραπεσὼν οἰκεῖος, ἢ φίλος, ἢ συνήθης, χαλεπωτέροις αὐτοῖς ἐχρήσατο. Τοὺς δὲ μηνύσαντας ὁ μὲν Θουκυδίδης ὀνομάσαι παρῆκεν, ἄλλοι δ' ὀνομάζουσι Διοκλείδαν καὶ Τεῦκρον, ὧν καὶ Φρύνιχός ἐστιν ὁ κωμικὸς ταυτὶ πεποιηκώς·

Ὦ φίλτατ' Ἑρμῆ, καὶ φυλάσσου, μὴ πεσὼν
Αὐτὸν παράκρουσῃ, καὶ παράσχῃς διαβολὴν
Ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόντι δρᾶν.
Ε. Φυλάξομαι. Τεύκρῳ γὰρ οὐχὶ βούλομαι
Μύωπα δοῦναι τῷ παλαμναίῳ ξένῳ.

Καίτοι βέβαιον οὐδὲν, οὐδ' ἰσχυρὸν οἱ μηνύοντες ἐδείκνυσαν. Εἷς δ' αὐτῶν ἐρωτώμενος, ὅπως τὰ πρόσωπα τῶν Ἑρμοκοπιδῶν γνωρίσειε, καὶ ἀποκρινάμενος, ὅτι πρὸς τὴν σελήνην, ἐσφάλη τοῦ παντὸς, ἔνης καὶ νέας οὔσης, ὅτε ταῦτ' ἐδρᾶτο· (δ) θόρυβον μὲν παρέσχε τοῖς νοῦν ἔχουσι, τὸν δῆμον δ' οὐδὲ τοῦτο μαλακώτερον ἐποίησε πρὸς τὰς διαβολὰς, ἀλλ' ὥσπερ ὥρμησεν ἐξ ἀρχῆς, οὐκ ἐπαύστατο φέρων καὶ καταβάλλων εἰς τὸ δεσμωτήριον, οὗ τις κατείποι.

ΚΑ. Τῶν οὖν δεθέντων καὶ φυλαττομένων ἐπὶ κρίσει τότε καὶ Ἀνδοκίδης ἦν ὁ ῥήτωρ, ὃν Ἑλλάνικος ὁ συγγραφεὺς εἰς τοὺς Ὀδυσσέως ἀπογόνους ἀνήγαγεν. Ἐδόκει δὲ μισόδημος καὶ ὀλιγαρχικὸς ὁ Ἀνδοκίδης· ὕποπτον δ' οὐχ ἧκιστα τῆς τῶν Ἑρμῶν

περικοπῆς ἐποίησεν ὁ μέγας Ἑρμῆς, ὁ πλησίον αὐτοῦ τῆς οἰκίας, ἀνάθημα τῆς Αἰγηίδος φυλῆς, ἱδρυμένος· ἐν γὰρ ὀλίγοις πάνυ, τῶν ἐπιρανῶν μόνος σχεδὸν ἀκέραιος ἔμεινε· διὸ νῦν Ἀνδοκίδου καλεῖται, καὶ πάντες οὕτως ὀνομάζουσι, τῆς ἐπιγραφῆς ἀντιμαρτυρούσης· Συνέβη δὲ τῷ Ἀνδοκιδῃ μάλιστα τῶν τὴν αὐτὴν αἰτίαν ἐχόντων ἐν τῷ δεσμωτηρίῳ γενέσθαι συνήθη καὶ φίλον, ἐνδοξον μὲν οὐχ ὁμοίως ἐκείνῳ, συνέσει δὲ καὶ τόλμῃ περιττὸν, ὄνομα Τίμαιον. Οὗτος ἀναπείθει τὸν Ἀνδοκίδην ἑαυτοῦ κατήγορον καί τινων ἄλλων γενέσθαι μὴ πολλῶν· ὁμολογήσαντι γὰρ ἄδειαν εἶναι κατὰ ψήφισμα τοῦ δήμου, τὰ δὲ τῆς κρίσεως ἄδηλα πᾶσι, τοῖς δὲ δυνατοῖς φοβερώτατα· βέλτιον δὲ σωθῆναι ψευδόμενον, ἢ μετὰ τῆς αὐτῆς αἰτίας ἀποθανεῖν ἀδόξως· καὶ τὸ κοινῇ σκοποῦντι συμφέρον ὑπάρχειν, ὀλίγους καὶ ἀμφιβόλους προέμενον, πολλοὺς καὶ ἀγαθοὺς ἐξελέσθαι τῆς ὀργῆς. Ταῦτα τοῦ Τιμαίου λέγοντος καὶ διδάσκοντος, ὁ Ἀνδοκίδης ἐπείσθη. Καὶ γενόμενος μηνυτὴς καθ' ἑαυτοῦ καὶ καθ' ἑτέρων, ἔσχε τὴν ἐκ τοῦ ψηφίσματος ἄδειαν αὐτός· οὓς δ' ὠνόμασε, πάντες πλὴν τῶν φυγόντων ἀπώλοντο. Καὶ πίστεως ἕνεκα προσέθηκεν αὐτοῖς οἰκέτας ἰδίους ὁ Ἀνδοκίδης. Οὐ μὴν ὅ γε δῆμος τὴν ὀργὴν ἅπασαν ἀφῆκεν ἐνταῦθα, ἀλλὰ μᾶλλον, ἀπαλλαγεὶς τῶν Ἑρμοκοπιδῶν, ὥσπερ σχολάζοντι τῷ θυμῷ πρὸς τὸν Ἀλκιβιάδην ὅλος ἐῤῥύη. Καὶ τέλος ἀπέστειλε τὴν Σαλαμινίαν πρὸς αὐτὸν οὐ φαύλως αὐτό γε τοῦτο προστάξας μὴ βιάζεσθαι, μηδ' ἅπτεσθαι τοῦ σώματος, ἀλλὰ τῷ μετρίῳ λόγῳ κεχρῆσθαι, κελεύοντας ἀκολουθεῖν ἐπὶ τὴν κρίσιν, καὶ πείθειν τὸν δῆμον. Ἐρρώοῦντο γὰρ ταραχὰς τοῦ στρατεύματος ἐν πολεμίᾳ γῇ, καὶ φάσιν, ὃ ῥᾳδίως ἂν ἐξειργάσατο βουληθεὶς ὁ Ἀλκιβιάδης. Καὶ γὰρ ἠθύμουν ἀπιόντος αὐτοῦ, καὶ πολλὴν τριβὴν προσεδόκων καὶ μῆκος ἀργὸν ἐν τῷ Νικίᾳ τὸν πόλεμον ἕξειν, καθάπερ μύωπος ἀφῃρημένου τῶν πράξεων. Ὁ γὰρ Λάμαχος ἦν μὲν πολεμικὸς καὶ

ἀνδρώδης, ἀξίωμα δ' οὐ προσῆν, οὐδ' ὄγκος αὐτῷ διὰ πενίαν.

ΚΒ. Εὐθὺς μὲν οὖν ἀποπλέων ὁ Ἀλκιβιάδης, ἀφείλετο Μεσσήνην Ἀθηναίους. Ἦσαν γὰρ οἱ μέλλοντες ἐνδιδόναι τὴν πόλιν, οὓς ἐκεῖνος εἰδὼς σαφέστατα, (τοῖς) τῶν Συρακουσίων φίλοις ἐμήνυσε, καὶ διέσθειρε τὴν πρᾶξιν. Ἐν δὲ Θουρίοις γενόμενος, καὶ ἀποβὰς τῆς τριήρους, ἔκρυψεν ἑαυτὸν, καὶ διέφυγε τοὺς ζητοῦντας. Ἐπιγνόντος δέ τινος καὶ εἰπόντος· Οὐ πιστεύεις, ὦ Ἀλκιβιάδη, τῇ πατρίδι; Τὰ μὲν ἄλλ', ἔφη πάντα· περὶ δὲ τῆς ψυχῆς τῆς ἐμῆς, οὐδὲ τῇ μητρὶ, μήπως ἀγνοήσασα τὴν μέλαιναν ἀντὶ τῆς λευκῆς ἐπενέγκῃ ψῆφον. Ὕστερον δ' ἀκούσας, ὅτι θάνατον αὐτοῦ κατέγνωκεν ἡ πόλις· Ἀλλ' ἐγὼ, εἶπε, δείξω αὐτοῖς, ὅτι ζῶ. Τὴν μὲν οὖν εἰσαγγελίαν οὕτως ἔχουσαν ἀναγράφουσι· « Θεσσαλὸς Κίμωνος Λακιάδης, Ἀλκιβιάδην Κλεινίου Σκαμβωνίδην εἰσήγγειλεν ἀδικεῖν περὶ τὼ θεὼ, τὴν Δήμητρα καὶ τὴν Κόρην, ἀπομιμούμενον τὰ μυστήρια, καὶ δεικνύοντα τοῖς αὐτοῦ ἑτέροις ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ, ἔχοντα στολὴν, οἵαν περ ἱεροφάντης ἔχων δεικνύει τὰ ἱερὰ, καὶ ὀνομάζοντα αὐτὸν μὲν ἱεροφάντην, Πολυτίωνα δὲ δᾳδοῦχον, κήρυκα δὲ Θεόδωρον Φηγαιέα· τοὺς δ' ἄλλους ἑταίρους, μύστας προσαγορεύοντα καὶ ἐπόπτας, παρὰ τὰ νόμιμα καὶ τὰ καθεστηκότα ὑπό τ' Εὐμολπιδῶν καὶ κηρύκων καὶ τῶν ἱερέων τῶν ἐξ Ἐλευσῖνος » Ἐρήμην δ' αὐτοῦ καταγνόντες, καὶ τὰ χρήματα δημεύσαντες, ἔτι καταρᾶσθαι προσεψηφίσαντο πάντας ἱερεῖς καὶ ἱερείας, ὧν μόνην φασὶ Θεανὼ τὴν Μένωνος Ἀγραυλῆθεν ἀντειπεῖν πρὸς τὸ ψήφισμα, φάσκουσαν, εὐχῶν, οὐ καταρῶν ἱέρειαν γεγονέναι.

ΚΓ. Τοσούτων δὲ κατεψηφισμένων Ἀλκιβιάδου καὶ κατεγνωσμένων, ἐτύγχανε μὲν ἐν Ἄργει διατρίβων, ὡς τότε πρῶτον ἐκ Θουρίων ἀποδρὰς εἰς Πελοπόννησον διεκομίσθη. Φοβούμενος δὲ τοὺς ἐχθροὺς, καὶ παντάπασι τῆς πατρίδος ἀπεγνωκὼς, ἔπεμψεν εἰς Σπάρτην, ἀξιῶν ἄδειαν αὐτῷ γενέσθαι, καὶ πίστιν ἐπὶ μείζοσι χρείαις καὶ ὠφελείαις, ὧν πρότερον αὐτοὺς ἀμυνόμενος ἔβλαψε.

Δόντων δὲ τῶν Σπαρτιατῶν καὶ δεξαμένων, παραγενόμενος προθύμως, ἐν μὲν εὐθὺς ἐξειργάσατο,, μέλλοντας καὶ ἀναβαλλομένους βοηθεῖν Συρακουσίοις, ἐγείρας καὶ παροξύνας πέμψαι Γύλιππον ἄρχοντα, καὶ θραῦσαι τὴν ἐκεῖ τῶν Ἀθηναίων δύναμιν· ἕτερον δέ, κινεῖν τὸν αὐτόθεν πόλεμον ἐπὶ τοὺς Ἀθηναίους· τὸ δὲ τρίτον καὶ μέγιστον, ἐπιτειχίσαι Δεκέλειαν, οὗ μᾶλλον οὐδὲν διειργάσατο καὶ κατοικοφθόρησε τὴν πόλιν. Εὐδοκιμῶν δὲ δημοσίᾳ, καὶ θαυμαζόμενος οὐχ ἧττον ἰδίᾳ, τοὺς πολλοὺς κατεδημαγώγει, καὶ κατεγοήτευε τῇ διαίτῃ λακωνίζων· ὥσθ' ὁρῶντας ἐν χρῷ κουριῶντα, καὶ ψυχρολουτοῦντα, καὶ μάζῃ συνόντα, καὶ ζωμῷ μέλανι χρώμενον, ἀπιστεῖν καὶ διαπορεῖν, εἴ ποτε μάγειρον ἐπὶ τῆς οἰκίας οὗτος ἀνὴρ ἔσχεν, ἢ προσέβλεψε μυρεψόν, ἢ Μιλησίας ἠνέσχετο θίγειν χλανίδος. Ἦν γὰρ, ὥς φασι, μία δεινότης αὕτη τῶν πολλῶν ἐν αὐτῷ, καὶ μηχανὴ θήρας ἀνθρώπων, συνεξομοιοῦσθαι καὶ συνομοπαθεῖν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις, ὀξυτέρας τρεπομένῳ τροπὰς τοῦ χαμαιλέοντος. Πλὴν ἐκεῖνος μὲν, ὡς λέγεται, πρὸς ἓν ἐξαδυνατεῖ χρῶμα τὸ λευκὸν ἀφομοιοῦν ἑαυτόν· Ἀλκιβιάδῃ δὲ, διὰ χρηστὸν ἰόντι καὶ πονηρῶν ὁμοίως, οὐδὲν ἦν ἀμίμητον, οὐδ' ἀνεπιτήδευτον. Ἀλλ' ἐν Σπάρτῃ γυμναστικὸς, εὐτελὴς, σκυθρωπός· ἐν Ἰωνίᾳ χλιδανὸς, ἐπιτερπὴς, ῥᾳθυμος· ἐν Θρᾴκῃ μεθυστικός· (ἐν Θετταλίᾳ) ἱππαστικός· Τισαφέρνῃ δὲ τῷ σατράπῃ συνὼν, ὑπερέβαλεν ὄγκῳ καὶ πολυτελείᾳ τὴν Περσικὴν μεγαλοπρέπειαν· οὐχ αὑτὸν ἐξισᾶς οὕτω ῥᾳδίως εἰς ἕτερον ἐξ ἑτέρου τρόπον, οὐδὲ πᾶσαν δεχόμενος τῷ ἤθει μεταβολὴν, ἀλλ', ὅτι τῇ φύσει χρώμενος ἔμελλε λυπεῖν τοὺς ἐντυγχάνοντας, εἰς πᾶν ἀεὶ τὸ πρόσφορον ἐκείνοις σχῆμα καὶ πλάσμα κατεδύετο καὶ κατέφευγεν. Ἐν γοῦν τῇ Λακεδαίμονι, πρὸς τὰ ἔξωθεν ἦν εἰπεῖν· « Οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος εἴη ἂν αὐτὸς οἷον Λυκοῦργος ἐπαίδευσε· » τοῖς δ' ἀληθινοῖς ἄν τις ἐπεφώνησεν αὐτοῦ πάθεσι καὶ πράγμασιν· « Ἔστιν ἡ

πάλαι γυνή. » Τιμαίαν γὰρ, τὴν Ἄγιδος γυναῖκα τοῦ βασιλέως, στρατευομένου καὶ ἀποδημοῦντος, οὕτω διέφθειρεν, ὥστε καὶ κύειν ἐξ Ἀλκιβιάδου, καὶ μὴ ἀρνεῖσθαι· καὶ τεκούσης παιδάριον ἄῤῥεν, ἔξω μὲν Λεωτυχίδην καλεῖσθαι, τὸ δ' ἐντὸς αὐτοῦ ψιθυριζόμενον ὄνομα πρὸς τὰς φίλας καὶ τὰς ὀπαδοὺς ὑπὸ τῆς μητρὸς, Ἀλκιβιάδην εἶναι· τοσοῦτος ἔρως κατεῖχε τὴν ἄνθρωπον. Ὁ δ' ἐντρυφῶν ἔλεγεν, οὐχ ὕβρει τοῦτο πράττειν, οὐδὲ κρατούμενος ὑῤ' ἡδονῆς, ἀλλ' ὅπως Λακεδαιμονίων βασιλεύσωσιν οἱ ἐξ αὐτοῦ γεγονότες. Οὕτω πραττόμενα ταῦτα πολλοὶ κατηγόρουν πρὸς τὸν Ἄγιν. Ἐπίσευσε δὲ τῷ χρόνῳ μάλιστα, ὅτι, σεισμοῦ γενομένου, φοβηθεὶς ἐξέδραμε τοῦ θαλάμου παρὰ τῆς γυναικός· εἶτα δέκα μηνῶν οὐκέτι συνῆλθεν αὐτῇ, μεθ' οὗς γενόμενον τὸν Λεωτυχίδην ἀπέρριψεν ἐξ αὐτοῦ μὴ γεγονέναι. Καὶ διὰ τοῦτο τῆς βασιλείας ἐξέπεσεν ὕστερον ὁ Λεωτυχίδης.

ΚΔ. Μετὰ δὲ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων δυστυχίαν ἐπρέσβευσαν εἰς Σπάρτην ἅμα Χῖοι, καὶ Λέσβιοι, καὶ Κυζικηνοί, περὶ ἀποστάσεως. Πραττόντων δὲ Βοιωτῶν μὲν Λεσβίοις, Φαρναβάζου δὲ Κυζικηνοῖς, Ἀλκιβιάδῃ πεισθέντες, εἵλοντο Χίοις πρὸ πάντων βοηθεῖν. Ἐκπλεύσας δὲ καὶ αὐτὸς ἀπέστησεν ὀλίγου δεῖν ἅπασαν Ἰωνίαν, καὶ πολλὰ συνὼν τοῖς τῶν Λακεδαιμονίων στρατηγοῖς, ἔβλεπε τοὺς Ἀθηναίους. Ὁ δ' Ἄγις, ἐχθρὸς μὲν ὑπῆρχεν αὐτῷ διὰ τὴν γυναῖκα, κακῶς πεπονθώς· ἤχθετο δὲ καὶ τῇ δόξῃ. Τὰ γὰρ πλεῖστα γίνεσθαι καὶ προσχωρεῖν δι' Ἀλκιβιάδην λόγος ἦν. Τῶν δ' ἄλλων Σπαρτιατῶν οἱ δυνατώτατοι καὶ φιλοτιμότατοι ἤδη τὸν Ἀλκιβιάδην ἐβαρύνοντο διὰ ῥθόνον. Ἴσχυσαν οὖν καὶ διεπράξαντο τοὺς οἴκοθεν ἄρχοντας ἐπιστεῖλαι πρὸς Ἰωνίαν, ὅπως ἀποκτείνωσιν αὐτόν. Ὁ δ' ἡσυχῇ προγνοὺς καὶ φοβηθεὶς, τῶν μὲν πράξεων πασῶν ἐκοινώνει τοῖς Λακεδαιμονίοις, τὸ δ' εἰς χεῖρας ἰέναι παντάπασιν ἔφευγε. Τισαφέρνῃ δὲ, τῷ βασιλέως σατράπῃ, δοὺς ἑαυτὸν ὑπὲρ ἀσφαλείας, εὐθὺς ἦν

παρ' αὐτῷ πρῶτος καὶ μέγιστος. Τὸ μὲν γὰρ πολύτροπον καὶ περιττὸν αὐτοῦ τῆς δεινότητος, οὐκ ὢν ἁπλοῦς, ἀλλὰ κακοήθη καὶ φιλοπόνηρος, ἐθαύμαζεν ὁ βάρβαρος· ταῖς δὲ καθ' ἡμέραν ἐν τῷ συσχολάζειν καὶ συνδιαιτᾶσθαι χάρισιν οὐδὲν ἦν ἄτεγκτον ἦθος, οὐδὲ φύσις ἀνάλωτος. Ἀλλὰ καὶ δεδιόσι καὶ φθονοῦσιν, ὅμως τὸ συγγενέσθαι καὶ προσιδεῖν ἐκεῖνον, ἡδονήν τινα καὶ φιλοφροσύνην παρεῖχε. Τἄλλ' οὖν ὠμὸς ὢν καὶ μισέλλην ἐν τοῖς μάλιστα Περσῶν ὁ Τισαφέρνης, οὕτως ἐνεδίδου τῷ Ἀλκιβιάδῃ κολακευόμενος, ὥσθ' ὑπερβάλλειν αὐτὸν ἀντικολακεύων ἐκεῖνος. Ὧν γὰρ ἐκέκτητο παραδείσων τὸν κάλλιστον, καὶ ὑδάτων καὶ λειμώνων ὑγιεινῶν ἕνεκεν, καὶ διατριβὰς ἔχοντα καὶ καταφυγὰς ἡσκημένας βασιλικῶς καὶ περιττῶς, Ἀλκιβιάδην καλεῖν ἔθετο· καὶ πάντες οὕτω καλοῦντες καὶ προσαγορεύοντες διετέλουν.

ΚΕ. Ἀπογνοὺς οὖν ὁ Ἀλκιβιάδης τὰ τῶν Σπαρτιατῶν ὡς ἄπιστα, καὶ φοβούμενος τὸν Ἄγιν, ἐκάκου καὶ διέβαλλε πρὸς τὸν Τισαφέρνην, οὐκ ἐῶν βοηθεῖν αὐτοῖς προθύμως, οὐδὲ καταλύειν τοὺς Ἀθηναίους, ἀλλὰ γλίσχρως χορηγοῦντα θλίβειν καὶ ἀποκναίειν ἀτρέμα, καὶ ποιεῖν ἀμφοτέρους βασιλεῖ χειροήθεις, καὶ καταπόνους ὑπ' ἀλλήλων. Ὁ δ' ἐπείθετο ῥᾳδίως, καὶ δῆλος ἦν ἀγαπῶν καὶ θαυμάζων· ὥς' ἀποβλέπεσθαι τὸν Ἀλκιβιάδην ἑκατέρωθεν ὑπὸ τῶν Ἑλλήνων, τοὺς δ' Ἀθηναίους καὶ μεταμέλεσθαι τοῖς γνωσθεῖσι περὶ αὐτοῦ, κακῶς πάσχοντας, ἄχθεσθαι δὲ κἀκεῖνον ἤδη καὶ φοβεῖσθαι μὴ παντάπασι τῆς πόλεως ἀναιρεθείσης, ὑπὸ Λακεδαιμονίοις γένηται μισούμενος. Ἐν δὲ τῇ Σάμῳ τότε πάντα τὰ πράγματα τοῖς Ἀθηναίοις σχεδὸν ὑπῆρχε· κἀκεῖθεν ὁρμώμενοι τῇ ναυτικῇ δυνάμει, τὰ μὲν ἀνεκτῶντο τῶν ἀφεστώτων, τὰ δ' ἐφθλαττον, ἀμωσγέπως ἔτι τοῖς πολεμίοις κατὰ θάλατταν ὄντες ἀξιόμαχοι, Τισαφέρνην δὲ φοβούμενοι, καὶ τὰς λεγομένας ὅσον οὔπω παρεῖναι Φοινίσσας τριήρεις πεντήκοντα καὶ ἑκατὸν οὔσας, ὧν ἀφικομένων οὐδεμία σωτηρίας ἐλπὶς ὑπελείπετο

τῇ πόλει. Ταῦτα δ' εἰδὼς Ἀλκιβιάδης, ἔπεμπε κρύφα πρὸς τοὺς ἐν Σάμῳ δυνατοὺς τῶν Ἀθηναίων, ἐλπίδας ἐνδιδοὺς παρέξειν τὸν Τισαφέρνην φίλον, οὐ τοῖς πολλοῖς χαριζόμενος, οὐδὲ πιστεύων ἐκείνοις, ἀλλὰ τοῖς ἀρίστοις, εἰ τολμήσειαν ἄνδρες ἀγαθοὶ γενόμενοι, καὶ παύσαντες ὑβρίζοντα τὸν δῆμον, αὐτοὶ δι' ἑαυτῶν σώζειν τὰ πράγματα καὶ τὴν πόλιν. Οἱ μὲν οὖν ἄλλοι σφόδρα προσεῖχον τῷ Ἀλκιβιάδῃ· τῶν δὲ στρατηγῶν εἷς, Φρύνιχος ὁ Δειραδιώτης, ὑποπτεύσας, ὅπερ ἦν, τὸν Ἀλκιβιάδην οὐδέν τι μᾶλλον ὀλιγαρχίας, ἢ δημοκρατίας δεόμενον, ζητοῦντα δὲ πάντως κατελθεῖν, ἐκ διαβολῆς τοῦ δήμου προθεραπεύειν καὶ ὑποδύεσθαι τοὺς δυνατούς, ἀνθίστατο. Κρατούμενος δὲ τῇ γνώμῃ, καὶ φανερῶς ἤδη τοῦ Ἀλκιβιάδου γεγονὼς ἐχθρὸς ἐξήγγειλε κρύφα πρὸς Ἀσύοχον τὸν τῶν πολεμίων ναύαρχον, ἐγκελευόμενος φυλάσσεσθαι καὶ συλλαμβάνειν ὡς ἐπαμφοτερίζοντα τὸν Ἀλκιβιάδην. Ἐλελήθει δ' ἅμα προδότης προδότῃ διαλεγόμενος. Τὸν γὰρ Τισαφέρνην ἐκπεπληγμένος ὁ Ἀσύοχος, καὶ τὸν Ἀλκιβιάδην ὁρῶν παρ' αὐτῷ μέγαν ὄντα, κατεμήνυσε τὰ τοῦ Φρυνίχου πρὸς αὐτόν. Ὁ δ' Ἀλκιβιάδης εὐθὺς εἰς Σάμον ἔπεμψε τοὺς τοῦ Φρυνίχου κατηγορήσοντας. Ἀγανακτούντων δὲ πάντων καὶ συνισαμένων ἐπὶ τὸν Φρύνιχον, οὐχ ὁρῶν ἑτέραν διαφυγὴν ἐκ τῶν παρόντων, ἐπεχείρησεν ἰᾶσθαι μείζονι κακῷ τὸ κακόν. Αὖθις γὰρ ἔπεμψε πρὸς τὸν Ἀσύοχον, ἐγκαλῶν μὲν ὑπὲρ τῆς μηνύσεως, ἐπαγγελλόμενος δὲ τὰς ναῦς καὶ τὸ στρατόπεδον τῶν Ἀθηναίων ὑποχείριον αὐτῷ παρέξειν. Οὐ μὴν ἔβλαψέ γε τοὺς Ἀθηναίους ἡ τοῦ Φρυνίχου προδοσία, διὰ τὴν Ἀσυόχου παλιμπροδοσίαν. Καὶ γὰρ (καὶ) ταῦτα κατεῖπε τοῦ Φρυνίχου πρὸς τοὺς περὶ τὸν Ἀλκιβιάδην. Ὁ δὲ Φρύνιχος προαισθόμενος καὶ προσδεχόμενος δευτέραν κατηγορίαν παρὰ τοῦ Ἀλκιβιάδου, φθάσας αὐτὸς προεῖπε τοῖς Ἀθηναίοις, ὅτι μέλλουσιν ἐπιπλεῖνοι πολέμιοι, καὶ παρήνεσε πρὸς ταῖς ναυσὶν εἶναι, καὶ περιτειχίσαι τὸ στρατόπεδον. Ἐπεὶ δὲ πραττόντων

ταῦτ' Ἀθηναίων, ἦκε γράμματα πάλιν παρὰ τοῦ Ἀλκιβιάδου φυλάττεσθαι κελεύοντος τὸν Φρύνιχον, ὡς προδιδόντα τοῖς πολεμίοις τὸν ναύσταθμον, ἠπίστησαν, οἰόμενοι τὸν Ἀλκιβιάδην εἰδότα σαφῶς τὴν τῶν πολεμίων παρασκευὴν καὶ διάνοιαν, ἀποχρῆσθαι πρὸς τὴν Φρυνίχου διαβολήν, οὐκ ἀληθῶς. Ὕστερον μέντοι τὸν Φρύνιχον, ἑνὸς τῶν περιπόλων Ἕρμωνος ἐν ἀγορᾷ κατάξαντος ἐγχειριδίῳ καὶ διαφθείραντος, οἱ Ἀθηναῖοι, δίκης γενομένης, τοῦ μὲν Φρυνίχου προδοσίαν κατεψηφίσαντο τεθνηκότος, τὸν δ' Ἕρμωνα καὶ τοὺς μετ' αὐτοῦ συστάντας ἐστεφάνωσαν.

Κς. Ἐν δὲ τῇ Σάμῳ τότε κρατήσαντες οἱ Ἀλκιβιάδου φίλοι, πέμπουσι Πείσανδρον εἰς ἄστυ κινήσοντα τὴν πολιτείαν, καὶ παραθαρρύνοῦντα τοὺς δυνατοὺς τῶν πραγμάτων ἀντιλαμβάνεσθαι καὶ καταλύειν τὸν δῆμον, ὡς ἐπὶ τούτοις τοῦ Ἀλκιβιάδου Τισαφέρνην αὐτοῖς φίλον καὶ σύμμαχον παρέξοντος. Αὕτη γὰρ ἦν πρόφασις, καὶ τοῦτο πρόσχημα τοῖς καθιστᾶσι τὴν ὀλιγαρχίαν. Ἐπεὶ δ' ἴσχυσαν καὶ παρέλαβον τὰ πράγματα οἱ πεντακισχίλιοι λεγόμενοι, τετρακόσιοι δὲ ὄντες ἐλάχιστα τῷ Ἀλκιβιάδῃ προσεῖχον ἤδη, καὶ μαλακώτερον ἥπτοντο τοῦ πολέμου, τὰ μὲν, ἀπισοῦντες ἔτι πρὸς τὴν μεταβολὴν ξενοπαθοῦσι τοῖς πολίταις, τὰ δ', οἰόμενοι μᾶλλον ἐνδώσειν αὐτοῖς τοὺς Λακεδαιμονίους, ἀεὶ πρὸς ὀλιγαρχίαν ἐπιτηδείως ἔχοντας. Ὁ μὲν οὖν κατὰ τὴν πόλιν δῆμος ἄκων ὑπὸ δέους ἡσυχίαν ἦγε· καὶ γὰρ ἀπεσφάγησαν οὐκ ὀλίγοι τῶν ἐναντιουμένων φανερῶς τοῖς τετρακοσίοις. Οἱ δ' ἐν Σάμῳ ταῦτα πυνθανόμενοι καὶ ἀγανακτοῦντες ὥρμηντο πλεῖν εὐθὺς ἐπὶ τὸν Πειραιᾶ· καὶ μεταπεμψάμενοι τὸν Ἀλκιβιάδην, καὶ στρατηγὸν ἀποδείξαντες, ἐκέλευον ἡγεῖσθαι καὶ καταλύειν τοὺς τυράννους. Ὁ δ' οὐχ οἷον ἄντις ἐξαίφνης χάριτι τῶν πολλῶν μέγας γεγονὼς, ἔπαθε καὶ ἠγάπησε, πάντα δεῖν εὐθὺς οἰόμενος χαρίζεσθαι καὶ μηδὲν ἀντιλέγειν τοῖς ἐκ πλάνητος καὶ

φυγάδος αὐτὸν νεῶν τοσούτων καὶ στρατοπέδου καὶ δυνάμεως τηλικαύτης ἀποδείξασιν ἡγεμόνα καὶ στρατηγόν· ἀλλ' ὅπερ ἦν ἄρχοντι μεγάλῳ προσῆκον, ἀνθίστασθαι φερομένοις ὑπ' ὀργῆς, κωλύσας ἐξαμαρτεῖν, τότε γοῦν τὰ πράγματα τῇ πόλει περιφανῶς ἔσωσεν. Εἰ γὰρ ἄραντες ἀπέπλευσαν οἴκαδε, τοῖς μὲν πολεμίοις εὐθὺς ἔχειν ὑπῆρχεν ἁμαχεὶ Ἰωνίαν ἅπασαν, Ἑλλήσποντον, καὶ τὰς νήσους, Ἀθηναίοις δὲ πρὸς Ἀθηναίους μάχεσθαι, τὸν πόλεμον εἰς τὴν πόλιν ἐμβαλόντας· ὃ μόνος ἢ μάλιστα μὴ γενέσθαι διεκώλυσεν ὁ Ἀλκιβιάδης, οὐ μόνον πείθων καὶ διδάσκων τὸ πλῆθος, ἀλλὰ καὶ καθ' ἕνα τοὺς μὲν ἀντιβολῶν, τῶν δ' ἐπιλαμβανόμενος. Συνέπραττε δ' αὐτῷ καὶ Θρασύβουλος ὁ Στειριεὺς ἅμα παρὼν καὶ κεκραυγώς· ἦν γάρ, ὡς λέγεται, μεγαλοφωνότατος Ἀθηναίων. Ἐκεῖνό τε δὴ καλὸν τοῦ Ἀλκιβιάδου καὶ δεύτερον, ὅτι ὑποσχόμενος τὰς Φοινίσσας ναῦς, ἃς προσεδέχοντο Λακεδαιμόνιοι, βασιλέως πέμψαντος, ἢ μεταστήσειν πρὸς αὐτούς, ἢ διαπράξεσθαι μηδὲ πρὸς ἐκείνους κομισθῆναι, διὰ ταχέων ἐξέπλευσε. Καὶ τὰς μὲν ναῦς ἐκφανείσας περὶ Ἄσπενδον οὐκ ἤγαγεν ὁ Τισαφέρνης, ἀλλ' ἐψεύσατο τοὺς Λακεδαιμονίους· τὴν δ' αἰτίαν τοῦ ἀποτρέψαι παρ' ἀμφοτέροις ὁ Ἀλκιβιάδης εἶχε, καὶ μᾶλλον ἔτι παρὰ τοῖς Λακεδαιμονίοις, ὡς διδάσκων τὸν βάρβαρον αὐτοὺς ὑφ' αὑτῶν περιορᾶν ἀπολλυμένους τοὺς Ἕλληνας. Οὐ γὰρ ἦν ἄδηλον, ὅτι τοῖς ἑτέροις δύναμις τοσαύτη προσγενομένη, τοὺς ἑτέρους ἀφῃρεῖτο κομιδῇ τὸ κράτος τῆς θαλάσσης.

ΚΖ. Ἐκ τούτου κατελύθησαν μὲν οἱ τετρακόσιοι, τῶν Ἀλκιβιάδου φίλων προθύμως συλλαμβανομένων τοῖς τὰ τοῦ δήμου φρονοῦσι. Βουλομένων δὲ τῶν ἐν ἄστει καὶ κελευόντων κατιέναι τὸν Ἀλκιβιάδην, αὐτὸς ᾤετο δεῖν μὴ κεναῖς χερσὶ μηδὲ ἀπράκτοις, οἴκτῳ καὶ χάριτι τῶν πολλῶν, ἀλλ' ἐνδόξως κατελθεῖν. Διὸ πρῶτον μὲν ὀλίγαις ναυσὶν ἐκ Σάμου περιέπλει τὴν Κνιδίων καὶ

Κώων θάλασσαν· ἐκεῖ δ' ἀκούσας Μίνδαρον τὸν Σπαρτιάτην εἰς Ἑλλήσποντον ἀναπλεῖν τῷ σόλῳ παντὶ, καὶ τοὺς Ἀθηναίους ἐπακολουθεῖν, ἠπείγετο βοηθῆσαι τοῖς στρατηγοῖς. Καὶ κατὰ τύχην εἰς τοῦτο καιροῦ συνήντησε πλέων ὀκτωκαίδεκα τριήρεσιν, ἐν ᾗ πάσαις ὁμοῦ ταῖς ναυσὶ συμπεσόντες εἰς τὸ αὐτὸ καὶ διαναυμαχοῦντες περὶ Ἄβυδον ἀμφότεροι, τοῖς μὲν ἡττωμένοι μέρεσι, τοῖς δὲ νικῶντες, ἄχρι δείλης ἀγῶνι μεγάλῳ συνείχοντο. Καὶ παρέστχε μὲν ἐναντίαν δόξαν ἀμφοτέροις ἐπιφανεὶς, ὥστε θαρρεῖν μὲν τοὺς πολεμίους, θορυβεῖσθαι δὲ τοὺς Ἀθηναίους. Ταχὺ δὲ σημεῖον ἄρας ἀπὸ τῆς ναυαρχίδος φίλιον, ὥρμησεν εὐθὺς ἐπὶ τοὺς κρατοῦντας καὶ διώκοντας τῶν Πελοποννησίων. Τρεψάμενος δ' αὐτοὺς ἐξέωσεν εἰς τὴν γῆν, καὶ προσκείμενος ἔκοπτε τὰς ναῦς, καὶ συνετίτρωσκε τῶν ἀνδρῶν ἐκνεόντων, καὶ Φαρναβάζου πεζῇ προσβοηθοῦντος αὐτοῖς καὶ μαχομένου παρὰ τὴν θάλασσαν ὑπὲρ τῶν νεῶν. Τέλος δὲ τῶν μὲν πολεμίων τριάκοντα λαβόντες, ἀνασώσαντες δὲ τὰς αὑτῶν, τρόπαιον ἔστησαν. Οὕτω δὲ λαμπρᾷ χρησάμενος εὐτυχίᾳ, καὶ φιλοτιμούμενος εὐθὺς ἐγκαλλωπίσασθαι τῷ Τισαφέρνῃ, ξένια καὶ δῶρα παρασκευασάμενος, καὶ θεραπείαν ἔχων ἡγεμονικὴν, ἐπορεύετο πρὸς αὐτόν. Οὐ μὴν ἔτυχεν, ὧν προσεδόκησεν· ἀλλὰ πάλαι κακῶς ἀκούων ὁ Τισαφέρνης ὑπὸ τῶν Λακεδαιμονίων, καὶ φοβούμενος αἰτίαν λαβεῖν ἐκ βασιλέως, ἔδοξεν ἐν καιρῷ τὸν Ἀλκιβιάδην ἀφῖχθαι, καὶ συλλαβὼν αὐτὸν εἶρξεν ἐν Σάρδεσιν, ὡς λύσιν ἐκείνης τῆς διαβολῆς τὴν ἀδικίαν ταύτην ἐσομένην.

ΚΗ. Τριάκοντα δ' ἡμερῶν διαγενομένων, ὁ Ἀλκιβιάδης ἵππου ποθὲν εὐπορήσας, καὶ ἀποδρὰς τοὺς φύλακας, εἰς Κλαζομενὰς διέφυγε. Καὶ τὸν μὲν Τισαφέρνην προσδιέβαλεν, ὡς ὑπ' ἐκείνου μεθειμένος, αὐτὸς δὲ πλεύσας εἰς τὸ στρατόπεδον τῶν Ἀθηναίων, καὶ πυθόμενος Μίνδαρον ὁμοῦ καὶ Φαρνάβαζον ἐν Κυζίκῳ γεγονέναι, τοὺς μὲν στρατιώτας παρώρμησεν, ὡς ἀνάγκην οὖσαν

αὐτοῖς καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν καὶ νὴ Δία τειχομαχεῖν πρὸς τοὺς πολεμίους· χρήματα γὰρ οὐκ εἶναι μὴ πάντη κρατοῦσι. Πληρώσας δὲ τὰς ναῦς καὶ κατάρας εἰς Προκόννησον, ἐκέλευσεν ἐντὸς περιβάλλειν τὰ λεπτὰ πλοῖα καὶ παραφυλάσσειν, ὅπως μηδεμία τοῖς πολεμίοις ἐπιπλέοντος αὐτοῦ γένοιτο μηδαμόθεν προαίσθησις. Ἔτυχε δὲ καὶ πολὺν ὄμβρον ἐξαίφνης ἐπιπεσόντα, καὶ βροντὰς καὶ ζόφον, συνεργῆσαι καὶ συνεπικρύψαι τὴν παρασκευήν. Οὐ γὰρ μόνον τοὺς πολεμίους ἔλαθεν· ἀλλὰ καὶ τοὺς Ἀθηναίους, ἀπεγνωκότας ἤδη, ἐμβῆναι κελεύσας, ἀνήχθη. Καὶ μετὰ μικρὸν ὅ τε ζοφος διελύθη, καὶ κατώρθησαν αἱ τῶν Πελοποννησίων νῆες, αἰωρούμεναι πρὸ τοῦ λιμένος τῶν Κυζικηνῶν. Δείσας οὖν ὁ Ἀλκιβιάδης, μὴ διὰ τὸ πλῆθος αὐτὸν προϊδόντες εἰς τὴν γῆν καταφύγωσι, τοὺς μὲν στρατηγοὺς ἐκέλευσεν ἡσυχῇ πλέοντας ὑπολείπεσθαι, αὐτὸς δὲ τεσσαράκοντα ναῦς ἔχων ἐφαίνετο, καὶ προὐκαλεῖτο τοὺς πολεμίους. Ἐπεὶ δ' ἐξηπάτηντο, καὶ καταφρονήσαντες, ὡς ἐπὶ τοσαύτας ἀντεξήλασαν. αὐτοὶ μὲν εὐθὺς ἐξήπτοντο καὶ συνεπλέκοντο, τῶν δ' ἄλλων ἤδη μαχομένοις ἐπιφερομένων, ἐκπλαγέντες ἔφευγον. Ὁ δὲ Ἀλκιβιάδης εἴκοσι ταῖς ἀρίσταις διεκπλεύσας καὶ προσβαλὼν τῇ γῇ καὶ ἀποβὰς, ἐνέκειτο τοῖς φεύγουσιν ἐκ τῶν νεῶν καὶ πολλοὺς ἔφθειρε. Μινδάρου δὲ καὶ Φαρναβάζου προσβοηθούντων κρατήσας, τὸν μὲν Μίνδαρον ἀνεῖλεν ἐρρωμένως ἀγωνιζόμενον, ὁ δὲ Φαρνάβαζος ἔφυγε. Πολλῶν δὲ καὶ νεῶν καὶ ὅπλων κρατήσαντες, τάς τε ναῦς ἁπάσας ἔλαβον, χειρωσάμενοι δὲ καὶ Κύζικον, ἐκλιπόντος τοῦ Φαρναβάζου καὶ τῶν Πελοποννησίων διαφθαρέντων, οὐ μόνον τὸν Ἑλλήσποντον εἶχον βεβαίως, ἀλλὰ καὶ τῆς ἄλλης θαλάσσης ἐξήλασαν κατὰ κράτος τοὺς Λακεδαιμονίους. Ἑάλω δὲ καὶ γράμματα λακωνικῶς φράζοντα τοῖς Ἐφόροις τὴν γεγενημένην ἀτυχίαν· « Ἔῤῥει τὰ καλά· Μίνδαρος ἀπεσσούα· πεινῶντι τῶνδρες· ἀπορέομες, τί χρὴ δρᾶν· »

κθ. Οὕτω δ' ἐπήρθησαν οἱ μετ' Ἀλκιβιάδου στρατευσάμενοι, καὶ τοσοῦτον ἐρρόνησαν, ὥς' ἀπαξιοῦν ἔτι τοῖς ἄλλοις καταμιγνύναι στρατιώτας ἑαυτοὺς, πολλάκις ἡττημένοις, ἀηττήτους ὄντας. Καὶ γὰρ οὐ πολλῷ πρότερον συνεβεβήκει πταίσαντος περὶ Ἔρεσον τοῦ Θρασύλλου, τὸ χαλκοῦν ἀνεγέναι τρόπαιον ὑπὸ τῶν Ἐρεσίων ἐπ' αἰσχύνῃ τῶν Ἀθηναίων. Ταῦτ' οὖν ὠνείδιζον οἱ μετ' Ἀλκιβιάδου τοῖς μετὰ τοῦ Θρασύλλου, μεγαλύνοντες αὑτοὺς καὶ τὸν στρατηγὸν, ἐκείνους δὲ μήτε γυμνασίων, μήτε χώρας, ἐν στρατοπέδῳ κοινωνεῖν ἐθέλοντες. Ἐπεὶ δὲ Φαρνάβαζος ἱππέας τε πολλοὺς ἔχων καὶ πεζοὺς ἐπῆλθεν αὐτοῖς ἐμβεβληκόσιν εἰς τὴν Ἀβυδηνὸν, ὁ (δ') Ἀλκιβιάδης, ἐκβοηθήσας ἐπ' αὐτὸν, ἐτρέψατο καὶ κατεδίωξεν ἄχρι σκότους μετὰ τοῦ Θρασύλλου· καὶ ἀνεμίγνυντο, καὶ κοινῇ φιλοφρονούμενοι καὶ χαίροντες, ἐπανῆσαν εἰς τὸ στρατόπεδον. Τῇ δ' ὑστεραίᾳ, στήσας τρόπαιον, ἐλεηλάτει τὴν Φαρναβάζου χώραν, οὐδενὸς ἀμύνασθαι τολμῶντος. Ἱερεῖς μέντοι καὶ ἱερεῖα ἔλαβε μὲν, ἀλλ' ἀφῆκεν ἄνευ λύτρων. Χαλκηδονίοις δ' ἀφεστῶσι καὶ δεδεγμένοις φρουρὰν καὶ ἁρμοστὴν Λακεδαιμονίων ὡρμημένος πολεμεῖν, ἀκούσας ὅτι τὴν λείαν πᾶσαν ἐκ τῆς χώρας συναγαγόντες εἰς Βιθυνοὺς ἐκτίθενται, φίλους ὄντας, ἦκεν ἐπὶ τοὺς ὅρους ἄγων τὸ στράτευμα· καὶ κήρυκα προσπέμψας, ἐνεκάλει τοῖς Βιθυνοῖς. Οἱ δὲ δείσαντες, τήν τε λείαν ἀπέδοσαν αὐτῷ, καὶ φιλίαν ὡμολόγησαν.

λ. Ἀποτειχιζομένης δὲ τῆς Χαλκηδόνος ἐκ θαλάττης εἰς θάλατταν, ὁ Φαρνάβαζος ἦκεν, ὡς λύσων τὴν πολιορκίαν· καὶ Ἱπποκράτης ὁ ἁρμοστὴς ἐκ τῆς πόλεως συναγαγὼν τὴν σὺν αὐτῷ δύναμιν, ἐπεχείρει τοῖς Ἀθηναίοις. Ὁ δ' Ἀλκιβιάδης ἅμα πρὸς ἀμφοτέρους ἀντιτάξας τὸ στράτευμα, τὸν μὲν Φαρνάβαζον αἰσχρῶς φεύγειν ἠνάγκασε, τὸν δ' Ἱπποκράτη διέφθειρε, καὶ συγχοὺς τῶν περὶ αὐτὸν ἡττηθέντας. Εἶτ' αὐτὸς μὲν ἐκπλεύσας εἰς τὸν Ἑλλήσποντον ἠργυρολόγει, καὶ Σηλυβρίαν εἷλεν, ἀφειδήσας

ἑαυτοῦ παρὰ τὸν καιρόν. Οἱ γὰρ ἐνδιδόντες τὴν πόλιν, συνέθεντο μὲν ἀνασχήσειν πυρσὸν αὐτῷ μεσούσης νυκτός· ἠναγκάσθησαν δὲ τοῦτο ποιῆσαι πρὸ τοῦ καιροῦ, τῶν συνωμοτῶν φοβηθέντες τινὰ ἐξαίρνης μεταβαλόμενον. Ἀρθέντος οὖν τοῦ πυρσοῦ, μηδέπω τῆς στρατιᾶς οὔσης ἑτοίμης, ἀναλαβὼν ὅσον τριάκοντα (τῶν) περὶ αὑτὸν, ἠπείγετο δρόμῳ πρὸς τὰ τείχη, τοὺς ἄλλους ἕπεσθαι κατὰ τάχος κελεύσας. Ἀνοιχθείσης δὲ τῆς πύλης αὐτῷ, καὶ προσγενομένων τοῖς τριάκοντα πελταστῶν εἴκοσι, παρεισπεσὼν εὐθὺς ἤσθετο τοὺς Σηλυβριανοὺς ἐξ ἐναντίας μετὰ τῶν ὅπλων ἐπιφερομένους. Ἐπεὶ δ' ὑποστάντι μὲν οὐκ ἐφαίνετο σωτηρία, πρὸς δὲ τὸ φυγεῖν, ἀήττητος ἄχρι τῆς ἡμέρας ἐκείνης ἐν ταῖς στρατηγίαις γεγονὼς, φιλονεικότερον εἶχε, τῇ σάλπιγγι σημήνας σιωπὴν, ἐκέλευσεν ἕνα τῶν παρόντων ἀνειπεῖν· Σηλυβριανοῖς Ἀθηναίους ἐναντία ὅπλα μὴ τίθεσθαι. Τοῦτο τὸ κήρυγμα τοὺς μὲν ἀμβλυτέρους ἐποίησε πρὸς τὴν μάχην, ὡς τῶν πολεμίων ἔνδον ὄντων ἁπάντων· οἱ δὲ ταῖς ἐλπίσιν ἡδίους ἐγένοντο πρὸς τὰς διαλύσεις. Ἐν ᾧ δὲ συσσάντες ἀλλήλοις ἐδίδοσαν λόγον, ἐπῆλθεν ἡ στρατιὰ τῷ Ἀλκιβιάδῃ, καὶ τεκμαιρόμενος, ὅπερ ἦν, εἰρηνικὰ φρονεῖν τοὺς Σηλυβριανοὺς, ἔδεισε, μὴ τὴν πόλιν οἱ Θρᾷκες διαρπάσωσιν. Ἦσαν δὲ πολλοὶ χάριτι τοῦ Ἀλκιβιάδου καὶ δι' εὔνοιαν στρατευόμενοι προθύμως. Ἀπέπεμψεν οὖν τούτους ἅπαντας ἐκ τῆς πόλεως, τοὺς δὲ Σηλυβριανοὺς δεηθέντας οὐδὲν ἠδίκησεν, ἀλλὰ χρήματα λαβὼν, καὶ φρουρὰν ἐγκαταστήσας, ἀπῆλθεν.

ΛΑ. Οἱ δὲ πολιορκοῦντες τὴν Χαλκηδόνα στρατηγοὶ, σπονδὰς ἐποιήσαντο πρὸς Φαρνάβαζον ἐπὶ τῷ χρήματα λαβεῖν, καὶ Χαλκηδονίους ὑπηκόους πάλιν Ἀθηναίοις εἶναι, τὴν δὲ Φαρναβάζου χώραν μὴ ἀδικεῖν· Φαρνάβαζον δὲ πρέσβεσιν Ἀθηναίων πρὸς βασιλέα πομπὴν μετ' ἀσφαλείας παρασχεῖν. Ὡς οὖν ἐπανελθόντα τὸν Ἀλκιβιάδην ὁ Φαρνάβαζος ἠξίου καὶ αὐτὸν ὀμόσαι περὶ

τῶν ὡμολογημένων, οὐκ ἔφη πρότερον, ἢ ἐκεῖνον, αὐτοῖς ὀμόσαι· Γενομένων δὲ τῶν ὅρκων, ἐπὶ Βυζαντίους ἀφεῳτας ἦλθε, καὶ περιετείχιζε τὴν πόλιν. Ἀναξιλάου δὲ καὶ Λυκούργου καί τινων ἄλλων συνθεμένων ἐπὶ σωτηρίᾳ παραδώσειν τὴν πόλιν, διαδοὺς λόγον, ὡς ἀνίστησιν αὐτοὺς πράγματα νεώτερα συνιστάμενα περὶ τὴν Ἰωνίαν, ἡμέρας ἀπέπλει ταῖς ναυσὶ πάσαις, νυκτὸς δ' ὑποστρέψας, αὐτὸς μὲν ἀπέβη μετὰ τῶν ὁπλιτῶν, καὶ προσελθὼν τοῖς τείχεσιν ἡσυχίαν ἦγεν· αἱ δὲ νῆες ἐπὶ τὸν λιμένα πλεύσασαι, καὶ βιαζόμεναι κραυγῇ τε πολλῇ καὶ θορύβοις καὶ ψόφοις, ἅμα μὲν ἐξέπληττον τῷ ἀπροσδοκήτῳ τοὺς Βυζαντίους, ἅμα δὲ τοῖς ἀττικίζουσι παρεῖχον ἐπ' ἀδείας τὸν Ἀλκιβιάδην δέχεσθαι, πάντων ἐπὶ τὸν λιμένα καὶ τὰς ναῦς βοηθούντων. Οὐ μὴν ἁμαχεὶ προσεχώρησαν· οἱ γὰρ παρόντες ἐν τῷ Βυζαντίῳ Πελοποννήσιοι καὶ Βοιωτοὶ καὶ Μεγαρεῖς, τοὺς μὲν ἀπὸ τῶν νεῶν ἐτρέψαντο καὶ καθεῖρξαν εἰς τὰς ναῦς πάλιν, τοὺς δ' Ἀθηναίους ἔνδον ὄντας αἰσθόμενοι, καὶ συντάξαντες ἑαυτοὺς, ἐχώρουν ὁμόσε. Καρτερᾶ δὲ μάχης γενομένης, ἐνίκησεν Ἀλκιβιάδης τὸ δεξιὸν κέρας ἔχων, Θηραμένης δὲ τὸ εὐώνυμον, καὶ τῶν πολεμίων τοὺς περιγενομένους, ὅσον τριακοσίους, ζῶντας ἔλαβε. Βυζαντίων δὲ μετὰ τὴν μάχην οὐδεὶς ἀπέθανεν, οὐδ' ἔφυγεν. Ἐπὶ τούτοις γὰρ οἱ ἄνδρες παρέδοσαν τὴν πόλιν, καὶ ταῦτα συνέθεντο, μηδὲν αὐτοῖς ἧττον ὑπεξελόμενοι. Διὸ καὶ δίκην προδοσίας ἐν Λακεδαίμονι φεύγων ὁ Ἀναξίλαος, ἐφάνη τῷ λόγῳ τὸ ἔργον οὐκ αἰσχύνων. Ἔφη γὰρ, οὐκ ὢν Λακεδαιμόνιος, ἀλλὰ Βυζάντιος, οὐδὲ τὴν Σπάρτην κινδυνεύουσαν, ἀλλὰ τὸ Βυζάντιον ὁρῶν, τῆς μὲν πόλεως ἀποτετειχισμένης, μηδενὸς δ' εἰσαγομένου, τὸν δ' ὄντα σῖτον ἐν τῇ πόλει Πελοποννησίων καὶ Βοιωτῶν ἐνθιόντων, Βυζαντίων δὲ πεινώντων σὺν τέκνοις καὶ γυναιξὶν, οὐ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ πολέμων καὶ κακῶν ἀπαλλάξαι τὴν πόλιν, μιμούμενος τοὺς ἀρίστους Λακεδαιμονίων,

δαιμονίων, οἷς ἓν καλὸν ἁπλῶς καὶ δίκαιόν ἐςι τὸ τῆς πατρίδος συμφέρον. Οἱ μὲν οὖν Λακεδαιμόνιοι ταῦτ' ἀκούσαντες, ἠδέσθησαν καὶ ἀπέλυσαν τοὺς ἄνδρας.

ΛΒ. Ὁ δ' Ἀλκιβιάδης, ἰδεῖν τε ποθῶν ἤδη τὰ οἴκοι, καὶ ἔτι μᾶλλον ὀρθῆναι βουλόμενος τοῖς πολίταις νενικηκὼς τοὺς πολεμίους τοσαυτάκις ἀνήχθη, πολλαῖς μὲν ἀσπίσι καὶ λαφύροις κύκλῳ κεκοσμημένων τῶν Ἀττικῶν τριηρῶν, πολλὰς δ' ἑφελκόμενος αἰχμαλώτους, ἔτι δὲ πλείω κομίζων ἀκροσόλια τῶν διεφθαρμένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων. Ἦσαν γὰρ οὐκ ἐλάττους συναμφότεραι διακοσίων. Ἄ δὲ Δοῦρις ὁ Σάμιος, Ἀλκιβιάδου φάσκων ἀπόγονος εἶναι, προσίθησι τούτοις, αὐλεῖν μὲν εἰρεσίαν τοῖς ἐλαύνουσι Χρυσόγονον τὸν Πυθιονίκην, κελεύειν δὲ Καλλιπίδην τὸν τῶν τραγῳδιῶν ὑποκριτήν, ςατοὺς καὶ ζυγίδας καὶ τὸν ἄλλον ἐναγώγιον ἀμπεχομένους κόσμον, ἰσίῳ δ' ἀλουργῷ τὴν ναυαρχίδα προσφέρεσθαι τοῖς λιμέσιν, ὥσπερ ἐκμέθης ἐπικωμάζοντος, οὔτε Θεόπομπος, οὔτ' Ἔφορος, οὔτε Ξενοφῶν γέγραφεν· οὔτ' εἰκὸς ἦν οὕτως ἐντρυφῆσαι τοῖς Ἀθηναίοις, μετὰ φυγὴν καὶ συμφορὰς τοσαύτας κατερχόμενον. Ἀλλ' ἐκεῖνος καὶ δεδιὼς κατήγετο, καὶ καταχθεὶς οὐ πρότερον ἀπέβη τῆς τριήρους, πρὶν ςὰς ἐπὶ τοῦ καταςρώματος ἰδεῖν Εὐρυπτόλεμόν τε τὸν ἀνεψιὸν παρόντα, καὶ τῶν ἄλλων φίλων καὶ οἰκείων συχνοὺς ἐκδεχομένους καὶ παρακαλοῦντας. Ἐπεὶ δ' ἀπέβη, τοὺς μὲν ἄλλους ςρατηγοὺς οὐδ' ὁρᾶν ἐδόκουν ἀπαντῶντες οἱ ἄνθρωποι, πρὸς δ' ἐκεῖνον συντρέχοντες, ἐβόων, ἠσπάζοντο, παρέπεμπον, ἐςεφάνουν προσιόντες· οἱ δὲ μὴ δυνάμενοι προσελθεῖν, ἄπωθεν ἐθεῶντο, καὶ τοῖς νέοις ἐδείκνυσαν οἱ πρεσβύτεροι. Πολὺ δὲ καὶ τὸ δακρύον τῷ χαίροντι τῆς πόλεως ἀνεκέκρατο, καὶ μνήμη πρὸς τὴν παροῦσαν εὐτυχίαν τῶν πρόσθεν ἀτυχημάτων, λογιζομένοις, ὡς οὔτ' ἂν Σικελίας διήμαρτον, οὔτ' ἄλλο τι τῶν προσδοκηθέντων ἐξέρυγεν αὐτοὺς ἐάσαντας Ἀλκιβιάδην ἐπὶ τῶν τότε πραγμάτων

καὶ τῆς δυνάμεως ἐκείνης, εἰ νῦν τὴν πόλιν παραλαβὼν ὀλίγου δέουσαν ἐκπεπτωκέναι τῆς θαλάσσης, καὶ κατὰ γῆν δὲ μόλις τῶν προαστείων κρατοῦσαν, αὐτὴν δὲ πρὸς ἑαυτὴν σασιάζουσαν, ἐκ λυπρῶν ἔτι λειψάνων καὶ ταπεινῶν ἀναζήσας, οὐ μόνον γε τῆς θαλάσσης τὸ κράτος ἀπέδωκεν, ἀλλὰ καὶ πεζῇ νικῶσαν ἀποδείκνυσι πανταχοῦ τοὺς πολεμίους.

ΛΓ. Τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο, Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς ἐν ταῖς ἐλεγείαις πεποίηκεν, ὑπομιμνήσκων τὸν Ἀλκιβιάδην τῆς χάριτος ἐν τούτοις.

Γνώμη δ' ἥ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
Εἶπον, καὶ γράψας τοὔργον ἔδρασα τόδε.
Σφραγὶς δ' ἡμετέρης γλώττης ἐπὶ τοῖσδεσι κεῖται.

Τότε δὲ, τοῦ δήμου συνελθόντος εἰς τὴν ἐκκλησίαν, παρελθὼν ὁ Ἀλκιβιάδης, καὶ τὰ μὲν αὑτοῦ πάθη κλαύσας, καὶ ὀλοφυράμενος, ἐγκαλέσας δὲ μικρὰ καὶ μέτρια τῷ δήμῳ, τὸ δὲ σύμπαν ἀναθεὶς αὐτοῦ τινὶ τύχῃ πονηρᾷ, καὶ φθονερῷ δαίμονι, πλεῖστα δ' εἰς ἐλπίδας τῶν πολιτῶν καὶ πρὸς τὸ θαρρεῖν διαλεχθεὶς καὶ παρορμήσας, στεφάνοις μὲν ἐστεφανώθη χρυσοῖς, ἥρέθη δὲ καὶ κατὰ γῆν ἅμα καὶ κατὰ θάλασσαν στρατηγὸς αὐτοκράτωρ. Ἐψηφίσαντο δὲ τὴν οὐσίαν ἀποδοῦναι αὐτῷ, καὶ τὰς ἀρὰς ἀφοσιώσασθαι πάλιν Εὐμολπίδας καὶ Κήρυκας, ἃς ἐποιήσαντο τοῦ δήμου προστάξαντος. Ἀφοσιουμένων δὲ τῶν ἄλλων, Θεόδωρος ὁ ἱεροφάντης, Ἀλλ' ἐγὼ, εἶπεν, οὐδὲ κατηρασάμην αὐτῷ κακὸν οὐδέν, εἰ μηδὲν ἀδικεῖ τὴν πόλιν.

ΛΔ. Οὕτω δὲ τοῦ Ἀλκιβιάδου λαμπρῶς εὐημεροῦντος, ὑπέθραττεν ἐνίους ὅμως ὁ τῆς καθόδου καιρός. Ἡ γὰρ ἡμέρα κατέπλευσεν, ἐδρᾶτο τὰ Πλυντήρια τῇ θεῷ. Δρῶσι δὲ τὰ ὄργια Πραξιεργίδαι Θαργηλιῶνος ἕκτῃ φθίνοντος ἀπόῤῥητα, τόν τε κόσμον καθελόντες, καὶ τὸ ἕδος κατακαλύψαντες. Ὅθεν ἐν ταῖς μάλιστα τῶν ἀποφράδων τὴν ἡμέραν ταύτην ἄπρακτον Ἀθηναῖοι

νομίζουσιν. Οὐ φιλοφρόνως οὖν, οὐδ' εὐμενῶς ἐδόκει προσδεχομένη τὸν Ἀλκιβιάδην ἡ θεὸς παρακαλύπτεσθαι καὶ ἀπελαύνειν ἑαυτῆς. Οὐ μὴν ἀλλὰ πάντων γεγονότων τῷ Ἀλκιβιάδῃ κατὰ γνώμην, καὶ πληρουμένων ἑκατὸν τριηρῶν, αἳ αὖθις ἐκπλεῖν ἔμελλον, φιλοτιμία τις οὐκ ἀγεννὴς προσπεσοῦσα κατέσχεν αὐτὸν ἄχρι μυστηρίων. Ἀφ' οὗ γὰρ ἐπετειχίσθη Δεκέλεια, καὶ τῶν εἰς Ἐλευσῖνα παρόδων ἐκράτουν οἱ πολέμιοι παρόντες, οὐδένα κόσμον εἶχεν ἡ τελετὴ πεμπομένη κατὰ θάλασσαν, ἀλλὰ καὶ θυσίαι καὶ χορεῖαι καὶ πολλὰ τῶν δρωμένων καθ' ὁδὸν ἱερῶν, ὅταν ἐξελαύνωσι τὸν Ἴακχον, ὑπ' ἀνάγκης ἐξελείπετο. Καλὸν οὖν ἐφαίνετο τῷ Ἀλκιβιάδῃ καὶ πρὸς θεῶν ὁσιότητα, καὶ πρὸς ἀνθρώπων δόξαν, ἀποδοῦναι τὸ πάτριον σχῆμα τοῖς ἱεροῖς, παραπέμψαντα πεζῇ τὴν τελετὴν, καὶ δορυφορήσαντα παρὰ τοὺς πολεμίους· ἢ γὰρ ἀτρεμήσαντα κωμιδῆ κολούσειν καὶ ταπεινώσειν τὸν Ἄγιν, ἢ μάχην ἱερὰν καὶ θεοφιλῆ περὶ τῶν ἁγιωτάτων καὶ μεγίστων ἐν ὄψει τῆς πατρίδος μαχεῖσθαι, καὶ πάντας ἔξειν μάρτυρας τοὺς πολίτας τῆς ἀνδραγαθίας. Ὡς δὲ ταῦτ' ἔγνω, καὶ προεῖπεν Εὐμολπίδαις καὶ Κήρυξι, σκοποὺς μὲν ἐπὶ τῶν ἄκρων ἐκάθισε, καὶ προδρόμους τινὰς ἅμ' ἡμέρᾳ προεξέπεμψεν. Ἱερεῖς δὲ καὶ μύστας καὶ μυσταγωγοὺς ἀναλαβὼν, καὶ τοῖς ὅπλοις περικαλύψας, ἦγεν ἐν κόσμῳ καὶ μετὰ σιωπῆς, θέαμα σεμνὸν καὶ θεοπρεπὲς τὴν στρατηγίαν ἐκείνην ἐπιδεικνύμενος, ὑπὸ τῶν μὴ φθονούντων ἱεροφαντίαν καὶ μυσταγωγίαν προσαγορευομένην. Μηδενὸς δὲ τῶν πολεμίων ἐπιθέσθαι τολμήσαντος, ἀσφαλῶς ἐπαναγαγὼν εἰς τὴν πόλιν, ἤρθη μὲν αὐτὸς τῷ φρονήματι, καὶ τὴν στρατιὰν ἐπῆρεν ὡς ἄμαχον καὶ ἀήττητον οὖσαν ἐκείνου στρατηγοῦντος, τοὺς δὲ φορτικοὺς καὶ πένητας οὕτως ἐδημαγώγησεν, ὥς' ἐρᾶν ἔρωτα θαυμαστὸν ὑπ' ἐκείνου τυραννεῖσθαι, καὶ λέγειν ἐνίους καὶ προσιέναι παρακελευομένους, ὅπως τοῦ φθόνου κρείττων γενόμενος, καὶ καταβαλὼν ψηφίσματα, καὶ νόμους, καὶ φλυάρους ἀπολλύν-

τας τὴν πόλιν, εἰς ὧν, πράξῃ καὶ χρήσηται τοῖς πράγμασι, μὴ δεδιὼς τοὺς συκοφάντας.

ΛΕ. Αὐτὸς μὲν οὖν ἐκεῖνος ἦν εἶχε διάνοιαν περὶ τῆς τυραννίδος, ἀδηλόν ἐστιν· οἱ δὲ δυνατώτατοι τῶν πολιτῶν φοβηθέντες ἐσπούδασαν αὐτὸν ἐκπλεῦσαι τὴν ταχίστην, τά τ' ἄλλα ψηφισάμενοι, καὶ συνάρχοντας, οὓς ἐκεῖνος ἠθέλησεν. Ἐκπλεύσας οὖν ταῖς ἑκατὸν ναυσὶ, καὶ προσβαλὼν Ἄνδρῳ, μάχῃ μὲν ἐκράτησεν αὐτῶν καὶ Λακεδαιμονίων, ὅσοι παρῆσαν, οὐχ εἷλε δὲ τὴν πόλιν. Ἀλλὰ τοῦτο τῶν κοινῶν ἐγκλημάτων πρῶτον ὑπῆρξε κατ' αὐτοῦ τοῖς ἐχθροῖς. Ἔοικε δ', εἴ τις ἄλλος ὑπὸ τῆς αὐτοῦ δόξης καταλυθῆναι καὶ Ἀλκιβιάδης. Μεγάλη γὰρ οὖσα, καὶ τόλμης καὶ συνέσεως γέμουσα ἀφ' ὧν κατώρθωσεν, ὕποπτον αὐτοῦ τὸ ἐλλεῖπον, ὡς οὐ σπουδάσαντος, ἀπιστίαν τοῦ μὴ δυνηθῆναι παρεῖχε· σπουδάσαντα γὰρ οὐδὲν ἂν διαφυγεῖν. Ἤλπιζον δὲ καὶ Χίους ἑαλωκότας ἀκούσεσθαι, καὶ τὴν ἄλλην Ἰωνίαν. Ὅθεν ἠγανάκτουν, μὴ ταχὺ πάντα, μηδ' εὐθέως, ὡς ἐβούλοντο, πυνθανόμενοι διατεπραγμένον· οὐχ ὑπολογιζόμενοι τὴν ἀχρηματίαν, ἀφ' ἧς πολεμῶν πρὸς ἀνθρώπους βασιλέα μέγαν χορηγὸν ἔχοντας, ἠναγκάζετο πολλάκις ἐκπλέων καὶ ἀπολείπων τὸ στρατόπεδον, μισθοὺς καὶ τροφὰς πορίζειν. Καὶ γὰρ τὸ τελευταῖον ἔγκλημα διὰ ταύτην ἔλαβε τὴν αἰτίαν. Ἀυσάνδρου γὰρ ἐπὶ τὴν ναυαρχίαν ἀποσταλέντος ὑπὸ Λακεδαιμονίων, καὶ τετρώβολον ἀντὶ τριωβόλου τῷ ναύτῃ διδόντος ἐξ ὧν ἔλαβε παρὰ Κύρου χρημάτων, αὐτὸς ἤδη γλίσχρως χορηγῶν καὶ τὸ τριώβολον, ἀπῆρεν ἀργυρολογήσων ἐπὶ Καρίας. Ὁ δ' ἀπολειφθεὶς ἐπὶ τῶν νεῶν ἐπιμελητὴς Ἀντίοχος, ἀγαθὸς μὲν ἦν κυβερνήτης, ἀνόητος δὲ τἄλλα καὶ φορτικός· ἔχων δὲ πρόσταγμα παρὰ τοῦ Ἀλκιβιάδου, μηδ' ἂν ἐπιπλέωσιν οἱ πολέμιοι, διαναυμαχεῖν, οὕτως ἐξύβρισε καὶ κατεφρόνησεν, ὥστε τὴν αὐτοῦ πληρωτάμενος τριήρη καὶ τῶν ἄλλων μίαν ἐπιπλεῦσαι τῇ Ἐφέσῳ, καὶ παρὰ τὰς πρῴρας τῶν πολε-

μίων νεῶν, πολλὰ καὶ πράττων καὶ φθεγγόμενος ἀκόλαστα καὶ βωμολόχα, παρεξελαύνειν. Τὸ μὲν οὖν πρῶτον Λύσανδρος ὀλίγαις ναυσὶν ἐπαναχθεὶς ἐδίωκεν αὐτὸν, τῶν δ' Ἀθηναίων ἐπιβοηθούντων, πάσαις ἀναχθεὶς καὶ κρατήσας, αὐτόν τε διέφθειρε τὸν Ἀντίοχον, καὶ ναῦς ἔλαβε πολλὰς καὶ ἀνθρώπους, καὶ τρόπαιον ἔστησεν. Ὡς δὲ ταῦτ' ἤκουσεν ὁ Ἀλκιβιάδης ἐπανελθὼν εἰς Σάμον, ἀνήχθη παντὶ τῷ στόλῳ, καὶ προύκαλεῖτο τὸν Λύσανδρον. Ὁ δ' ἠγάπα νενικηκὼς, καὶ οὐκ ἀντανήγετο.

Ας. Τῶν δὲ μισούντων τὸν Ἀλκιβιάδην ἐν τῷ στρατοπέδῳ, Θρασύβουλος ὁ Θράσωνος, ἐχθρὸς ὤν, ἀπῆρεν εἰς Ἀθήνας κατηγορήσων. Καὶ τοὺς ἐκεῖ παροξύνας ἔλεγε πρὸς τὸν δῆμον, ὡς Ἀλκιβιάδης διέφθαρκε τὰ πράγματα καὶ τὰς ναῦς ἀπολώλεκεν, ἐντρυφῶν τῇ ἀρχῇ, καὶ παραδιδοὺς τὴν στρατηγίαν ἀνθρώποις ἐκ πότων καὶ ναυτικῆς σπερμολογίας δυναμένοις παρ' αὐτῷ μέγιστον, ὅπως αὐτὸς ἐπ' ἀδείας χρηματίζηται περιπλέων, καὶ ἀκολασαίνῃ μεθυσκόμενος καὶ συνὼν ἑταίραις Ἀβυδηναῖς καὶ Ἰωνίσιν, ἐφορμούντων δι' ὀλίγου τῶν πολεμίων. Ἐνεκάλουν δ' αὐτῷ καὶ τὴν τῶν τειχῶν κατασκευὴν, ἃ κατεσκεύασεν ἐν Θράκῃ περὶ Βισάνθην, αὐτῷ καταφυγὴν, ὡς ἐν τῇ πατρίδι μὴ δυνάμενος βιοῦν, ἢ μὴ βουλόμενος. Οἱ δ' Ἀθηναῖοι πεισθέντες, ἑτέρους εἵλοντο στρατηγοὺς, ἐνδεικνύμενοι τὴν πρὸς ἐκεῖνον ὀργὴν καὶ κακόνοιαν. Ἃ δὴ πυνθανόμενος ὁ Ἀλκιβιάδης, καὶ δεδοικὼς, ἀπῆλθεν ἐκ τοῦ στρατοπέδου παντάπασι· καὶ συναγαγὼν ξένους, ἐπολέμει τοῖς ἀβασιλεύτοις Θραξὶν ἰδίᾳ, καὶ πολλὰ χρήματα ξυνήγαγεν ἀπὸ τῶν ἁλισκομένων· καὶ τοῖς Ἕλλησιν ἅμα τοῖς προσοικοῦσιν ἄδειαν ἀπὸ τῶν βαρβάρων παρεῖχεν. Ἐπεὶ δ' οἱ περὶ Τυδέα καὶ Μένανδρον καὶ Ἀδείμαντον στρατηγοὶ πάσας ὁμοῦ τὰς ὑπαρχούσας τότε ναῦς τοῖς Ἀθηναίοις ἔχοντες ἐν Αἰγὸς ποταμοῖς, εἰώθεσαν ἐπιπλεῖν τῷ Λυσάνδρῳ ναυλοχοῦντι περὶ Λάμψακον, ἅμ' ἡμέρᾳ, προκαλούμενοι, καὶ πάλιν ἀναστρέφειν

ὀπίσω, καὶ διημερεύειν ἀτάκτως καὶ ἀμελῶς, ἅτε δὴ καταφρονοῦντες· ἐγγὺς ὢν ὁ Ἀλκιβιάδης οὐ περιεῖδεν, οὐδ' ἠμέλησεν, ἀλλ' ἵππῳ προσελάσας ἐδίδασκε τοὺς στρατηγούς, ὅτι κακῶς ὁρμοῦσιν ἐν χωρίοις ἀλιμένοις καὶ πόλιν οὐκ ἔχουσιν, ἀλλὰ πόρρωθεν ἐκ Σηστοῦ τὰ ἐπιτήδεια λαμβάνοντες, καὶ περιορῶντες τὸ ναυτικὸν, ὅταν ἐπὶ τῆς γῆς γένηται, πλανώμενον, ὅποι τις θέλοι, καὶ διασπειρόμενον, ἀντεφορμοῦντος αὐτοῖς στόλου, πρὸς ἐπίταγμα μοναρχικὸν εἰθισμένου σιωπῇ πάντα ποιεῖν.

ΛΖ. Ταῦτα δὲ λέγοντος τοῦ Ἀλκιβιάδου, καὶ παραινοῦντος εἰς Σηστὸν μεθορμίσαι τὸν στόλον, οὐ προσεῖχον οἱ στρατηγοί. Τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἐκέλευσεν ἀποχωρεῖν· οὐ γὰρ ἐκεῖνον, ἀλλ' ἑτέρους στρατηγεῖν. Ὁ δ' Ἀλκιβιάδης ὑπονοήσας τι καὶ προδοσίας ἐν αὐτοῖς, ἀπῆει, καὶ τοῖς προπέμπουσι τῶν ἀπὸ τοῦ στρατοπέδου γνωρίμων ἔλεγεν, ὅτι μὴ προπηλακισθεὶς οὕτως ὑπὸ τῶν στρατηγῶν, ὀλίγαις ἂν ἡμέραις ἠνάγκασε Λακεδαιμονίους διαναυμαχεῖν αὐτοῖς ἄκοντας, ἢ τὰς ναῦς ἀπολιπεῖν. Ἐδόκει δὲ τοῖς μὲν ἀλαζονεύεσθαι, τοῖς δ' εἰκότα λέγειν, εἰ Θρᾴκας ἐκ γῆς ἐπαγαγὼν πολλοὺς ἀκοντιστὰς καὶ ἱππεῖς, προσμάχοιτο καὶ διαταράττοι τὸ στρατόπεδον αὐτῶν. Ὅτι μέντοι τὰς ἁμαρτίας τῶν Ἀθηναίων ὀρθῶς συνεῖδε, ταχὺ τὸ ἔργον ἐμαρτύρησεν. Ἄφνω γὰρ αὐτοῖς καὶ ἀπροσδοκήτως τοῦ Λυσάνδρου προσπεσόντος, ὀκτὼ μόναι τριήρεις ἐξέφυγον μετὰ Κόνωνος, αἱ δ' ἄλλαι, μικρὸν ἀπολείπουσαι διακοσίων, ἀπήχθησαν αἰχμάλωτοι. Τῶν δ' ἀνθρώπων τρισχιλίους ἑλὼν ζῶντας ἀπέσφαξεν ὁ Λύσανδρος. Ἔλαβε δὲ καὶ τὰς Ἀθήνας ὀλίγῳ χρόνῳ, καὶ τὰς ναῦς ἐνέπρησε, καὶ τὰ μακρὰ τείχη καθεῖλεν. Ἐκ δὲ τούτου φοβηθεὶς ὁ Ἀλκιβιάδης ἄρχοντας ἤδη καὶ γῆς καὶ θαλάττης τοὺς Λακεδαιμονίους, εἰς Βιθυνίαν μετέστη, πολλὰ μὲν ἄγων χρήματα, πολλὰ δὲ κομίζων, ἔτι δὲ πλείω καταλιπὼν ἐνοῖς ᾤκει τείχεσιν. Ἐν δὲ Βιθυνίᾳ πάλιν, οὐκ ὀλίγα τῶν ἰδίων ἀπολέσας, καὶ περικοπεὶς ὑπὸ

τῶν ἐκεῖ Θρᾳκῶν, ἔγνω μὲν ἀναβαίνειν πρὸς Ἀρταξέρξην, ἑαυτόν τε μὴ χείρονα Θεμιστοκλέους πειρωμένῳ βασιλεῖ φανεῖσθαι νομίζων, καὶ κρείττονα τὴν πρόφασιν. Οὐ γὰρ ἐπὶ τοὺς πολίτας, ὡς ἐκεῖνον, ἀλλ' ὑπὲρ τῆς πατρίδος ἐπὶ τοὺς πολεμίους ὑπουργήσειν, καὶ δεήσεσθαι τῆς βασιλέως δυνάμεως. Εὐπορίαν δὲ τῆς ἀνόδου μετ' ἀσφαλείας μάλιστα Φαρνάβαζον οἰόμενος παρέξειν, ᾤχετο πρὸς αὐτὸν εἰς Φρυγίαν, καὶ συνδιῆγε θεραπεύων ἅμα καὶ τιμώμενος.

ΛΗ. Ἀθηναῖοι δὲ χαλεπῶς μὲν ἔφερον τῆς ἡγεμονίας ἀποσερηθέντες. Ἐπεὶ δὲ καὶ τὴν ἐλευθερίαν ἀφελόμενος αὐτῶν ὁ Λύσανδρος ἀνδράσι τριάκοντα παρέδωκε τὴν πόλιν, οἷς οὐκ ἐχρήσαντο σώζεσθαι δυνάμενοι λογισμοῖς, ἀπολωλότων ἤδη τῶν πραγμάτων συνίεσαν, ὀλοφυρόμενοι καὶ διεξιόντες τὰς ἁμαρτίας αὐτῶν καὶ ἀγνοίας· ὧν μεγίστην ἐποιοῦντο τὴν δευτέραν πρὸς Ἀλκιβιάδην ὀργήν. Ἀπερρίφη γὰρ οὐδὲν ἀδικῶν αὐτός· ἀλλ' ὑπηρέτῃ χαλεπήναντες ὀλίγας ἀποβαλόντι ναῦς αἰσχρῶς, αἴσχιον αὐτοὶ τὸν κράτιστον καὶ πολεμικώτατον ἀφείλοντο τῆς πόλεως στρατηγόν. Ἔτι δ' οὖν ὅμως ἐκ τῶν παρόντων ἀνέρρεπέ τις ἐλπὶς ἀμυδρά, μὴ παντάπασιν ἔρρειν τὰ πράγματα τῶν Ἀθηναίων, Ἀλκιβιάδου περιόντος· « Οὔτε γὰρ πρότερον ἠγάπησε φεύγων ἀπραγμόνως ζῆν καὶ μεθ' ἡσυχίας, οὔτε νῦν, εἰ τὰ καθ' ἑαυτὸν ἱκανῶς ἔχει, περιόψεται Λακεδαιμονίους ὑβρίζοντας, καὶ τοὺς τριάκοντα παροινοῦντας. » Ταῦτα δ' οὐκ ἦν ἄλογον ὀνειροπολεῖν οὕτως τοὺς πολλούς, ὁπότε καὶ τοῖς τριάκοντα φροντίζειν ἐπῄει καὶ διαπυνθάνεσθαι, καὶ λόγον ἔχειν πλεῖστον ὧν ἐκεῖνος ἔπραττε καὶ διενοεῖτο. Τέλος δὲ Κριτίας ἐδίδασκε Λύσανδρον, ὡς Ἀθηναίων οὐκ ἔστι δημοκρατουμένων ἀσφαλῶς ἄρχειν Λακεδαιμονίοις τῆς Ἑλλάδος· Ἀθηναίους δὲ, κἂν πράως πάνυ καὶ καλῶς πρὸς ὀλιγαρχίαν ἔχωσιν, οὐκ ἐᾶσαι ζῶν Ἀλκιβιάδης ἀτρεμεῖν ἐπὶ τῶν καθεστώτων. Οὐ μὴν ἐπείσθη γε πρότερον τούτοις ὁ Λύ-

σανδρος, ἢ παρὰ τῶν οἴκοι τελῶν σκυτάλην ἐλθεῖν, κελεύουσαν ἐκ ποδῶν ποιήσασθαι τὸν Ἀλκιβιάδην· εἴτε κἀκείνων φοβηθέντων τὴν ὀξύτητα καὶ μεγαλοπραγμοσύνην τοῦ ἀνδρὸς, εἴτε τῷ Ἄγιδι χαριζομένων.

ΛΘ. Ὡς οὖν ὁ Αὐσανδρος ἔπεμψε πρὸς τὸν Φαρνάβαζον ταῦτα πράττειν κελεύων, ὁ δὲ Μαγαίῳ τε τῷ ἀδελφῷ καὶ Σουσαμίθρῃ τῷ θείῳ προσέταξε τὸ ἔργον, ἔτυχε μὲν ἐν κώμῃ τινὶ τῆς Φρυγίας ὁ Ἀλκιβιάδης τότε διαιτώμενος, ἔχων Τιμάνδραν μετ' αὐτοῦ τὴν ἑταίραν. Ὄψιν δὲ κατὰ τοὺς ὕπνους εἶδε τοιαύτην· ἐδόκει περικεῖσθαι μὲν αὐτὸς τὴν ἐσθῆτα τῆς ἑταίρας, ἐκείνην δὲ τὴν κεφαλὴν ἐν ταῖς ἀγκάλαις ἔχουσαν αὐτοῦ κοσμεῖν τὸ πρόσωπον ὥσπερ γυναικὸς, ὑπογράφουσαν καὶ ψιμυθιοῦσαν. Ἕτεροι δέ φασιν ἰδεῖν τὴν κεφαλὴν ἀποτέμνοντας αὐτοῦ τοὺς περὶ τὸν Μαγαῖον ἐν τοῖς ὕπνοις, καὶ τὸ σῶμα καιόμενον. Ἀλλὰ τὴν μὲν ὄψιν οὐ πολὺ γενέσθαι λέγουσι πρὸ τῆς τελευτῆς· οἱ δὲ πεμφθέντες πρὸς αὐτὸν οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ κύκλῳ τὴν οἰκίαν περιςάντες, ἐνεπίμπρασαν. Αἰσθόμενος δ' ὁ Ἀλκιβιάδης, τῶν μὲν ἱματίων τὰ πλεῖςα καὶ τῶν ςρωμάτων συναγαγὼν, ἐπέρριψε τῷ πυρί· τῇ δ' ἀριςερᾷ χειρὶ τὴν ἑαυτοῦ χλαμύδα περιελίξας, τῇ δὲ δεξιᾷ σπασάμενος τὸ ἐγχειρίδιον ἐξέπεσεν ἀπαθὴς ὑπὸ τοῦ πυρὸς, πρὶν ἢ διαφλέγεσθαι τὰ ἱμάτια, καὶ τοὺς βαρβάρους ὀφθεὶς διεσκέδασεν. Οὐδεὶς γὰρ ὑπέμεινεν αὐτὸν, οὐδ' εἰς χεῖρας συνῆλθεν, ἀλλ' ἀποςάντες ἔβαλλον ἀκοντίοις καὶ τοξεύμασιν. Οὕτω δ' αὐτοῦ πεσόντος, καὶ τῶν βαρβάρων ἀπελθόντων, ἡ Τιμάνδρα τὸν νεκρὸν ἀνείλετο, καὶ τοῖς αὐτῆς περιβαλοῦσα καὶ περικαλύψασα χιτωνίσκοις, ἐκ τῶν παρόντων ἐκήδευτε λαμπρῶς καὶ φιλοτίμως. Ταύτης λέγουσι θυγατέρα γενέσθαι Λαΐδα, τὴν Κορινθίαν μὲν προσαγορευθεῖσαν, ἐκ δὲ Ὑκκάρων, Σικελικοῦ πολίσματος, αἰχμάλωτον γενομένην. Ἔνιοι δὲ τὰ μὲν ἄλλα περὶ τῆς Ἀλκιβιάδου τελευτῆς ὁμολογοῦσι

τούτοις· αἰτίαν δέ φασιν οὐ Φαρνάβαζον, οὐδὲ Λύσανδρον, οὐδὲ Λακεδαιμονίου; παρασχεῖν, αὐτὸν δὲ τὸν Ἀλκιβιάδην, γνωρίμων τινῶν διεφθαρκότα γύναιον ἔχειν σὺν αὐτῷ· τοὺ δ' ἀδελφοὺ τοῦ γυναίου τὴν ὕβριν οὐ μετρίως φέροντας, ἐμπρῆσαί τε τὴν οἰκίαν νύκτωρ, ἐν ᾗ διαιτώμενος ἐτύγχανεν ὁ Ἀλκιβιάδης, καὶ καταβαλεῖν αὐτόν, ὥσπερ εἴρηται, διὰ τοῦ πυρὸς ἐξαλλόμενον.

ΔΕΣΜΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΠΛΟΥΤΑΡΧ. ΜΑΡΚΙΟΣ ΓΑΙΟΣ ΚΟΡΙΟΛΑΝΟΣ.

Ο Μαρκίων οἶκος ἐν Ῥώμῃ τῶν Πατρικίων πολλοὺς παρέσχεν ἐνδόξους ἄνδρας, ὧν καὶ Μάρκιος ἦν Ἄγκος ὁ Νουμᾶ θυγατριδοῦς, καὶ μετὰ Τύλλον Ὁστίλιον βασιλεὺς γενόμενος. Μάρκιοι δ' ἦσαν καὶ Πόπλιος καὶ Κόϊντος, οἱ πλεῖστον ὕδωρ καὶ κάλλιστον ἐν Ῥώμῃ καταγαγόντες· καὶ Κηνσωρῖνος, ὃν δὶς ἀπέδειξε τιμητὴν ὁ Ῥωμαίων δῆμος· εἶτα ὑπ' αὐτοῦ πεισθεὶς ἐκείνου, νόμον ἔθετο καὶ ἐψηφίσατο μηδενὶ τὴν ἀρχὴν δὶς ἐξεῖναι μετελθεῖν. Γάϊος δὲ Μάρκιος, ὑπὲρ οὗ τάδε γέγραπται, τραφεὶς ὑπὸ μητρὶ χήρᾳ, πατρὸς ὀρφανὸς, ἀπέδειξε τὴν ὀρφανίαν ἄλλα μὲν ἔχουσαν κακὰ, πρὸς δὲ τὸ γενέσθαι σπουδαῖον ἄνδρα, καὶ διαφέροντα τῶν πολλῶν, οὐδὲν ἐμποδὼν οὖσαν· ἄλλως δὲ τοῖς φαύλοις αἰτιᾶσθαι καὶ ψέγειν παρέχουσαν αὐτὴν ὡς ἀμελείᾳ διαφθείρουσαν. Ὁ δ' αὐτὸς ἀνὴρ ἐμαρτύρησε καὶ τοῖς τὴν φύσιν ἡγουμένοις, ἐὰν οὖσα γενναία καὶ ἀγαθὴ παιδείας ἐνδεὴς γένηται, πολλὰ τοῖς χρηστοῖς ὁμοῦ φαῦλα συναποτίκτειν, ὥσπερ εὐγενῆ χώραν ἐν γεωργίᾳ θεραπείας μὴ τυχοῦσαν. Τὸ γὰρ ἰσχυρὸν αὐτοῦ πρὸς ἅπαντα τῆς γνώμης καὶ καρτερὸν, ὁρμάς τε μεγάλας καὶ τελεσιουργοὺς τῶν καλῶν ἐξέφερε· θυμοῖς τε αὖ πάλιν χρώμενον ἀκράτοις καὶ φιλονεικίαις ἀτρέπτοις, οὐ ῥᾴδιον οὐδ' εὐάρμοστον ἀνθρώποις συνεῖναι παρεῖχεν· ἀλλὰ τὴν ἐν ἡδοναῖς καὶ πόνοις καὶ ὑπὸ χρημάτων ἀπάθειαν αὐτοῦ θαυμάζοντες, καὶ ὀνομάζοντες ἐγκράτειαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν, ἐν ταῖς πολιτικαῖς αὖ πάλιν ὁμιλίαις ὡς ἐπαχθῆ καὶ ἄχαριν καὶ ὀλιγαρχικὸν ἐδυσχέραινον. Οὐδὲν γὰρ ἄλλο Μουσῶν εὐμενείας ἀπο-

λαύουσιν ἄνθρωποι τοσοῦτον, ὅσον ἐξημερῶσαι τὴν φύσιν ὑπὸ λόγου καὶ παιδείας, τῷ λόγῳ δεξαμένην τὸ μέτριον, καὶ τὸ ἄγαν ἀποβαλοῦσαν. Ὅλως μὲν οὖν ἐν τοῖς τότε χρόνοις ἡ Ῥώμη μάλιστα τῆς ἀρετῆς τὸ περὶ τὰς πολεμικὰς καὶ στρατιωτικὰς ἐκύδαινε πράξεις, καὶ μαρτυρεῖ τὸ τὴν ἀρετὴν ὑπ' αὐτῶν ἑνὶ τῷ τῆς ἀνδρείας ὀνόματι προσαγορεύεσθαι, καὶ τοῦτο τοῦ γένους ὄνομα κοινὸν ὑπάρχειν, ᾧ τὴν ἀνδρείαν ἰδίᾳ καλοῦσιν.

Β. Ὁ δὲ Μάρκιος ἑτέρων μᾶλλον ἐμπαθὴς γεγονὼς πρὸς τοὺς πολεμικοὺς ἀγῶνας, εὐθὺς ἐκ παιδὸς τὰ ὅπλα διὰ χειρὸς εἶχε. Καὶ τῶν ἐπικτήτων οὐδὲν ἔργον οἰόμενος εἶναι τοῖς μὴ τὸ σύμφυτον ὅπλον καὶ συγγενὲς ἐξηρτυμένον ἔχουσι καὶ παρεσκευασμένον, οὕτως ἤσκησε τὸ σῶμα πρὸς ἅπασαν ἰδέαν μάχης, ὥσε καὶ θεῖν ἐλαφρὸν εἶναι, καὶ βάρος ἔχειν ἐν λαβαῖς καὶ διαπάλαις πολέμου δυσεκβίαστον. Οἱ γοῦν ἔριν ἔχοντες εὐψυχίας ἀεὶ καὶ ἀρετῆς πρὸς αὐτὸν, ἐν οἷς ἐλείποντο, τὴν τοῦ σώματος ἠτιῶντο ῥώμην, ἄτρεπτον οὖσαν, καὶ πρὸς μηδένα πόνον ἀπαγορεύουσαν.

Γ. Ἐστρατεύσατο δὲ πρώτην στρατείαν ἔτι μειράκιον ὤν, ὅτε Ταρκυνίῳ τῷ Βασιλεύσαντι τῆς Ῥώμης, εἶτ' ἐκπεσόντι, μετὰ πολλὰς μάχας καὶ ἥττας, ὥσπερ ἔσχατον κύβον ἀφιέντι, πλεῖστοι μὲν Λατίνων, πολλοὶ δὲ καὶ τῶν ἄλλων Ἰταλιωτῶν συνεστράτευον, καὶ συγκατῆγον ἐπὶ τὴν Ῥώμην, οὐκ ἐκείνῳ χαριζόμενοι μᾶλλον, ἢ φόβῳ τὰ Ῥωμαίων αὐξόμενα καὶ φθόνῳ καταβάλλοντες. Ἐν ταύτῃ τῇ μάχῃ πολλὰς τροπὰς ἐπ' ἀμφότερα λαμβανούσῃ, Μάρκιος ἀγωνιζόμενος εὐρώστως ἐν ὄψει τοῦ Δικτάτωρος ἄνδρα Ῥωμαῖον πεσόντα πλησίον ἰδὼν, οὐκ ἠμέλησεν, ἀλλ' ἔστη πρὸ αὐτοῦ, καὶ τὸν ἐπιφερόμενον τῶν πολεμίων ἀμυνόμενος ἀπέκτεινεν. Ὡς οὖν ἐκράτησεν ὁ στρατηγὸς, ἐν πρώτοις ἐκεῖνον ἐστεφάνωσε δρυὸς στεφάνῳ. Τοῦτον γὰρ ὁ νόμος τῷ πολίτην ὑπερασπίσαντι τὸν στέφανον ἀποδέδωκεν· εἴτε δὴ μάλιστα τιμήσας δι' Ἀρκάδας τὴν δρῦν, βαλανηφάγους ὑπὸ τοῦ θεοῦ χρησμῷ προσ-

αγορευθέντας, εἴτε ὡς ταχὺ καὶ πανταχοῦ δρυὸς οὖσαν εὐπορίαν στρατευομένοις, εἴτε Διὸς Πολιέως ἱερὸν ὄντα τὸν τῆς δρυὸς στέφανον οἰόμενος ἐπὶ σωτηρίᾳ πολίτου δίδοσθαι πρεπόντως. Ἔστι δ' ἡ δρῦς τῶν μὲν ἀγρίων καλλικαρπότατον, τῶν δὲ τιθασῶν ἰσχυρότατον. Ἦν δὲ καὶ σιτίον ἀπ' αὐτῆς, ἡ βάλανος, καὶ ποτὸν, τὸ μελίτιον. Ὅψον δὲ παρεῖχε τὰ πλεῖστα τῶν νεμομένων τε καὶ πτηνῶν, θήρας ὄργανον φέρουσα τὸν ἰξόν. Ἐν ἐκείνῃ δὲ τῇ μάχῃ καὶ τοὺς Διοσκόρους ἐπιφανῆναι λέγουσι, καὶ μετὰ τὴν μάχην εὐθὺς ὀφθῆναι ῥεομένοις ἱδρῶτι τοῖς ἵπποις ἐν ἀγορᾷ τὴν νίκην ἀπαγγέλλοντας, οὗ νῦν παρὰ τὴν κρήνην νεώς ἐστιν αὐτοῖς ἱδρυμένος. Ὅθεν καὶ τὴν ἡμέραν, ἐπινίκιον οὖσαν, ἐν τῷ Ἰουλίῳ μηνὶ τὰς εἰδοὺς, Διοσκόροις ἀνιερώκασι.

Δ. Νέων δ', ὡς ἔοικεν, ἀνδρῶν ἐπιφάνεια καὶ τιμὴ τὰς μὲν ἐλαφρῶς φιλοτίμους φύσεις πρωϊαίτερον παραγενομένη σβέννυσι, καὶ ἀποπίμπλησι ταχὺ τὸ διψῶδες αὐτῶν καὶ ἄψικορον· τὰ δ' ἐμβριθῆ καὶ βέβαια φρονήματα αὔξουσιν αἱ τιμαὶ καὶ λαμπρύνουσιν, ὥσπερ ὑπὸ πνεύματος ἐγειρόμενα πρὸς τὸ φαινόμενον καλόν. Οὐ γὰρ ὡς μισθὸν ἀπολαμβάνοντες, ἀλλ' ὡς ἐνέχυρον διδόντες, αἰσχύνονται τὴν δόξαν καταλιπεῖν, καὶ μὴ τοῖς αὐτῶν ἔργοις ὑπερβαλέσθαι. Τοῦτο παθὼν καὶ ὁ Μάρκιος, αὐτὸς αὑτῷ ζῆλον ἀ δραγαθίας προὔθηκε, καινός τ' ἀεὶ βουλόμενος εἶναι ταῖς πράξεσιν, ἀρισείαις ἀρισείας συνῆπτε, καὶ λάφυρα λαφύροις ἐπέφερε, καὶ τοῖς προτέροις ἀεὶ τοὺς ὑστέρους ἡγεμόνας εἶχε περὶ τῆς ἐκείνου τιμῆς ἐρίζοντας, καὶ μαρτυρίας ὑπερβαλέσθαι. Πολλῶν γέ τοι τότε Ῥωμαίοις ἀγώνων καὶ πολέμων γενομένων, ἐξ οὐδενὸς ἀσεφάνωτος ἦλθεν, οὐδ' ἀγέρασος. Ἦν δὲ τοῖς μὲν ἄλλοις ἡ δόξα, τῆς ἀρετῆς τέλος, ἐκείνῳ δὲ τῆς δόξης, ἡ τῆς μητρὸς εὐφροσύνη. Τὸ γὰρ ἐκείνην ἐπαινούμενον ἀκοῦσαι, καὶ στεφανούμενον ἰδεῖν, καὶ περιβαλεῖν δακρύουσαν ὑφ' ἡδονῆς, ἐντιμότατον αὐτὸν ἐνόμιζε ποιεῖν καὶ μακαριώτατον. Τοῦτο δ'

ἀμέλει καὶ τὸν Ἐπαμινώνδαν φασὶν ἐξομολογήσασθαι τὸ πάθος, εὐτυχίαν ποιούμενον αὐτοῦ μεγίστην, ὅτι τὴν ἐν Λεύκτροις στρατηγίαν αὐτοῦ καὶ νίκην ὁ πατὴρ καὶ ἡ μήτηρ ἔτι ζῶντες ἐπεῖδον. Ἀλλ' ἐκεῖνος μὲν ἀμφοτέρων ἀπέλαυσε τῶν γονέων, συνηδομένων καὶ συνευημερούντων· Μάρκιος δὲ τῇ μητρὶ καὶ τὰς τοῦ πατρὸς ὀφείλειν χάριτας οἰόμενος, οὐκ ἐνεπίμπλατο τὴν Οὐολουμνίαν εὐφραίνων καὶ τιμῶν, ἀλλὰ καὶ γυναῖκα βουλομένης καὶ δεομένης ἔγημε, καὶ τὴν οἰκίαν ὤκει, γενομένων παίδων, ὁμοῦ μετὰ τῆς μητρός.

Ε. Ἤδη δὲ καὶ δόξαν αὐτοῦ καὶ δύναμιν ἀπὸ τῆς ἀρετῆς ἐν τῇ πόλει μεγάλην ἔχοντος, ἡ βουλὴ τοῖς πλουσίοις ἀμύνουσα πρὸς τὸν δῆμον ἐσάσιασε, πολλὰ καὶ δεινὰ πάσχειν ὑπὸ τῶν δανειστῶν δοκοῦντα. Τοὺς μὲν γὰρ κεκτημένους μέτρια, πάντων ἀφῃροῦντο τῶν ὄντων, ἐνεχυρασμοῖς καὶ πράσεσι· τοὺς δὲ παντελῶς ἀπόρους, αὐτοὺς ἀπῆγον, καὶ τὰ σώματα καθείργνυσαν αὐτῶν, ὠτειλὰς ἔχοντα τετρωμένων πολλὰς καὶ πεπονηκότων ἐν ταῖς ὑπὲρ τῆς πατρίδος στρατείαις· ὧν τὴν τελευταίαν ἐδέξαντο πρὸς Σαβίνους, τῶντε πλουσιωτάτων ἐπαγγειλαμένων μετριάσειν, καὶ τῆς βουλῆς τὸν ἄρχοντα Μάρκον Οὐαλέριον ἐγγυήσασθαι ψηφισαμένης. Ἐπεὶ δὲ κἀκείνην ἀγωνισαμένοις τὴν μάχην προθύμως καὶ κρατήσασι τῶν πολεμίων, οὐδὲν ἐγίνετο παρὰ τῶν δανειστῶν ἐπιεικές, οὐδ' ἡ βουλὴ προσεποιεῖτο μεμνῆσθαι τῶν ὡμολογημένων, ἀλλ' ἀγομένους πάλιν περιεώρα καὶ ῥυσιαζομένους, θόρυβοι δὲ καὶ συρράσεις ἦσαν ἐν τῇ πόλει πονηραί, καὶ τοὺς πολεμίους οὐκ ἔλαθε παραχωδῶς ἔχων ὁ δῆμος, ἀλλ' ἐμβαλόντες ἐπυρπόλουν τὴν χώραν, τῶν δ' ἀρχόντων εἰς τὰ ὅπλα τοὺς ἐν ἡλικίᾳ καλούντων, οὐδεὶς ὑπήκουεν· οὕτω διέστησαν αἱ γνῶμαι πάλιν τῶν ἐν τέλει. Καί τινες μὲν ᾤοντο δεῖν ὑρίεσθαι τοῖς πένησι, καὶ χαλάσαι τὸ σύντονον ἄγαν καὶ νόμιμον· ἔνιοι δ' ἀντέτεινον, ὧν ἦν καὶ Μάρκιος, οὐ τὸ τῶν χρημάτων μέγιστον

ἡγούμενος, ἀρχὴν δὲ καὶ πεῖραν ὕβρεως ὄχλου καὶ θρασύτητος ἐπανισαμένου τοῖς νόμοις, εἰ σωφρονοῦσι, παύειν καὶ σβεννύειν παρακελευόμενος.

ς. Συνιούσης δὲ περὶ τούτων πολλάκις ἐν ὀλίγῳ χρόνῳ τῆς βουλῆς, καὶ μηδὲν τέλος ἐκφερούσης, συρράντες οἱ πένητες ἄφνω, καὶ παρακαλέσαντες ἀλλήλους, ἀπέλιπον τὴν πόλιν· καὶ καταλαβόντες ὄρος, ὃ νῦν ἱερὸν καλεῖται, παρὰ τὸν Ἀνίηνα ποταμὸν ἐκαθέζοντο, πράττοντες μὲν οὐδὲν βίαιον οὐδὲ στασιαστικὸν, ἐκπεπτωκέναι δὲ τῆς πόλεως ὑπὸ τῶν πλουσίων πάλαι βοῶντες, ἀέρα δὲ καὶ ὕδωρ καὶ τόπον ἐνταφῆναι πανταχοῦ τὴν Ἰταλίαν αὐτοῖς παρέξειν, ὧν πλέον οὐδὲν οἰκοῦσι τὴν Ῥώμην ὑπάρχειν αὐτοῖς, ἀλλ' ἢ τιτρώσκεσθαι καὶ ἀποθνήσκειν ὑπὲρ τῶν πλουσίων στρατευομένοις. Ταῦτ' ἔδεισεν ἡ βουλὴ, καὶ τοὺς ἐπιεικεῖς μάλιστα καὶ δημοτικοὺς τῶν πρεσβυτέρων ἐξαπέστειλε. Προηγόρει δὲ Μενήνιος Ἀγρίππας· καὶ πολλὰ μὲν τοῦ δήμου δεόμενος, πολλὰ δ' ὑπὲρ τῆς βουλῆς παῤῥησιαζόμενος, τελευτῶντι τῷ λόγῳ περιῆλθεν εἰς σχῆμα μύθου διαμνημονευόμενον. Ἔφη γὰρ, τοῦ ἀνθρώπου τὰ μέλη πάντα πρὸς τὴν γαστέρα στασιάσαι, καὶ κατηγορεῖν αὐτῆς, ὡς μόνης ἀργοῦ καὶ ἀσυμβόλου καθεζομένης ἐν τῷ σώματι, τῶν δ' ἄλλων εἰς τὰς ἐκείνης ὀρέξεις πόνους τε μεγάλους καὶ λειτουργίας ὑπομενόντων· τὴν δὲ γαστέρα τῆς εὐηθείας αὐτῶν καταγελᾶν, ἀγνοούντων, ὅτι τὴν τροφὴν ὑπολαμβάνει μὲν εἰς ἑαυτὴν ἅπασαν, ἀναπέμπει δ' αὖθις ἐξ αὐτῆς καὶ διανέμει τοῖς ἄλλοις Οὕτως οὖν, ἔφη, καὶ τῆς συγκλήτου λόγος ἐστὶν, ὦ πολῖται, πρὸς ὑμᾶς· τὰ γὰρ ἐκεῖ τυγχάνοντα τῆς προσηκούσης οἰκονομίας βουλεύματα καὶ πράγματα πᾶσιν ὑμῖν ἐπιφέρει καὶ διανέμει τὸ χρήσιμον καὶ ὠφέλιμον.

ζ. Ἐκ τούτου διηλλάγησαν, αἰτησάμενοι παρὰ τῆς βουλῆς, καὶ τυχόντες, ἄνδρας αἱρεῖσθαι πέντε προστάτας τῶν δεομένων βοηθείας, τοὺς νῦν δημάρχους καλουμένους. Εἵλοντο δὲ πρώτους,

οἷς ἐχρήσαντο καὶ τῆς ἀποστάσεως ἡγεμόσι, τοὺς περὶ Βροῦτον Ἰούνιον καὶ Σικίννιον Βέλλουτον. Ἐπεὶ δ' ἡ πόλις εἰς ἓν ἦλθεν, εὐθὺς ἐν τοῖς ὅπλοις ἦσαν οἱ πολλοί, καὶ παρεῖχον αὑτοὺς τοῖς ἄρχουσι χρῆσθαι προθύμως ἐπὶ τὸν πόλεμον. Ὁ δὲ Μάρκιος, οὔτ' αὐτὸς ἡδόμενος οἷς ὁ δῆμος ἴσχυεν, ἐνδούσης τῆς ἀριστοκρατίας, καὶ τῶν ἄλλων Πατρικίων πολλοὺς ὁρῶν τὸ αὐτὸ πεπονθότας, ὅμως παρεκάλει, μὴ ἀπολείπεσθαι τῶν δημοτικῶν ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν, ἀλλὰ τῇ ἀρετῇ μᾶλλον, ἢ τῇ δυνάμει, φαίνεσθαι διαφέροντας αὐτῶν.

Η. Ἐν δὲ τῇ Οὐολούσκων ἔθνει, πρὸς οὓς ἐπολέμουν, ἡ Κοριολάνων πόλις ἀξίωμα μέγιστον εἶχε. Ταύτην οὖν τοῦ ὑπάτου Κομινίου περιστρατοπεδεύσαντος, οἱ λοιποὶ Οὐολοῦσκοι δείσαντες, ἐπὶ τοὺς Ῥωμαίους συνεβοήθουν πανταχόθεν, ὡς πρὸς τῇ πόλει ποιησόμενοι μάχην, καὶ διεχόθεν ἐπιχειρήσοντες αὐτοῖς. Ἐπεὶ δ' ὁ Κομίνιος διελὼν τὴν δύναμιν, αὐτὸς μὲν ἀπάντα τοῖς ἔξωθεν ἐπιοῦσι τῶν Οὐολούσκων, Λάρκιον δὲ Τίτον, ἄνδρα Ῥωμαίων ἐν τοῖς ἀρίστοις, ἐπὶ τῆς πολιορκίας ἀπέλιπε, καταφρονήσαντες οἱ Κοριολάνοι τῶν παρόντων, ἐπεξῆλθον, καὶ προσμαχόμενοι τὸ πρῶτον ἐκράτουν, καὶ κατεδίωκον εἰς τὰ χάρακα τοὺς Ῥωμαίους. Ἔνθα δὴ Μάρκιος ἐκβραμὼν σὺν ὀλίγοις, καὶ καταβαλὼν τοὺς προσμίξαντας αὐτῷ μάλιστα, τοὺς δ' ἄλλους στήσας ἐπιφερομένους, ἀνεκαλεῖτο μεγάλῃ βοῇ τοὺς Ῥωμαίους. Καὶ γὰρ ἦν, ὥσπερ ἠξίου τὸν στρατιώτην ὁ Κάτων, οὐ χειρὶ καὶ πληγῇ μόνον, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ ὄψει προσώπου φοβερὸς ἐν τυχεῖν πολεμίῳ καὶ δυσυπόστατος. Ἀθροιζομένων δὲ πολλῶν καὶ συνισταμένων περὶ αὐτὸν, ἀπεχώρουν οἱ πολέμιοι δείσαντες. Ὁ δ' οὐκ ἠγάπησεν, ἀλλ' ἐπηκολούθει, καὶ συνήλαυνεν ἤδη προτροπάδην φεύγοντας ἄχρι τῶν πυλῶν. Ἐκεῖ δ' ὁρῶν ἀποτρεπομένους τοῦ διώκειν τοὺς Ῥωμαίους, πολλῶν μὲν ἀπὸ τοῦ τείχους βελῶν προσφερομένων, τὸ δὲ συνεισπεσεῖν τοῖς φεύγου-

σιν

σιν εἰς πόλιν ἀνδρῶν πολεμικῶν γέμουσαν, ἐν τοῖς ὅπλοις ὄντων, οὐδενὸς εἰς νοῦν ἐμβαλέσθαι τολμῶντος, ὅμως ἐπισὰς παρεκάλει καὶ παῤῥεθάρυνεν ἀνεῳχθαι βοῶν ὑπὸ τῆς τύχης τοῖς διώκουσι μᾶλλον, ἢ τοῖς φεύγουσι, τὴν πόλιν. Οὐ πολλῶν δὲ βουλομένων ἑπακολουθεῖν, ὡσάμενος διὰ τῶν πολεμίων ἐνήλατο ταῖς πύλαις καὶ συνεισέπεσε, μηδενὸς τὸ πρῶτον ἀντισχεῖν, μηδ' ὑποστῆναι τολμήσαντος, ἔπειτα δ', ὡς κατεῖδον ὀλίγους παντάπασιν ἔνδον ὄντας, συμβοηθούντων καὶ προσμαχομένων ἀναμεμιγμένοις ὁμοῦ φίλοις καὶ πολεμίοις, ἄπιστον ἀγῶνα λέγεται, καὶ χειρὸς ἔργοις, καὶ ποδῶν τάχει, καὶ τολμήμασι ψυχῆς ἀγωνιζόμενος ἐν τῇ πόλει, καὶ κρατῶν ἁπάντων, πρὸς οὓς ὁρούσειε, τοὺς μὲν ἐξῶσαι πρὸς τὰ ἔσχατα μέρη, τῶν δ' ἀπειπαμένων καὶ καταβαλόντων τὰ ὅπλα, πολλὴν ἄδειαν τῷ Λαρκίῳ παρασχεῖν ἔξωθεν ἐπάγοντι τοὺς Ῥωμαίους.

Θ. Οὕτω δὲ τῆς πόλεως ἁλούσης, καὶ τῶν πλείστων ἐν ἁρπαγαῖς ὄντων καὶ διαφορήσεσι χρημάτων, ὁ Μάρκιος ἠγανάκτει καὶ ἐβόα, δεινὸν ἡγούμενος, τοῦ ὑπάτου καὶ τῶν σὺν ἐκείνῳ πολιτῶν τάχα που συμπεπτωκότων τοῖς πολεμίοις καὶ διαμαχομένων, αὐτοὺς χρηματίζεσθαι περιιόντας, ἢ προφάσει χρηματισμοῦ τὸν κίνδυνον ἀποδιδράσκειν. Ἐπεὶ δ' οὐ πολλοὶ προσεῖχον αὐτῷ, τοὺς βουλομένους ἀναλαβὼν, ἐβάδιζε τὴν ὁδὸν, ᾗ τὸ στράτευμα παρακεχωρηκὸς ἤσθητο· πολλάκις μὲν ἐποτρύνων τοὺς σὺν αὐτῷ, καὶ παρακαλῶν μὴ ἐνδιδόναι, πολλάκις δὲ τοῖς θεοῖς εὐχόμενος μὴ ἀπολειφθῆναι τῆς μάχης, ἀλλ' εἰς καιρὸν ἐλθεῖν, ἐν ᾧ συναγωνιεῖται καὶ συγκινδυνεύσει τοῖς πολίταις. Ἦν δὲ τότε τοῖς Ῥωμαίοις ἔθος εἰς τάξιν καθισαμένοις, καὶ μέλλουσι τοὺς θυρεοὺς ἀναλαμβάνειν, καὶ περιζώννυσθαι τὴν τήβεννον, ἅμα καὶ διαθήκας ἀγράφους τίθεσθαι, τριῶν ἢ τεττάρων ἑπακουόντων, ὀνομάζοντας τὸν κληρονόμον. Ταῦτα δὴ πράττοντας ἤδη τοὺς στρατιώτας Μάρκιος, ἐν ὄψει τῶν πολεμίων ὄντων, κατελάμβανε.

Καὶ τὸ μὲν πρῶτον ἑνίους διετάραξεν ὀφθεὶς μετ' ὀλίγων αἵματος περίπλεως καὶ ἱδρῶτος· ἐπεὶ δὲ προσδραμὼν τῷ ὑπάτῳ περιχαρὴς τὴν δεξιὰν ἐνέβαλε, καὶ τῆς πόλεως ἀπήγγειλε τὴν ἅλωσιν, ὁ δὲ Κομίνιος περιεπτύξατο αὐτὸν καὶ κατησπάσατο, τοῖς μὲν πυθομένοις τὸ γεγενημένον κατόρθωμα, τοῖς δ' εἰκάσασι, θάρσος παρέστη, καὶ βοῇ παρεκάλουν ἄγειν καὶ συνάπτειν. Ὁ δὲ Μάρκιος ἠρώτησε τὸν Κομίνιον, πῶς διακεκόσμηται τὰ τῶν πολεμίων ὅπλα, καὶ ποῦ τέτακται τὸ μαχιμώτατον. Ἐκείνου δὲ φήσαντος οἴεσθαι τὰς κατὰ μέσον σπείρας Ἀντιατῶν εἶναι, πολεμικωτάτων καὶ μηδενὶ φρονήματος ὑφιεμένων· Ἀξιῶ σε τοίνυν, ὁ Μάρκιος ἔφη, καὶ αἰτοῦμαι, κατὰ τούτους τάξον ἡμᾶς τοὺς ἄνδρας. Ἔδωκεν οὖν ὁ ὕπατος, θαυμάσας αὐτοῦ τὸ πρόθυμον. Ὡς δ' ἦσαν ἐμβολαὶ δοράτων, καὶ τοῦ Μαρκίου προεκδραμόντος, οὐκ ἀντέσχον οἱ κατὰ σῶμα τῶν Οὐολούσκων, ἀλλ' ᾧ προσέμιξε μέρει τῆς φάλαγγος, εὐθὺς διεκέκοπτο, τῶν *δ'* ἑκατέρωθεν ἐπισρεφόντων καὶ περιλαμβανόντων τοῖς ὅπλοις τὸν ἄνδρα, δείσας ὁ ὕπατος τοὺς κρατίστους τῶν περὶ αὐτὸν ἐξέπεμπεν. Ἰσχυρᾶς δὲ περὶ τὸν Μάρκιον μάχης γενομένης, καὶ πολλῶν ἐν ὀλίγῳ νεκρῶν πεσόντων, ἐγκείμενοι καὶ καταβιαζόμενοι τοὺς πολεμίους ἐώσαντο, καὶ τρεπόμενοι πρὸς δίωξιν αὐτῶν, τὸν Μάρκιον ᾔξίουν, ὑπό τε καμάτου βαρὺν ὄντα καὶ τραυμάτων, ἀναχωρεῖν ἐπὶ τὸ στρατόπεδον. Εἰπὼν δ' ἐκεῖνος, ὅτι νικώντων οὐκ ἔστι τὸ κάμνειν, ἐφείπετο τοῖς φεύγουσιν. Ἠττήθη δὲ καὶ τὸ λοιπὸν στράτευμα, πολλῶν μὲν διαφθαρέντων, πολλῶν δ' ἁλόντων.

I. Τῇ δ' ὑστεραίᾳ τοῦ Μαρκίου παραγενομένου, καὶ τῶν ἄλλων ἀθροιζομένων πρὸς τὸν ὕπατον, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ τοῖς θεοῖς τὴν πρέπουσαν ἀποδοὺς ἐπὶ τηλικούτοις κατορθώμασιν εὐφημίαν, πρὸς τὸν Μάρκιον τρέπεται. Καὶ πρῶτον μὲν αὐτοῦ θαυμαστὸν ἔπαινον εἶπε, τῶν μὲν αὐτὸς ἐν τῇ μάχῃ γεγονὼς θεατής, τὰ δὲ τοῦ Λαρκίου μαρτυροῦντος. Ἔπειτα, πολλῶν

χρημάτων καὶ ἵππων γεγονότων αἰχμαλώτων, καὶ ἀνθρώπων, ἐκέλευσεν αὐτὸν ἐξελέσθαι δέκα πάντα πρὸ τοῦ νέμειν τοῖς ἄλλοις. Ἄνευ δ' ἐκείνων ἀριστεῖον αὐτῷ κεκοσμημένον ἵππον ἐδωρήσατο. Τῶν δὲ Ῥωμαίων ἐπαινεσάντων, ὁ Μάρκιος προελθὼν, τὸν μὲν ἵππον ἔφη δέχεσθαι, καὶ χαίρειν τοῖς ἐπαίνοις τοῦ ἄρχοντος, τὰ δ' ἄλλα, μισθὸν, οὐ τιμὴν ἡγούμενος, ἐᾶν, καὶ ἀγαπήσειν ὡς εἷς ἕκαστος τὴν νέμησιν· « Ἓξαίρετον δὲ μίαν αἰτοῦμαι χάριν (ἔφη), καὶ δέομαι λαβεῖν. Ἦν μοι ξένος ἐν Οὐολούσκοις καὶ φίλος, ἀνὴρ ἐπιεικὴς καὶ μέτριος. Οὗτος ἑάλωκε νῦν, καὶ γέγονεν ἐκ πλουσίου καὶ μακαρίου δοῦλος. Πολλῶν οὖν αὐτῷ κακῶν παρόντων, ἓν ἀφελεῖν ἀρκεῖ, τὴν πρᾶσιν. » Ἐπὶ τούτοις λεχθεῖσι βοή τε μείζων ἀπήντησε τῷ Μαρκίῳ, καὶ πλείονες οἱ θαυμάζοντες ἐγένοντο τὸ μὴ κρατούμενον ὑπὸ χρημάτων τἀνδρὸς, ἢ τὴν ἐν τοῖς πολέμοις ἀνδραγαθίαν. Καὶ γὰρ οἷς φθόνου τι καὶ ζήλου πρὸς αὐτὸν ὑπέκειτο τιμώμενον ἐκπρεπῶς, κἀκείνοις τότε τοῦ λαβεῖν μεγάλα, τῷ μὴ λαβεῖν, ἄξιος ἔδοξε· καὶ μᾶλλον αὐτοῦ τὴν ἀρετὴν ἠγάπησαν, ἀφ' ἧς κατερρόνει τηλικούτων, ἢ δι' ὧν ἠξιοῦτο. Τὸ μὲν γὰρ εὖ χρῆσθαι χρήμασι κάλλιόν ἐστιν, ἢ ὅπλοις· τοῦ δὲ χρῆσθαι, τὸ μὴ δεῖσθαι χρημάτων σεμνότερον.

ΙΑ. Ἐπεὶ δ' ἐπαύσατο βοῆς καὶ θορύβου τὸ πλῆθος, ὑπολαβὼν ὁ Κομίνιος· Ἀλλ' ἐκείνας μὲν, εἶπεν, ὦ συγκρατιῶται, τὰς δωρεὰς οὐ δύνασθε βιάζεσθαι μὴ δεχόμενον τὸν ἄνδρα, μηδὲ βουλόμενον λαβεῖν· ἣν δ' οὐκ ἔστιν ἐπὶ τούτῳ διδομένην ἀπώσασθαι, δῶμεν αὐτῷ, καὶ ψηφισώμεθα καλεῖσθαι Κοριολάνον, εἰ μὴ καὶ πρὸ ἡμῶν ἡ πρᾶξις αὐτὴ τοῦτο δέδωκεν. Ἐκ τούτου τρίτον ἔσχεν ὄνομα τὸν Κοριολάνον. Ὦ καὶ μάλιστα δῆλόν ἐστιν, ὅτι τῶν ὀνομάτων ἴδιον ἦν ὁ Γάϊος· τὸ δὲ δεύτερον, οἰκίας, ἢ γένους κοινὸν, ὁ Μάρκιος· τῷ δὲ τρίτῳ ὕστερον ἐχρήσατο, πράξεώς τινος, ἢ τύχης, ἢ ἰδέας, ἢ ἀρετῆς ἐπιθέτῳ. Καθάπερ Ἕλληνες ἐτίθεντο πράξεως μὲν ἐπώνυμον, τὸν Σωτῆρα καὶ τὸν Καλλίνικον· ἰδέας

δὲ, τὸν Φύσκωνα καὶ τὸν Γρυπόν· ἀρετῆς δὲ, τὸν Εὐεργέτην καὶ τὸν Φιλάδελφον· εὐτυχίας δὲ, τὸν Εὐδαίμονα, καθάπερ τῷ δευτέρῳ τῶν Βάττων. Ἐνίοις δὲ τῶν βασιλέων καὶ σκώμματα παρέσχεν ἐπικλήσεις, ὡς Ἀντιγόνῳ τὸν Δώσωνα, καὶ Πτολεμαίῳ τὸν Λάθυρον. Ἐπὶ πλέον δὲ τῷ γένει τούτῳ καὶ Ῥωμαῖοι κέχρηνται, Διαδήματόν τινα τῶν Μετέλλων καλέσαντες, ὅτι πολὺν χρόνον, ἕλκος ἔχων περιενόσει περιδεδεμένος τὸ μέτωπον· ἕτερον δὲ, Κέλερα, σπεύσαντα μεθ' ἡμέρας ὀλίγας τῆς τοῦ πατρὸς τελευτῆς ἐπιταφείους μονομάχων ἀγῶνας παρασχεῖν, τὸ τάχος καὶ τὴν ὀξύτητα τῆς παρασκευῆς θαυμάσαντες. Ἐνίους δὲ συντυχίᾳ γενέσεως μέχρι νῦν καλοῦσι, Πρόκλον μὲν, ἐὰν ἀποδημοῦντος πατρὸς γένηται, καὶ Πόστουμον, ἂν τεθνηκότος· ᾧ δ' ἂν διδύμῳ γενομένῳ συμβῇ περιβιῶναι, θατέρου τελευτήσαντος, Οὐοπίσκον. Τῶν δὲ σωματικῶν, οὐ μόνον Σύλλας, οὐδὲ Νίγρους, οὐδὲ Ῥούφους, ἀλλὰ καὶ Καίκους, καὶ Κλωδίους ἐπωνυμίας τίθενται· καλῶς ἐθίζοντες, μήτε τυφλότητα, μήτ' ἄλλην τινὰ σωματικὴν ἀτυχίαν, ὄνειδος ἡγεῖσθαι, μηδὲ λοιδορίαν, ἀλλ' ὡς οἰκείοις ὑπακούειν ὀνόμασιν. Ἀλλὰ ταῦτα μὲν ἑτέρῳ γενειγραφῆς προσήκει.

ΙΒ. Παυσαμένῳ δὲ τῷ πολέμῳ τὴν σάσιν ἐπήγειρον αὖθις οἱ δημαγωγοὶ, καινὴν μὲν οὐδεμίαν αἰτίαν ἔχοντες, οὐδ' ἔγκλημα δίκαιον, ἃ δὲ ταῖς προτέραις αὐτῶν ταραχαῖς καὶ διαφοραῖς ἀναγκαίως ἐπηκολούθησε κακὰ, ταῦτα ποιούμενοι πρόφασιν ἐπὶ τοὺς Πατρικίους. Ἄσπορος γὰρ ἡ πλείστη καὶ ἀγεώργητος ἀπελείφθη τῆς χώρας· ἀγορᾶς δ' ἐπεισάκτου παρασκευὴν διὰ τὸν πόλεμον ὁ καιρὸς οὐκ ἔδωκεν. Ἰσχυρᾶς οὖν ἀπορίας γενομένης, ὁρῶντες οἱ δημαγωγοὶ μήτ' ἀγορὰν ἔχοντα, μήτ', εἰ παρῆν ἀγορὰ, χρημάτων εὐποροῦντα τὸν δῆμον, ἐνέβαλλον λόγους καὶ διαβολὰς κατὰ τῶν πλουσίων, ὡς ἐκεῖνοι τὸν λιμὸν ἐπάγοιεν αὐτοῖς ὑπὸ μνησικακίας. Ἐκ δὲ τῶν Οὐελιτράνων ἦκε πρεσβεία

τὴν πόλιν παραδιδόντων, καὶ δεομένων ἀποίκους ἀποστέλλειν. Νόσος γὰρ ἐμπεσοῦσα λοιμώδης αὐτοῖς τοσοῦτον ὄλεθρον καὶ φθορὰν ἀπειργάσατο τῶν ἀνθρώπων, ὥστε μόλις τὸ δέκατον τοῦ παντὸς ἀπολειφθῆναι μέρος. Ἔδοξεν οὖν τοῖς νοῦν ἔχουσιν εἰς δέον γεγονέναι καὶ κατὰ καιρὸν ἡ χρεία τῶν Οὐελιτράνων, διὰ τὴν ἀπορίαν κουφισμοῦ δεομένοις· καὶ τὴν γάσιν ἅμα σκεδάσειν ἤλπιζον, εἰ τὸ θορυβοῦν μάλιστα καὶ συνεπηρμένον τοῖς δημαγωγοῖς, ὥσπερ περίττωμα τῆς πόλεως νοσερὸν καὶ ταραχῶδες, ἀποκαθαρθείη. Τούτους τε δὴ καταλέγοντες εἰς τὴν ἀποικίαν ἐξέπεμπον οἱ ὕπατοι, καὶ στρατείαν ἐπήγγελλον ἑτέροις ἐπὶ τοὺς Οὐολούσκους, ἀσχολίαν τε τῶν ἐμφυλίων μηχανώμενοι θορύβων καὶ νομίζοντες ἐν ὅπλοις καὶ στρατοπέδῳ καὶ κοινοῖς ἀγῶσιν αὖθις γενομένους πλουσίους ὁμοῦ καὶ πένητας καὶ δημοτικοὺς καὶ Πατρικίους, ἡμερώτερον διατεθῆναι πρὸς ἀλλήλους καὶ ἥδιον.

ΙΓ. Ἐνίσαντο δὲ λοιπὸν οἱ περὶ Σικίννιον καὶ Βροῦτον δημαγωγοὶ, βοῶντες, ἔργον ὠμότατον αὐτῷ τῷ πραοτάτῳ τῶν ὀνομάτων ἀποικίαν προσαγορεύσαντας, ἀνθρώπους πένητας ὥσπερ εἰς βάραθρον ὠθοῦντες, ἐκπέμποντας εἰς πόλιν ἄφορος τε νοσεροῦ καὶ νεκρῶν ἀτάφων γέμουσαν, ἀλλοτρίῳ δαίμονι καὶ παλαμναίῳ συνοικισομένους· εἶτα, ὥσπερ οὐκ ἀρκουμένους, τοὺς μὲν ὑπὸ λιμοῦ διολλύναι τῶν πολιτῶν, τοὺς δὲ λοιμῷ προσβάλλειν, ἔτι καὶ πόλεμον αὐθαίρετον προσάγειν, ὅπως μηδὲν κακὸν ἀπῇ τῆς πόλεως, ὅτι δουλεύουσα τοῖς πλουσίοις ἀπεῖπε. Τοιούτων ἀναπιμπλάμενος λόγων ὁ δῆμος, οὔτε τῷ καταλόγῳ προσήει τῶν ὑπάτων, πρός τε τὴν ἀποικίαν διεβέβλητο. Τῆς δὲ βουλῆς διαπορουμένης, ὁ Μάρκιος, ἤδη μεσὸς ὢν ὄγκου, καὶ μέγας γεγονὼς τῷ φρονήματι, καὶ θαυμαζόμενος ὑπὸ τῶν κρατίστων, φανερὸς ἦν μάλιστα τοῖς δημαγωγοῖς ἀνθισάμενος. Καὶ τὴν μὲν ἀποικίαν ἀπέστειλαν, ἐπιτιμίοις μεγάλοις τοὺς λαχόντας

ἐξελθεῖν ἀναγκάσαντες. Πρὸς δὲ τὴν στρατείαν παντάπασιν ἀπαγορευόντων, αὐτὸς ὁ Μάρκιος τούς τε πελάτας ἀναλαβὼν, καὶ τῶν ἄλλων ὅσους ἔπεισε, κατέδραμε τὴν Ἀντιατῶν χώραν. Καὶ πολὺν μὲν σῖτον εὑρὼν, πολλῇ δὲ λείᾳ θρεμμάτων καὶ ἀνδραπόδων περιτυχὼν, αὐτῷ μὲν οὐδὲν ἐξείλετο, τοὺς δὲ στρατευσαμένους πολλὰ μὲν ἄγοντας ἔχων, πολλὰ δὲ φέροντας, ἐπανῆλθεν εἰς τὴν Ῥώμην. Ὥσε τοὺς ἄλλους μεταμελομένους καὶ φθονοῦντας τοῖς εὐπορήσασιν, ἄχθεσθαι τῷ Μαρκίῳ καὶ βαρύνεσθαι τὴν δόξαν αὐτοῦ καὶ τὴν δύναμιν, ὡς ἐπὶ τὸν δῆμον αὐξομένην.

ΙΔ. Ὀλίγου δὲ χρόνου μετῄει μὲν ὑπατείαν ὁ Μάρκιος, ἐκάμπτοντο δ' οἱ πολλοὶ, καὶ τὸν δῆμον αἰδώς τις εἶχεν, ἄνδρα καὶ γένει καὶ ἀρετῇ πρῶτον ἀτιμάσαι καὶ καταβαλεῖν ἐπὶ τοσούτοις καὶ τηλικούτοις εὐεργετήμασι. Καὶ γὰρ ἔθος ἦν τοῖς μετιοῦσι τὴν ἀρχὴν παρακαλεῖν καὶ δεξιοῦσθαι τοὺς πολίτας, ἐν ἱματίῳ κατιόντας εἰς τὴν ἀγορὰν ἄνευ χιτῶνος· εἴτε μᾶλλον ἐκταπεινοῦντες ἑαυτοὺς τῷ σχήματι πρὸς τὴν δέησιν, εἴτε δεικνύντες, οἷς ἦσαν ὠτειλαὶ, προφανῆ τὰ σύμβολα τῆς ἀνδρείας. Οὐ γὰρ ὑποψίᾳ δήπου διανομῆς ἀργυρίου καὶ δεκασμῶν, ἄζωστον ἐβούλοντο προσιέναι καὶ ἀχίτωνα τοῖς πολίταις τὸν δεόμενον αὐτῶν. Ὀψὲ γὰρ μετὰ πολὺν χρόνον ὠνὴ καὶ πρᾶσις ἐπεισῆλθε, καὶ συνεμίγη ταῖς ἐκκλησιαστικαῖς ψήφοις ἀργύριον. Ἐκ δὲ τούτου καὶ δικασῶν θίγουσα καὶ στρατοπέδων ἡδωροδοκία περιέστησεν εἰς μοναρχίαν τὴν πόλιν, ἐξανδραποδισαμένη τὰ ὅπλα τοῖς χρήμασιν. Οὐ γὰρ κακῶς ἔοικεν εἰπεῖν ὁ εἰπὼν, ὅτι πρῶτος κατέλυσε τὸν δῆμον ὁ πρῶτος ἑστιάσας καὶ δεκάσας. Φαίνεται δὲ κρύφα καὶ κατὰ μικρὸν ὑποῤῥέον, οὐκ εὐθὺς ἔκδηλον ἐν Ῥώμῃ γενέσθαι τὸ κακόν. Οὐ γὰρ ἴσμεν, ὅστις ἦν ὁ δεκάσας πρῶτον ἐν Ῥώμῃ δῆμον, ἢ δικαστήριον· Ἀθήνησι δὲ λέγεται πρῶτος ἀργύριον δοῦναι δικασταῖς Ἄνυτος ὁ Ἀνθεμίωνος, προδοσίας περὶ Πύλου κρινόμενος ἐν τοῖς Πελοποννησιακοῖς ἤδη τελευτῶσιν,

ὁπηνίκα τὸ χρυσοῦν ἔτι γένος καὶ ἀκήρατον ἐν Ῥώμῃ τὴν ἀγορὰν κατεῖχεν.

ΙΕ. Ἀλλὰ τοῦ γε Μαρκίου πολλὰς ὑποφαίνοντος ὠτειλὰς ἀπὸ πολλῶν ἀγώνων, ἐν οἷς ἐπρώτευσεν, ἑπτακαίδεκα ἔτη συνεχῶς στρατευόμενος, ἐδυσωποῦντο τὴν ἀρετὴν, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, ὡς ἐκεῖνον ἀποδείξοντες. Ἐπεὶ δὲ τῆς ἡμέρας, ἐν ᾗ τὴν ψῆφον ἔδει φέρειν, ἐνστάσης, ὁ Μάρκιος εἰς ἀγορὰν ἐνέβαλε σοβαρῶς ὑπὸ τῆς βουλῆς προπεμπόμενος, καὶ πάντες οἱ Πατρίκιοι περὶ αὐτὸν ἐγένοντο φανεροὶ πρὸς μηδὲν οὕτω μηδέποτε σπουδάσαντες, ἐξέπεσον αὖθις οἱ πολλοὶ τῆς πρὸς αὐτὸν εὐνοίας, εἰς τὸ νεμεσᾶν καὶ φθονεῖν ὑποφερόμενοι. Προσῆν δὲ τῷ πάθει τούτῳ καὶ δέος, εἰ γένοιτο τῆς ἀρχῆς κύριος ἀνὴρ ἀριστοκρατικὸς, καὶ τοσοῦτον ἔχων ἐν τοῖς Πατρικίοις ἀξίωμα, μὴ παντάπασιν ἀφέλοιτο τοῦ δήμου τὴν ἐλευθερίαν. Οὕτω δὴ φρονήσαντες, ἀπεψηφίσαντο τὸν Μάρκιον. Ὡς δ' ἀνηγορεύθησαν ἕτεροι, βαρέως μὲν ἤνεγκεν ἡ βουλὴ, δοκοῦσα προπεπηλακίσθαι μᾶλλον ἑαυτὴν, ἢ τὸν Μάρκιον, αὐτὸς δ' ἐκεῖνος οὐ μετρίως ἔσχεν, οὐδ' ἐπιεικῶς πρὸς τὸ συμβεβηκὸς, ἅτε δὴ πλεῖστα τῷ θυμοειδεῖ καὶ φιλονείκῳ μέρει τῆς ψυχῆς, ὡς ἔχοντι μέγεθος καὶ φρόνημα, κεχρημένος, τὸ δ' ἐμβριθὲς καὶ τὸ πρᾷον, οὗ τὸ πλεῖστον ἀρετῇ πολιτικῇ μέτεσιν, ἐγκεκραμένον οὐκ ἔχων ὑπὸ λόγου καὶ παιδείας, οὐδὲ τὴν ἐρημίᾳ ξύνοικον, ὡς Πλάτων ἔλεγεν, αὐθάδειαν εἰδὼς ὅτι δεῖ μάλιστα διαφεύγειν ἐπιχειροῦντα πράγμασι κοινοῖς καὶ ἀνθρώποις ὁμιλεῖν, καὶ γενέσθαι τῆς πολλὰ γελωμένης ὑπ' ἐνίων ἀνεξικακίας ἐραστήν. Ἀλλ' ἁπλοῦς τις ὢν ἀεὶ καὶ ἀτενὴς, καὶ τὸ νικᾶν καὶ κρατεῖν ἁπάντων πάντως, ἀνδρείας ἔργον ἡγούμενος, οὐκ ἀσθενείας καὶ μαλακίας, ἐκ τοῦ πονοῦντος καὶ πεπονθότος μάλιστα τῆς ψυχῆς, ὥσπερ οἴδημα, τὸν θυμὸν ἀναδιδούσης, ἀπήει ταραχῆς μεστὸς ὢν, καὶ πικρίας πρὸς τὸν δῆμον. Οἱ δ' ἐν ἡλικίᾳ τῶν Πατρικίων ὅ τί περ ἦν ἐν τῇ πόλει μάλιστα

γαυρούμενον εὐγενείᾳ καὶ ἀνθοῦν, ἀεί τε θαυμαζῶς ἐσπουδάκεσαν περὶ τὸν ἄνδρα, καὶ τότε προσκείμενοι καὶ παρόντες οὐκ ἐπ' ἀγαθῷ, τὸν θυμὸν ἐξερρίπιζον αὐτοῦ, τῷ συναγανακτεῖν καὶ συναλγεῖν. Ἦν γὰρ ἡγεμὼν αὐτοῖς καὶ διδάσκαλος εὐμενὴς τῶν πολεμικῶν ἐν ταῖς στρατείαις, καὶ ζῆλον ἀρετῆς ἄνευ φθόνου πρὸς ἀλλήλους γαυρῶσαι τοὺς κατορθοῦντας.

Ις. Ἐν τούτῳ δὲ σῖτος ἦκεν εἰς Ῥώμην, πολὺς μὲν ὠνητὸς ἐξ Ἰταλίας, οὐκ ἐλάττων δὲ δωρητὸς ἐκ Συρακουσῶν, Γέλωνος τοῦ τυράννου πέμψαντος. Ὥστε τοὺς πλείστους ἐνελπίσι γενέσθαι χρησαῖς, ἅμα τῆς ἀπορίας καὶ τῆς διαφορᾶς τὴν πόλιν ἀπαλλαγήσεσθαι προσδοκῶντας. Εὐθὺς οὖν βουλῆς ἀθροισθείσης, περιχυθεὶς ὁ δῆμος ἔξωθεν ἐκαρδύκει τὸ τέλος, ἐλπίζων ἀγορᾷ τε χρήσεσθαι φιλανθρώπῳ, καὶ προῖκα τὰς δωρεὰς νεμήσεσθαι. Καὶ γὰρ ἔνδον ἦσαν οἱ ταῦτα τὴν βουλὴν πείθοντες. Ὁ μέντοι Μάρκιος ἀναστὰς, σφόδρα καθήψατο τῶν χαριζομένων τοῖς πολλοῖς, δημαγωγοὺς, καὶ προδότας ἀποκαλῶν τῆς ἀριστοκρατίας καὶ σπέρματα πονηρὰ θρασύτητος καὶ ὕβρεως εἰς ὄχλον ἀφειμένα τρέφοντας κατ' αὐτῶν· ἃ καλῶς μὲν εἶχε μὴ περιϊδεῖν ἐν ἀρχῇ φυόμενα, μηδ' ἰσχυρὸν ἀρχῇ τηλικαύτῃ ποιῆσαι τὸν δῆμον, ἤδη δὲ καὶ φοβερὸν εἶναι, τῷ πάντα βουλομένοις αὐτοῖς ὑπάρχειν, καὶ μηδὲν ἄκοντας βιάζεσθαι, μηδὲ πείθεσθαι τοῖς ὑπάτοις, ἀλλ' ἀναρχίαν ἔχοντας, ἡγεμόνας ἰδίους ἄρχοντας προσαγορεύειν. Ἐπιδόσεις μὲν οὖν καὶ διανομὰς, ὥσπερ Ἑλλήνων οἱ κράτιστα δημοκρατούμενοι, καθέζεσθαι ψηφιζομένους, ἔφη παντελῶς εἰς κοινὸν ὄλεθρον τὴν ἀπείθειαν αὐτῶν ἐφοδιάζειν. Οὐ γὰρ χάριν γε δήπου φήσουσιν ἀπολαμβάνειν τῶν στρατειῶν, ἃς ἐγκατέλιπον, καὶ τῶν ἀποστάσεων, αἷς προήκαντο τὴν πατρίδα, καὶ τῶν διαβολῶν, ἃς ἐδέξαντο κατὰ τῆς βουλῆς· ἀλλ' ὑφιεμένους διὰ φόβον, καὶ κολακεύοντας ἡμᾶς ταῦτα διδόναι καὶ συγχωρεῖν ἐλπίσαντες, οὐδὲν ἕξουσι πέρας ἀπειθείας, οὐδὲ παύσονται δια-

φερόμενοι καὶ σασιάζοντες. Ὥσε τοῦτο μένἐστι κομιδῇ μανικόν· εἰ δὲ σωφρονοῦμεν, ἀφαιρησόμεθα τὴν δημαρχίαν αὐτῶν, ἀναίρεσιν οὖσαν ὑπατείας, καὶ διάσασιν τῆς πόλεως, οὐκέτι μιᾶς, ὡς πρότερον, οὔσης, ἀλλὰ δεδεγμένης τομὴν μηδέποτε συμφῦναι, μηδ' ὁμοφρονῆσαι, μηδὲ παύσασθαι νοσοῦντας ἡμᾶς καὶ ταρασσομένους ὑπ' ἀλλήλων ἐάσουσαν.

ΙΖ. Πολλὰ τοιαῦτα λέγων ὁ Μάρκιος, ὑπερφυῶς εἶχε τοὺς νέους συνενθουσιῶντας αὐτῷ, καὶ τοὺς πλουσίους ὀλίγου δεῖν ἅπαντας, μόνον ἐκεῖνον ἄνδρα τὴν πόλιν ἀήττητον ἔχειν καὶ ἀκολάκευτον βοῶντας. Ἔνιοι δὲ τῶν πρεσβυτέρων ἠναντιοῦντο, ὑφορώμενοι τὸ ἀποβησόμενον. Ἀπέβη δὲ χρηστὸν οὐδέν. Οἱ γὰρ δήμαρχοι παρόντες, ὡς ἤσθοντο τῇ γνώμῃ κρατοῦντα τὸν Μάρκιον, ἐξέδραμον εἰς τὸν ὄχλον μετὰ βοῆς, παρακελευόμενοι συνίσασθαι καὶ βοηθεῖν αὐτοῖς τοὺς πολλούς. Ἐκκλησίας δὲ θορυβώδους γενομένης, καὶ τῶν λόγων, οὓς ὁ Μάρκιος εἶπεν, ἀναγορευθέντων, ὀλίγον ἐδέησεν ἐμπεσεῖν ὑπ' ὀργῆς φερόμενος εἰς τὴν βουλὴν ὁ δῆμος· οἱ δὲ δήμαρχοι τοῦ Μαρκίου τὴν αἰτίαν ἐποιοῦντο, καὶ πέμποντες ἐκάλουν αὐτὸν ἀπολογησόμενον. Ὡς δὲ πρὸς ὕβριν τοὺς πεμφθέντας ἐξήλασεν ὑπηρέτας, αὐτοὶ μετὰ τῶν ἀγορανόμων ἦκον ἄξοντες βίᾳ τὸν ἄνδρα, καὶ τοῦ σώματος ἐπελαμβάνοντο. Συσάντες δ' οἱ Πατρίκιοι τοὺς μὲν δημάρχους ἀπετρίψαντο, τοῖς δ' ἀγορανόμοις καὶ πληγὰς ἐνέβαλον. Τότε μὲν οὖν ἑσπέρα καταλαβοῦσα τὴν ταραχὴν διέλυσεν· ἅμα δ' ἡμέρᾳ τὸν δῆμον ὁρῶντες ἐξηγριωμένον οἱ ὕπατοι, καὶ συντρέχοντα πανταχόθεν εἰς τὴν ἀγοράν, ἔδεισαν ὑπὲρ τῆς πόλεως· καὶ τὴν βουλὴν ἀθροίσαντες, ἐκέλευον σκοπεῖν, ὅπως ἐπιεικέσι λόγοις καὶ δόγμασι χρησοῖς πραΰνωσι καὶ καταστήσωσι τοὺς πολλούς, ὡς οὐ φιλοτιμίας οὖσαν ὥραν, οὐδ' ὑπὲρ δόξης ἅμιλλαν, εἰ σωφρονοῦσιν, ἀλλὰ καιρὸν ἐπισφαλῆ καὶ ὀξύν, εὐγνώμονος πολιτείας καὶ φιλανθρώπου δεόμενον. Εἰξάντων δὲ τῶν

πλείσων, προελθόντες, ὡς ἐνὴν μάλιστα, τῷ δήμῳ διελέγοντο καὶ κατεπράϋνον, ἀπολυόμενοί τε τὰς διαβολὰς ἐπιεικῶς, καὶ τῷ νουθετοῦντι καὶ δάκνοντι μετρίως χρώμενοι· περὶ δὲ τιμῆς ὠνίων καὶ ἀγορᾶς οὐδὲν διοίσεσθαι πρὸς αὐτοὺς φάσκοντες.

ΙΗ. Ὡς οὖν ἐνεδίδου τὸ πολὺ τοῦ δήμου, καὶ φανερὸν ἦν τῷ κοσμίως καὶ σωφρόνως ἀκούειν, ἀγόμενον καὶ κηλούμενον, ἀνέσησαν οἱ δήμαρχοι, τῇ μὲν βουλῇ σωφρονούσῃ τὸν δῆμον ἀνθυπείξειν, ὅσα καλῶς ἔχει, φάσκοντες, τὸν δὲ Μάρκιον ἀπολογεῖσθαι κελεύοντες, εἰ μή φησιν ἐπὶ συγχύσει τῆς πολιτείας καὶ καταλύσει τοῦ δήμου, τήν τε βουλὴν παροξύνειν, καὶ καλούμενος ὑπ' αὐτῶν ἀπειθῆσαι· τέλος δὲ τοὺς ἀγορανόμους τύπτων ἐν ἀγορᾷ καὶ προπηλακίζων, ἐμφύλιον, ὅσον ἐπ' αὐτῷ, πόλεμον ἐξεργάσασθαι, καὶ προαγαγεῖν εἰς ὅπλα τοὺς πολίτας. Ἔλεγον δὲ ταῦτα, βουλόμενοι τὸν Μάρκιον, ἢ ταπεινὸν ἀποδεῖξαι, παρὰ φύσιν ὑφέντα τὸ φρόνημα, καὶ θεραπεύοντα τὸν δῆμον, ἢ τῇ φύσει χρώμενον, ἀνήκεσον ἀπεργάσασθαι τὴν πρὸς αὐτὸν ὀργήν· ὃ μᾶλλον ἤλπιζον, ὀρθῶς σχαζόμενοι τοῦ ἀνδρός. Ἔστη μὲν γὰρ ὡς ἀπολογησόμενος, καὶ παρέσχεν αὐτῷ σιωπὴν καὶ ἡσυχίαν ὁ δῆμος· ὡς δ' ἤρξατο πρὸς τοὺς ἀνθρώπους, δεινικόν τινα λόγον προσδεχομένους, οὐ μόνον ἐπαχθεῖ παῤῥησίᾳ χρῆσθαι, καὶ πλείονι κατηγορίᾳ τῆς παῤῥησίας, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ διαθέσει προσώπου τὴν ἐγγὺς ὑπεροψίας καὶ ὀλιγωρίας ἀφοβίαν ἐπιδεικνύμενος, ὁ μὲν δῆμος, ἐξετραχύνθη, καὶ φανερὸς ἦν δυσανασχετῶν καὶ βαρυνόμενος τοῖς λεγομένοις· τῶν δὲ δημάρχων ὁ θρασύτατος Σικίννιος, μικρὰ τοῖς συνάρχουσι διαλεχθείς, εἶτ' εἰς μέσον ἀναγορεύσας, ὡς θάνατος ὑπὸ τῶν δημάρχων τοῦ Μαρκίου κατέγνωσαι, προσέταξε τοῖς ἀγορανόμοις, ἀναγαγόντας αὐτὸν ἐπὶ τὴν ἄκραν, εὐθὺς ὦσαι κατὰ τῆς ὑποκειμένης φάραγγος. Ἁπτομένων δὲ τῶν ἀγορανόμων τοῦ σώματος, ἔδοξε μὲν καὶ τῶν δημοτῶν πολλοῖς φρικτὸν εἶναι τὸ γιγνόμενον καὶ ὑπερήφανον· οἱ δὲ Πα-

τρίκιοι παντάπασιν ἐκχάντες καὶ περιπαθήσαντες, ὥρμησαν ἀπὸ κραυγῆς βοηθεῖν· οἱ δὲ, καὶ χερσὶ τοὺς ἐπιλαμβανομένους ἀνείργοντες, καὶ καταμιγνύντες ἑαυτοῖς τὸν Μάρκιον· ἔνιοι δὲ καὶ τὰς χεῖρας ὀρέγοντες, ἐδέοντο τῶν πολλῶν, ἐπειδὴ λόγου τε καὶ φωνῆς οὐδὲν ἔργον ἦν ἐν ἀκοσμίᾳ τοσαύτῃ καὶ θορύβοις· ἄχρις οὗ συμφρονήσαντες οἱ φίλοι καὶ οἰκεῖοι τῶν δημάρχων, ὡς ἄνευ φόνου πολλοῦ τῶν Πατρικίων οὐκ ἔστιν ἐξαγαγεῖν, οὐδὲ κολάσαι τὸν Μάρκιον, ἔπεισαν αὐτοὺς ἀφελεῖν τῆς τιμωρίας τὸ ἀλλόκοτον καὶ βαρὺ, μὴ βίᾳ, μηδ' ἄκριτον ἀποκτιννύντας, ἀλλὰ τῷ δήμῳ ψῆφον ἐπενεγκεῖν ἀποδόντας. Ἐκ τούτου καταστὰς ὁ Σικίννιος ἠρώτα τοὺς Πατρικίους, Τί βουλόμενοι τὸν Μάρκιον ἀφαιροῦνται τοῦ δήμου βουλομένου κολάζειν. Ἐκείνων δὲ πάλιν ἀντερωτώντων· Τί μὲν οὖν διανοεῖσθε, καὶ τί βούλεσθε ὑμεῖς, ἄνδρα Ῥωμαίων ἐν τοῖς ἀρίστοις ἄνευ κρίσεως ἐπὶ τιμωρίαν ὠμὴν καὶ παράνομον οὕτως ἄγοντες; Ἀλλὰ ταύτην μὲν, εἶπεν ὁ Σικίννιος, ὑμεῖς μὴ ποιεῖσθε προφασιν διαφορᾶς καὶ στάσεως πρὸς τὸν δῆμον· ὃ γὰρ ἀξιοῦτε, δίδωσιν ὑμῖν. κριθῆναι τὸν ἄνδρα· Σοὶ δὲ, Μάρκιε, προαγορεύομεν εἰς τρίτην ἀγορὰν παρεῖναι, καὶ πείθειν τοὺς πολίτας, εἰ μηδὲν ἀδικεῖς, ὡς ψήφῳ κρινοῦντας.

ΙΘ. Τότε μὲν οὖν ἠγάπησαν οἱ Πατρίκιοι τὴν διάλυσιν, καὶ τὸν Μάρκιον ἀσμένως ἔχοντες ἀπῆλθον. Ἐν δὲ τῷ μεταξὺ χρόνῳ τῆς τρίτης ἀγορᾶς (ἀγορὰς δὲ ποιοῦσι Ῥωμαῖοι δι' ἡμέρας ἐννάτης, Νουνδίνας καλοῦντες), ἐλπίδα μὲν αὐτοῖς παρέσχε διακρούσεως στρατεία γενομένη πρὸς Ἀντιάτας, ὡς μῆκος ἔξουσα καὶ χρόνον, ἐν ᾧ χειροήθης ὁ δῆμος ἔσται, τῆς ὀργῆς ἀπομαρανθείσης, ἢ παντελῶς ἐκπεσούσης δι' ἀσχολίαν καὶ πόλεμον. Ἔπειτα δ', ὡς ταχὺ διαλυσάμενοι πρὸς τοὺς Ἀντιάτας ἐπανῆλθον, ἐγίνοντο σύνοδοι τῶν Πατρικίων πολλάκις, δεδιότων, καὶ σκοπούντων, ὅπως τύντε Μάρκιον οὐ προήσονται, τόν τε δῆμον αὖθις οὐ παρέξουσιν ἐκταράττειν τοῖς δημαγωγοῖς. Ἄππιος μὲν οὖν

Κλαύδιος αἰτίαν ἔχων ἐν τοῖς μάλιστα μισόδημος εἶναι, διεμαρτύρατο, λέγων, τήν τε βουλὴν αὐτοὺς ἀναιρήσειν, καὶ προήσεσθαι παντάπασι τὴν πολιτείαν, εἰ κύριον τῆς ψήφου κατὰ τῶν Πατρικίων δέξονται γενόμενον τὸν δῆμον. Οἱδὲ πρεσβύτατοι καὶ δημοτικώτατοι τοὐναντίον ἠξίουν, οὐ χαλεπὸν, οὐδὲ βαρὺν, ἀλλὰ πρᾷον καὶ φιλάνθρωπον ὑπὸ τῆς ἐξουσίας ἔσεσθαι τὸν δῆμον. Οὐ γὰρ καταφρονοῦντι τῆς βουλῆς, ἀλλ' οἰομένῳ καταφρονεῖσθαι, τιμὴν καὶ παραμυθίαν γενήσεσθαι τὴν κρίσιν, ὥσθ' ἅμα τὴν ψῆφον λαβόντας ἀποθήσεσθαι τὴν ὀργήν.

Κ. Ὁρῶν οὖν ὁ Μάρκιος εὐνοίᾳ μὲν αὐτοῦ, φόβῳ δὲ τοῦ δήμου, τὴν σύγκλητον ἀπορουμένην, ἠρώτησε τοὺς δημάρχους, τίνα κατηγορίαν αὐτοῦ, καὶ περὶ τίνος κριθησόμενον ἐπὶ τὸν δῆμον ἐξάγουσιν. Εἰπόντων δ' ἐκείνων, ὅτι τυραννίς ἐστι τὸ ἔγκλημα, καὶ τυραννεῖν διανοούμενον ἀποδείξουσιν αὐτὸν, οὕτως ἐξαναστὰς, αὐτὸς ἔφη πρὸς τὸν δῆμον ἤδη βαδίζειν, ἀπολογησόμενος· καὶ μηδένα τρόπον κρίσεως, μηδὲ, ἂν ἁλῷ, κολάσεως παραιτεῖσθαι· μόνον ὅπως, ἔφη, τοῦτο κατηγορήσητε, καὶ μὴ ψεύσησθε τὴν βουλήν. Ὡς δ' ὡμολόγησαν, ἐπὶ τούτοις ἡ κρίσις ἐγίνετο. Συνελθόντος δὲ τοῦ δήμου, πρῶτον μὲν οὐ κατὰ λόχους, ἀλλὰ κατὰ φυλὰς ἐβιάζοντο γίνεσθαι τὴν ψηφοφορίαν, τῶν εὐπόρων καὶ γνωρίμων καὶ στρατευομένων, τὸν ἄπορον καὶ πολυπράγμονα, καὶ τοῦ καλοῦ φροντίζοντα μηδὲν ὄχλον ἐπίπροσθεν ταῖς ψήφοις ποιοῦντες. Ἔπειτα, τὴν τυραννίδος ἀφέντες αἰτίαν, ἀναπόδεικτον οὖσαν, ἐκείνων πάλιν ἐμέμνηντο τῶν λόγων, οὓς ὁ Μάρκιος πρότερον εἶπεν ἐν τῇ βουλῇ, κωλύων μὲν ἐπευωνίσαι τὴν ἀγορὰν, ἀφελέσθαι δὲ τὴν δημαρχίαν τοῦ δήμου κελεύων. Καινὸν δὲ κατηγόρησαν αὐτοῦ κατηγόρημα, τὴν διανομὴν τῶν λαφύρων, ἃ λαβὼν ἐκ τῆς Ἀντιατῶν χώρας, οὐκ ἀνήνεγκεν εἰς τὸ δημόσιον, ἀλλὰ διένειμε τοῖς μεθ' αὐτοῦ στρατευομένοις· ὑφ' οὗ δὴ καὶ μάλιστα λέγεται διαταραχθῆναι τὸν Μάρκιον. Οὐ γὰρ

προσεδόκησεν, οὐδ' εὐπόρησε πρὸς τὸν ὄχλον ἐκ τοῦ παραυτίκα λόγων πιθανῶν, ἀλλ' ἐπαινοῦντι τοὺς στρατευσαμένους ἐθορύβησαν αὐτῷ πλείονες ὄντες οἱ μὴ στρατευσάμενοι. Τέλος δ' οὖν ταῖς φυλαῖς τῆς ψήφου δοθείσης, αἱ καθαιροῦσαι τρεῖς ἐγένοντο. Ἦν δὲ τίμημα τῆς καταδίκης ἄϊδιος φυγή. Μετὰ δὲ τὴν ἀναγόρευσιν ὁ μὲν δῆμος οὐδέποτε, νικήσας μάχῃ πολεμίους, τοσοῦτον ἐφρόνησεν, ὅσον τότε φρονῶν καὶ γεγηθὼς ἀπῆει. Τὴν δὲ βουλὴν ἄχος ἔσχε καὶ κατήφεια δεινή, μεταμελομένην καὶ δυσφοροῦσαν ἐπὶ τῷ μὴ πάντα ποιῆσαι καὶ παθεῖν πρότερον, ἢ περιιδεῖν ὑβρίσαντα καὶ χρησάμενον ἐξουσίᾳ τοσαύτῃ τὸν δῆμον. Οὐδὲν δ' ἔδει τότε πρὸς διάγνωσιν, ἐσθῆτος, ἢ παρασήμων ἑτέρων, ἀλλ' εὐθὺς ἦν δῆλος, ὅτι δημότης ὁ χαίρων καὶ ὁ δυσφορῶν, ὅτι Πατρίκιος.

ΚΑ. Πλὴν αὐτὸς ὁ Μάρκιος, ἀνέκπληκτος καὶ ἀταπείνωτος, καὶ σχήματι καὶ βαδίσματι καὶ προσώπῳ καθεστηκώς, ἐν πᾶσι τοῖς ἄλλοις ἐφαίνετο πεπονθόσιν ἀσυμπαθὴς ἑαυτῷ μόνος, οὐχ ὑπὸ λογισμοῦ καὶ πραότητος, οὐδὲ τῷ φέρειν μετρίως τὸ συμβεβηκὸς, ἀλλ' ἐμπαθὴς ὢν ὑπ' ὀργῆς καὶ βαρυφροσύνης· ὅπερ ἀγνοοῦσιν οἱ πολλοὶ λύπην οὖσαν. Ὅταν γὰρ εἰς θυμὸν μεταβάλῃ καθάπερ ἐκπυρωθεῖσα, τὸ ταπεινὸν ἀποβάλλει καὶ ἀργόν· ἢ καὶ δοκεῖ δραστικὸς ὁ θυμούμενος, ὡς θερμὸς ὁ πυρέττων, οἷον ἐν σφυγμῷ καὶ διατάσει καὶ ὄγκῳ γενομένης τῆς ψυχῆς. Ἐδήλωσε δὲ τοῖς ἔργοις αὐτίκα μάλα τὴν διάθεσιν ταύτην ὁ Μάρκιος. Εἰσελθὼν γὰρ οἴκαδε, καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα μετὰ κλαυθμοῦ καὶ βοῆς ὀλοφυρομένας ἀσπασάμενος, καὶ κελεύσας μετρίως φέρειν τὸ συμβεβηκὸς, εὐθὺς ἀπιὼν ἐβάδιζεν ἐπὶ τὰς πύλας. Ἐκεῖ δὲ τῶν Πατρικίων ὁμοῦ τι πάντων προπεμπόντων αὐτὸν, οὔτε τι λαβὼν, οὔτε τινὸς δεηθεὶς ἀπηλλάττετο, τρεῖς ἢ τέτταρας πελάτας ἔχων περὶ αὑτόν. Ἡμέρας δ' ὀλίγας ἔν τισιν ἀγροῖς αὐτὸς καθ' ἑαυτὸν ὑπὸ πολλῶν διενεχθεὶς λογισμῶν, οἷους ὁ θυμὸς

ὑπέβαλλεν, ὥς᾽ οὔτ᾽ εἰς καλὸν οὔτε συμφέρον οὐδὲν, ἀλλ᾽ ἢ τὸ Ῥωμαίους μετελθεῖν, ἐγίνωσκε πόλεμόν τινα βαρὺν καὶ ὄμορον ἀναζῆσαι ἐπ᾽ αὐτούς. Ὥρμησεν οὖν διαπειρᾶσθαι πρῶτον Οὐολούσκων, ἀκμάζοντας μὲν εἰδὼς ἔτι καὶ σώμασι καὶ χρήμασι· ταῖς δὲ γεγενημέναις ἔναγχος ἥτταις οὐ τοσοῦτον ἀπολωλέναι τῆς δυνάμεως, ὅσον ἐγγεγονέναι φιλονεικίας αὐτοῖς καὶ ὀργῆς, οἰόμενος.

ΚΒ. Ἦν δέ τις ἀνὴρ ἐξ Ἀντίου πόλεως, διάτε πλοῦτον καὶ ἀνδρείαν καὶ γένους ἐπιφάνειαν, ἀξίωμα βασιλικὸν ἔχων ἐν πᾶσιν Οὐολούσκοις, ὄνομα Τύλλος Ἀμφίδιος. Ὑπὸ τούτου μισούμενον ὁ Μάρκιος ἑαυτὸν, ὡς οὐδένα Ῥωμαίων, ἐγίνωσκε. Πολλάκις γὰρ ἐν ἀπειλαῖς καὶ προκλήσεσι κατὰ τὰς μάχας γενόμενοι, καὶ κομπάσαντες διὰ τὸ ἐνάμιλλον, οἷα νεανιῶν πολεμικῶν φιλοτιμίαι καὶ ζῆλοι φέρουσι, ἴδιον προσεκτήσαντο τῷ κοινῷ τὸ κατ᾽ ἀλλήλων ἔχθος. Οὐ μὴν ἀλλὰ μέγεθός τι φρονήματος ἔχοντα τὸν Τύλλον ὁρῶν, καὶ μάλιστα δὴ Οὐολούσκων ἐπιθυμοῦντα Ῥωμαίους λαβὴν παφασχόντας ἐν μέρει κακῶσαι, μαρτυρίαν ἀπέλιπε τῷ εἰπόντι·

Θυμῷ μάχεσθαι χαλεπόν· ὃ γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται.

Λαβὼν γὰρ ἐσθῆτα καὶ σκευὴν, ἐν ᾗ μάλιστα μὴ δόξειν, ὃς ἦν, ἔμελλεν ὁρώμενος, ὥσπερ Ὀδυσσεὺς,

Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν . . . . .

ΚΓ. Ἦν δ᾽ ἑσπέρα, καὶ πολλοὶ μὲν αὐτῷ προσετύγχανον, ἐγνώριζε δ᾽ οὐδείς. Ἐβάδιζεν οὖν ἐπὶ τὴν οἰκίαν τοῦ Τύλλου, καὶ παρεισελθὼν ἄφνω πρὸς τὴν ἑστίαν ἐκάθιζε σιωπῇ, καὶ τὴν κεφαλὴν ἐγκαλυψάμενος, ἡσυχίαν ἦγεν. Οἱ δὲ κατὰ τὴν οἰκίαν, θαυμάσαντες, ἀναζῆσαι μὲν οὐκ ἐτόλμησαν (ἦν γάρ τι καὶ περὶ αὐτὸν ἀξίωμα καὶ τοῦ σχήματος καὶ τῆς σιωπῆς), ἔφρασαν δὲ τῷ Τύλλῳ περὶ δεῖπνον ὄντι τὴν ἀτοπίαν τοῦ πράγματος. Ὁ δ᾽ ἐξαναστὰς ἦκε πρὸς αὐτὸν, καὶ ἀνέκρινε, Τίς ὢν ἀφῖκται καὶ τίνων

δεόμενος. Οὕτως οὖν ὁ Μάρκιος ἀποκαλυψάμενος, καὶ μικρὸν ἀνασχών· Εἰ μήπω με γινώσκεις, ὦ Τύλλε, εἶπεν, ἀλλ' ὁρῶν ἀπιστεῖς, ἀνάγκη με κατήγορον ἐμαυτοῦ γενέσθαι· Γάϊός εἰμι Μάρκιος, ὁ πλείστά σε καὶ Οὐολούσκους ἐργασάμενος κακὰ, καὶ τὴν οὐκ ἐῶσαν ἀρνεῖσθαι ταῦτα περιφέρων προσηγορίαν, τὸν Κοριολάνον. Οὐδὲν γὰρ ἄλλο τῶν πολλῶν πόνων καὶ κινδύνων ἐκείνων ἐκτησάμην ἔπαθλον, ἢ τὸ παράσημον ὄνομα τῆς πρὸς ὑμᾶς ἔχθρας. Καὶ τοῦτό μοι περίεσιν ἀναφαίρετον· τὰ δ' ἄλλα ὁμοῦ πάντα φθόνῳ δήμου καὶ ὕβρει, μαλακίᾳ δὲ καὶ προδοσίᾳ τῶν ἐν τέλει καὶ ἰσοτίμων ἀπεστέρημαι, καὶ φυγὰς ἐλήλαμαι, καὶ γέγονα τῆς ἑστίας τῆς σῆς ἱκέτης, οὐχ ὑπὲρ ἀδείας καὶ σωτηρίας (Τί γὰρ ἔδει με δεῦρο ἥκειν φοβούμενον ἀποθανεῖν;), ἀλλὰ δίκας λαβεῖν χρῄζων, καὶ λαμβάνων ἤδη παρὰ τῶν ἐκβαλόντων, τῷ σὲ ποιεῖν ἐμαυτοῦ κύριον. Εἰ μὲν οὖν ἐσίσοι θυμὸς ἐπιχειρεῖν τοῖς πολεμίοις, ἴθι, ταῖς ἐμαῖς συμφοραῖς, ὦ γενναῖε, χρῆσαι, καὶ κοινὸν εὐτύχημα ποίησον Οὐολούσκων τὴν ἐμὴν ἀτυχίαν, τοσούτῳ βέλτιον ὑπὲρ ὑμῶν πολεμήσοντος, ἢ πρὸς ὑμᾶς, ὅσῳ πολεμοῦσι βέλτιον οἱ γινώσκοντες τὰ παρὰ τοῖς πολεμίοις τῶν ἀγνοούντων. Εἰ δ' ἀπείρηκας, οὔτ' ἐγὼ βούλομαι ζῆν, οὔτε σοὶ καλῶς ἔχει σώζειν, πάλαι μὲν ἐχθρὸν ἄνδρα καὶ πολέμιον, νῦν δ' ἀνωφελῆ καὶ ἄχρηστον. Ὡς οὖν ταῦτα ὁ Τύλλος ἤκουσεν, ἥσθη τε θαυμαστῶς καὶ τὴν δεξιὰν ἐμβαλών· Ἀνίστασο, εἶπεν, ὦ Μάρκιε, καὶ θάρρει. Μέγα γὰρ ἡμῖν ἀγαθὸν ἥκεις, διδοὺς σεαυτόν· ἔλπιζε δὲ μείζονα παρὰ Οὐολούσκων. Καὶ τότε μὲν εἰς ἱλαροφρονούμενος τὸν Μάρκιον· ἐν δὲ ταῖς ἐπιούσαις ἡμέραις ἐβουλεύοντο περὶ τοῦ πολέμου καθ' ἑαυτούς.

ΚΔ. Τὴν δὲ Ῥώμην ἥ τε τῶν Πατρικίων δυσμένεια πρὸς τὸν δῆμον, οὐχ ἧκιστα τὴν τοῦ Μαρκίου καταδίκην αἰτίαν ἐχόντων ἐτάραττε· καὶ πολλὰ δαιμόνια μάντεις καὶ ἱερεῖς καὶ ἰδιῶται προσήγγελλον ἄξια φροντίδος. Ἓν δὲ λέγεται τοιοῦτό τι γενέσθαι.

Τῖτος ἦν Λατῖνος, ἀνὴρ οὐκ ἄγαν ἐπιφανὴς, ἀπράγμων δὲ καὶ μέτριος ἄλλως, καὶ καθαρὸς δεισιδαιμονίας, ἔτι δὲ μᾶλλον ἀλαζονείας. Οὗτος ὄναρ εἶδεν, ὡς τοῦ Διὸς εἰς ὄψιν ἥκοντος αὐτῷ, καὶ κελεύοντος εἰπεῖν πρὸς τὴν σύγκλητον, ὅτι κακὸν τὸν ὀρχηστὴν ἔσειλαν αὐτῷ πρὸ τῆς πομπῆς καὶ ἀτερπέστατον. Ἰδὼν δὲ τὴν ὄψιν, ἔλεγε μὴ πάνυ φροντίσαι τὸ πρῶτον· ὡς δὲ καὶ δεύτερον ἰδὼν καὶ τρίτον ἠμέλησε, παιδός τε χρησοῦ θάνατον ἐπιδεῖν, καὶ τοῦ σώματος ἄφνω παρεθέντος ἀκρατὴς γενέσθαι. Ταῦτα δ' ἐν κλινιδίῳ φοράδην κομισθεὶς εἰς τὴν σύγκλητον ἀπήγγειλεν. Ἀπαγγείλας δ', ὥς φασιν, εὐθὺς ἤσθετο ῥωννύμενον αὐτοῦ τὸ σῶμα, καὶ ἀναστὰς ἀπῆει δι' αὐτοῦ βαδίζων. Θαυμάσαντες οὖν οἱ βουλευταὶ, πολλὴν ἐποιήσαντο τοῦ πράγματος ζήτησιν. Ἦν δὲ τοιοῦτον· οἰκέτην τις αὐτοῦ παραδοὺς οἰκέταις ἑταίροις, ἐκέλευσεν ἐξάγειν δι' ἀγορᾶς μαστιγοῦντας, εἶτ' ἀποκτεῖναι. Ταῦτα πράττουσιν αὐτοῖς, καὶ τὸν ἄνθρωπον αἰκιζομένοις, τροφάς τε παντοδαπὰς ὑπ' ὀδύνης τρεφόμενον, καὶ κινήσεις ἄλλας ἀτερπεῖς τῷ περιπαθεῖν κινούμενον, ἡ πομπὴ κατὰ τύχην ἠκολουθήκει. Καὶ πολλοὶ μὲν ἐδυσχέραινον τῶν παρόντων, οὔτ' ὄψιν ἱλαρὰν ὁρῶντες, οὔτε κινήσεις πρεπούσας· οὐδεὶς δ' ἐπεξῆλθεν, ἀλλὰ λοιδορίαι μόνον ἐγένοντο καὶ κατάραι τῷ πικρῶς οὕτω κολάζοντι. Καὶ γὰρ ἐχρῶντο πολλῇ πρὸς τοὺς οἰκέτας ἐπιεικίᾳ τότε, δι' αὐτουργίαν, καὶ τὸ κοινωνεῖν διαίτης, ἡμερώτερον ἔχοντες πρὸς αὐτοὺς καὶ συνηθέστερον. Ἦν δὲ μεγάλη κόλασις οἰκέτου πλημμελήσαντος, εἰ ξύλον ἁμάξης, ᾧ τὸν ῥυμὸν ὑπερείδουσιν, ἀράμενος, διεξέλθοι παρὰ τὴν γειτνίασιν. Ὁ γὰρ τοῦτο παθὼν, καὶ ὀφθεὶς παρὰ τῶν συνοίκων καὶ γειτόνων, οὐκέτι πίστιν εἶχεν. Ἐκαλεῖτο δὲ Φουρκίφερ· ὃ γὰρ οἱ Ἕλληνες ὑποστάτην καὶ στήριγμα, τοῦτο Ῥωμαῖοι Φοῦρκαν ὀνομάζουσιν.

ΚΕ. Ὡς οὖν ὁ Λατῖνος ἀπήγγειλε τὴν ὄψιν αὐτοῖς, καὶ διηπόρουν, ὅστις ἦν ὁ τῆς πομπῆς τότε προηγούμενος ἀτερπὴς καὶ κακὸς

κακὸς ὀρχηστὴς, ἀνεμνήσθησαν ἔνιοι διὰ τὴν ἀτοπίαν τῆς τιμωρίας ἐκείνου τοῦ θεράποντος, ὃν μαστιγοῦντες ἐξήλασαν δι' ἀγορᾶς, εἶτ' ἐθανάτωσαν. Συμφωνησάντων οὖν τῶν ἱερέων, ὅτε δεσπότης δίκην ἔδωκε, καὶ τῷ θεῷ τὴν πομπὴν καὶ τὰς θέας αὖθις ἐξ ἀρχῆς ἐπετέλουν. Ἔοικεν οὖν ὁ Νουμᾶς τά τ' ἄλλα τῶν ἱερῶν σοφώτατος ἐξηγητὴς γεγονέναι, καὶ τοῦτο παγκάλως γε νομοθετῆσαι πρὸς εὐλάβειαν αὐτοῖς. Ὅταν γὰρ ἄρχοντες ἢ ἱερεῖς πράττωσί τι τῶν θείων, ὁ κήρυξ πρόεισι μεγάλῃ φωνῇ βοῶν· Οὐκ ἄγε. Σημαίνει δ' ἡ φωνή· Τοῦτο πράττε· προσέχειν κελεύουσα τοῖς ἱεροῖς, καὶ μηδὲν ἔργον ἐμβάλλειν μεταξὺ, μηδὲ χρείαν ἀσχολίας, ὡς τὰ πλεῖστα τῶν ἀνθρωπίνων ἀναγκαίῳ τινὶ τρόπῳ καὶ διὰ βίας περαινόμενα. Θυσίας δὲ καὶ πομπὰς καὶ θέας οὐ μόνον ἐξ αἰτίας τηλικαύτης, ἀλλὰ καὶ διὰ μικρὰς Ῥωμαίοις ἔθος ἐστὶν ἀναλαμβάνειν. Ἵππου τε γὰρ ἑνὸς τῶν ἀγόντων τὰς καλουμένας Θήσσας ἀτονήσαντος, καὶ πάλιν τοῦ ἡνιόχου τῇ ἀριστερᾷ χειρὶ τὰς ἡνίας συλλαβόντος, αὖθις ἐψηφίσαντο τὴν πομπὴν ἐπιτελεῖν. Ἐν δὲ τοῖς κάτω χρόνοις μίαν θυσίαν τριακοντάκις ἐποίησαν, ἀεί τινος ἐλλείμματος, ἢ προσκρούματος, γίνεσθαι δοκοῦντος. Τοιαύτη μὲν εὐλάβεια πρὸς τὸ θεῖον Ῥωμαίων.

κς. Ὁ δὲ Μάρκιος καὶ Τύλλος ἐν Ἀντίῳ τοῖς δυνατωτάτοις κρύφα διελέγοντο, καὶ παρεκάλουν, ἕως σασιάζουσιν οἱ Ῥωμαῖοι πρὸς ἀλλήλους, τὸν πόλεμον ἐξενεγκεῖν· τῶν δὲ δυσωπουμένων, ὅτι σπονδαὶ διέτεις ἦσαν αὐτοῖς καὶ ἀνοχαὶ γεγενημέναι, πρόφασιν αὐτοὶ Ῥωμαῖοι παρέσχον, ἔκ τινος ὑποψίας, ἢ διαβολῆς, ἐν θέαις καὶ ἀγῶσι κηρύξαντες ἀπιέναι Οὐολούσκους πρὸ ἡλίου δύνοντος ἐκ τῆς πόλεως. Ἔνιοι δέ φασιν, ἀπάτῃ τοῦ Μαρκίου καὶ δόλῳ γενέσθαι τοῦτο, πέμψαντος εἰς Ῥώμην πρὸς τοὺς ἄρχοντας οὐκ ἀληθῆ κατήγορον τῶν Οὐολούσκων, ὡς ἐν ταῖς θέαις διανοουμένων ἐπιθέσθαι τοῖς Ῥωμαίοις, καὶ τὴν πόλιν ἐμπιπρᾶν. Πάντας μὲν γὰρ αὐτοὺς τὸ κήρυγμα τοῦτο δυσμενεστέρους ἐποίησε

τοῖς Ῥωμαίοις· ὁ δὲ Τύλλος ἐπὶ μεῖζον αἴρων τὸ πρᾶγμα καὶ παροξύνων, τέλος ἔπεισε, πέμψαντας εἰς Ῥώμην, τήν τε χώραν ἀπαιτεῖν, καὶ τὰς πόλεις, ὅσας ἀφῄρηνται πολέμῳ τῶν Οὐολούσκων. Οἱ δὲ Ῥωμαῖοι τῶν πρέσβεων ἀκούσαντες ἠγανάκτησαν, καὶ ἀπεκρίναντο, προτέρους μὲν ἀναλήψεσθαι τὰ ὅπλα τοὺς Οὐολούσκους, ὑστέρους δὲ καταθήσεσθαι Ῥωμαίους. Ἐκ τούτου συναγαγὼν ἐκκλησίαν πάνδημον ὁ Τύλλος, ἐπεὶ τὸν πόλεμον ἐψηφίσαντο, συνεβούλευε τὸν Μάρκιον καλέσαι, μηδὲν αὐτῷ μνησικακοῦντας, ἀλλὰ πιστεύσαντας, ὅτι συμμαχῶν ὠφελήσει ὅσα πολεμῶν οὐκ ἔβλαψεν.

ΚΖ. Ἐπεὶ δὲ κληθεὶς ὁ Μάρκιος, καὶ διαλεχθεὶς πρὸς τὸ πλῆθος, οὐχ ἧττον ἀπὸ τῶν λόγων, ἢ τῶν ὅπλων, ἀνὴρ δεινὸς ἐφάνη καὶ πολεμικὸς, καὶ τὸ φρονεῖν καὶ τολμᾶν περιττὸς, ἀποδείκνυται μετὰ Τύλλου στρατηγὸς αὐτοκράτωρ τοῦ πολέμου. Δεδιὼς δὲ τὸν χρόνον, ἐν ᾧ παρεσκευάσθαι τοὺς Οὐολούσκους ἔδει, μὴ πολὺς γενόμενος τὸν καιρὸν ἀφέληται τῆς πράξεως, τὰ μὲν ἄλλα τοὺς κατὰ πόλιν δυνατοὺς καὶ ἄρχοντας ἐκέλευε συνάγειν καὶ πορίζειν, αὐτὸς δὲ τοὺς προθυμοτάτους ἄνευ καταλόγου πείσας ἑκόντας αὐτῷ συνελθεῖν, ἐνέβαλεν εἰς τὴν τῶν Ῥωμαίων ἄρνω, καὶ μηδενὸς προσδοκῶντος. Ὅθεν ηὐπόρησε λείας τοσαύτης, ὅσην ἄγοντας καὶ φέροντας, καὶ χρωμένους ἐν τῷ στρατοπέδῳ τοὺς Οὐολούσκους ἀπειπεῖν. Ἦν δὲ μικρότατον ἔργον αὐτῷ τῆς στρατείας ἐκείνης, ἡ εὐπορία, καὶ τὸ πολλὰ βλάψαι καὶ κακῶσαι τὴν χώραν· οὗ δ' ἕνεκα ταῦτ' ἔπραττε, μέγα, τὸ τοὺς Πατρικίους προσδιαβαλεῖν τῷ δήμῳ. Τὰ γὰρ ἄλλα πάντα λυμαινόμενος καὶ διαφθείρων, τοὺς ἐκείνων ἀγροὺς ἰσχυρῶς ἐφύλαττε, καὶ οὐκ εἴα κακουργεῖν, οὐδὲ λαμβάνειν ἐξ ἐκείνων οὐδέν. Ὅθεν ἐν διαβολαῖς ἔτι μᾶλλον ἐγένοντο καὶ ταραχαῖς πρὸς ἀλλήλους, οἱ μὲν Πατρίκιοι τοῖς πολλοῖς ἐγκαλοῦντες, ὡς ἄνδρα δυνατὸν ἀδίκως ἐκβαλοῦσιν· ὁ δὲ δῆμος ἐκείνους ἠτιᾶτο διὰ μνησικακίαν

ἐπάγειν τὸν Μάρκιον, εἶτα πολεμουμένων ἑτέρων, θεατὰς καθῆσθαι φύλακα τοῦ πλούτου καὶ τῶν χρημάτων ἔξω τὸν πόλεμον αὐτὸν ἔχοντας. Ταῦτα διαπραξάμενος ὁ Μάρκιος, καὶ μεγάλα πρὸς τὸ θαρρεῖν καὶ καταφρονεῖν τῶν πολεμίων τοὺς Οὐολούσκους ὠφελήσας, ἀπήγαγεν ἀσφαλῶς.

ΚΗ. Ἐπεὶ δὲ πᾶσα ταχὺ καὶ προθύμως ἡ τῶν Οὐολούσκων δύναμις ἠθροίσθη, πολλὴ φανεῖσα, μέρος μὲν ἔγνωσαν ὑπολιπεῖν ταῖς πόλεσιν ὑπὲρ ἀσφαλείας, μέρει δὲ στρατεύειν ἐπὶ τοὺς Ῥωμαίους ἐλέσθαι δὲ τῶν ἡγεμονιῶν ὁ Μάρκιος ἔδωκε τῷ Τύλλῳ τὴν ἑτέραν. Ὁ δὲ Τύλλος εἰπὼν, ὡς οὐδὲν ἀρετῇ λειπόμενον αὐτοῦ τὸν Μάρκιον ὁρᾷ, τύχῃ δὲ βελτίονι κεχρημένον ἐν ταῖς μάχαις ἁπάσαις, ἐκέλευσεν ἡγεῖσθαι τῶν ἐξιόντων· αὐτὸς δὲ τάς τε πόλεις ὑπομένων φυλάξειν, καὶ τοῖς στρατευομένοις ὑπουργήσειν τὰ πρόσφορα. Μᾶλλον οὖν ἐπιῤῥωσθεὶς ὁ Μάρκιος ἐχώρει πρῶτον ἐπὶ Κίρκαιον, πόλιν ἀποικίδα Ῥωμαίων· καὶ ταύτην ἐνδοῦσαν ἑκουσίως οὐδὲν ἠδίκησε. Μετὰ δὲ ταύτην ἐπόρθει τὴν Λατίνων χώραν, ἐνταῦθα προσμαχεῖσθαι προσδεχόμενος αὐτῷ τοὺς Ῥωμαίους ὑπὲρ τῶν Λατίνων, συμμάχων ὄντων, καὶ πολλάκις αὐτοὺς ἐπικαλουμένων. Ἐπεὶ δὲ καὶ τὸ πλῆθος ἀπρόθυμον ἐγένετο, καὶ τοῖς ὑπάτοις ὀλίγος ἔτι περιῆν τῆς ἀρχῆς χρόνος, ἐν ᾧ κινδυνεύειν οὐκ ἐβούλοντο, καὶ διὰ ταῦτα τοὺς Λατίνους ἀπέπεμψαν· οὕτως ὁ Μάρκιος ἐπ' αὐτὰς τὰς πόλεις ἦγε, καὶ Τολερίνους καὶ Λαουϊκάνους καὶ Πεδάνους, ἔτι δὲ Βωλάνους ἀντισάντας αὐτῷ κατὰ κράτος ἑλὼν, τά τε σώματα λείαν ἐποιήσατο, καὶ τὰ χρήματα διήρπασε. Τῶν δὲ προσιθεμένων ἐπιμέλειαν ἐποιεῖτο πολλὴν, ὅπως μηδ' ἄκοντος αὐτοῦ βλάπτοιντο, πορρωτάτω στρατοπεδεύων, καὶ τῆς χώρας ἀπεχόμενος.

ΚΘ. Ἐπεὶ δὲ καὶ Βόλλας πόλιν οὐ πλείους σαδίους ἑκατὸν ἀπέχουσαν τῆς Ῥώμης ἑλὼν, χρημάτων πολλῶν ἐκράτησε, καὶ πάντας ὀλίγου δεῖν τοὺς ἐν ἡλικίᾳ διέφθειρε, τῶν δὲ Οὐολοσ-

σκων οὐδ' οἱ μένειν ἐν ταῖς πόλεσι ταχθέντες ἐκαρτέρουν, ἀλλ' ἐφέροντο σὺν τοῖς ὅπλοις πρὸς τὸν Μάρκιον, ἕνα στρατηγὸν καὶ μόνον ἄρχοντα ἑαυτῶν γινώσκειν ἐκεῖνον εἶναι λέγοντες· ἦν ὄνομα κατὰ πᾶσαν αὐτοῦ τὴν Ἰταλίαν μέγα, καὶ δόξα θαυμαστὴ τῆς ἀρετῆς, ἑνὸς σώματος μεταθέσει τοσοῦτον ἀπεργασαμένης τὸ παράλογον ἐν τοῖς πράγμασι. Τὰ δὲ τῶν Ῥωμαίων οὐδένα κόσμον εἶχε, μάχεσθαι μὲν ἀπεγνωκότων, ἐν δὲ συστάσεσι καὶ λόγοις στασιαστικοῖς ὀσημέραι πρὸς ἀλλήλους ὄντων· ἄχρις οὗ Λαουΐνιον ἀπηγγέλθη περιτειχιζόμενον ὑπὸ τῶν πολεμίων, ὅπου καὶ θεῶν ἱερὰ Ῥωμαίοις πατρῴων ἀπέκειτο, καὶ τοῦ γένους ἦσαν αὐτοῖς ἀρχαὶ διὰ τὸ πρώτην πόλιν ἐκείνην κτίσαι τὸν Αἰνείαν. Ἐκ δὲ τούτου θαυμαστὴ μὲν ἔσχε καὶ αὐθρόα μεταβολὴ γνώμης τὸν δῆμον, ἄτοπος δὲ κομιδῇ καὶ παράλογος τοὺς Πατρικίους. Ὁ μὲν γὰρ δῆμος ὥρμησε λύειν τὴν τοῦ Μαρκίου καταδίκην, καὶ καλεῖν αὐτὸν εἰς τὴν πόλιν· ἡ δὲ βουλὴ συναχθεῖσα καὶ σκοποῦσα περὶ τοῦ βουλεύματος, ἀπέγνω καὶ διεκώλυσεν, εἴτε πάντως ἐνίσασθαι φιλονεικοῦσα πᾶσιν, οἷς ὁ δῆμος ἐσπούδαζεν, εἴτ' ἄλλως χάριτι τοῦ δήμου τὸν ἄνδρα μὴ βουλομένη κατελθεῖν· εἴτε κἀκεῖνον αὐτὸν ἤδη πεποιημένη δι' ὀργῆς, ὅτι πάντας ἐποίει κακῶς, οὐχ ὑπὸ πάντων ἀγνωμονηθείς, καὶ τῆς πατρίδος αὐτὸν ἔδειξεν ἐχθρὸν, ἐν ᾗ τὸ κυριώτατον καὶ κράτιστον μέρος ἐγίνωσκε συμπαθοῦν αὐτῷ καὶ συναδικούμενον. Ἐξενεχθείσης δὲ τῆς γνώμης εἰς τοὺς πολλοὺς, ὁ μὲν δῆμος ἄκυρος ἦν τοῦ ψήφῳ καὶ νόμῳ τι ποιεῖν ἄνευ προβουλεύματος.

Α. Ὁ δὲ Μάρκιος ἀκούσας ἔτι μᾶλλον ἐξετραχύνθη, καὶ τὴν πολιορκίαν ἀπολιπὼν, ἐπὶ τὴν πόλιν ὑπ' ὀργῆς ἐχώρει, καὶ περὶ τὰς λεγομένας Κλοιλείας τάφρους κατεστρατοπέδευσε, τεσσαράκοντα τῆς πόλεως σταδίους ἀφεστώς. Ὀρθεὶς δὲ φοβερὸς, καὶ πολὺν θόρυβον παρασχὼν, ὅμως ἐν τῷ παρόντι τὴν στάσιν ἔπαυσεν· οὐδεὶς γὰρ ἔτι τοῖς πολλοῖς ἐτόλμησεν ἀντειπεῖν, οὔτ'

ἄρχων, οὔτε βουλευτὴς περὶ τοῦ τὸν Μάρκιον καταγαγεῖν· ἀλλ' ὁρῶντες ἐν τῇ πόλει διαδρομὰς γυναικῶν, καὶ πρὸς ἱεροῖς ἱκεσίας καὶ δάκρυα πρεσβυτῶν καὶ δεήσεις, πάντα δ' ἐνδεᾶ τόλμης καὶ σωτηρίων λογισμῶν, συνέγνωσαν ὀρθῶς τὸν δῆμον ἐπὶ τὰς διαλλαγὰς τοῦ Μαρκίου τραπέσθαι· τὴν δὲ βουλὴν τοῦ παντὸς ἁμαρτάνειν, ὅτε παύσασθαι καλῶς εἶχεν, ὀργῆς καὶ μνησικακίας ἀρχομένην. Ἔδοξεν οὖν πᾶσι πρέσβεις ἀποσεῖλαι πρὸς τὸν Μάρκιον, ἐκείνῳ τε κάθοδον διδόντας εἰς τὴν πατρίδα, καὶ τὸν πόλεμον αὐτοῖς λῦσαι δεομένους. Οἱ δὲ πεμφθέντες ἀπὸ βουλῆς ἦσαν μὲν ἐπιτήδειοι τῷ Μαρκίῳ, προσεδέχοντο δὲ πολλὴν περί γε τὰς πρώτας ἀπαντήσεις φιλοφροσύνην παρ' ἀνδρὸς οἰκείου καὶ συνήθους. Ἐγίνετο δὲ τοιοῦτον οὐδέν, ἀλλὰ διὰ τοῦ στρατοπέδου τῶν πολεμίων ἀχθέντες, ἐνετύγχανον αὐτῷ μετ' ὄγκου καθεζομένῳ καὶ βαρύτητος οὐκ ἀνεκτῆς. Ἔχων δὲ τοὺς πρώτους τῶν Οὐολούσκων περὶ αὑτὸν, ἐκέλευε λέγειν, ὧν δεόμενοι τυγχάνουσιν. Εἰπόντων δὲ λόγους ἐπιεικεῖς καὶ φιλανθρώπους ἐν ἤθει τῷ πρέποντι, καὶ παυσαμένων, ἀπεκρίνατο τὰ μὲν πικρῶς ὑπὲρ αὐτοῦ καὶ πρὸς ὀργὴν ὧν ἔπαθε, τὰ δ' ὑπὲρ τῶν Οὐολούσκων, ὡς στρατηγὸς, ἀποδοῦναι τὰς πόλεις καὶ τὴν χώραν, ὅσην ἀπετέμοντο πολέμῳ, κελεύων, καὶ ψηφίσασθαι Οὐολούσκοις ἰσοπολιτείαν, ἥνπερ Λατίνοις· ἄλλην γὰρ οὐκ εἶναι βέβαιον, ἢ τὴν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις ἀπαλλαγὴν τοῦ πολέμου. Χρόνον δὲ βουλῆς ἔδωκεν αὐτοῖς ἡμέρας τριάκοντα· καὶ τῶν πρέσβεων ἀπελθόντων, εὐθὺς ἀνέζευξεν ἐκ τῆς χώρας.

ΛΑ. Τοῦτο δὴ πρῶτον αἰτίαμα τῶν Οὐολούσκων οἱ πάλαι βαρυνόμενοι τὴν δύναμιν αὐτοῦ καὶ φθονοῦντες, ἐλάμβανον· ὧν ἦν καὶ ὁ Τύλλος, ἰδίᾳ μὲν ὑπὸ Μαρκίου μηδὲν ἀδικούμενος, ἐν δ' ἀνθρωπίνῳ πάθει γεγονώς. Ἦχθετο γὰρ ἡμαυρωμένος παντάπασι τῇ δόξῃ, καὶ παρορώμενος ὑπὸ τῶν Οὐολούσκων, πάντα μόνον ἡγουμένων αὐτοῖς εἶναι τὸν Μάρκιον, τοὺς δ' ἄλλους

ἀξιούντων, ὅσον ἐκεῖνος αὐτοῖς μεταδώσει δυνάμεως καὶ ἀρχῆς, ἀγαπᾶν ἔχοντας. Ὅθεν αἱ πρῶται κατηγορίαι κρύφα διεσπείροντο, καὶ συνισάμενοι πρὸς ἀλλήλους ἠγανάκτουν, καὶ προδοσίαν ἐκάλουν τὴν ἀνάζευξιν, οὐ τειχῶν, οὐδ' ὅπλων, ἀλλὰ καιρῶν, οἷς καὶ τἄλλα πάντα σώζεσθαι καὶ πάλιν ἀπόλλυσθαι πέφυκεν, ἡμερῶν τριάκοντα τῷ πολέμῳ δεδομένων, οὗ μείζονας οὐδὲν ἐν ἐλάττονι χρόνῳ λαμβάνειν μεταβολάς. Καίτοι τὸν χρόνον τοῦτον ὁ Μάρκιος οὐκ ἀργὸν διῆγεν, ἀλλὰ τοὺς συμμάχους τῶν πολεμίων ἔφθειρεν ἐπιὼν καὶ περιέκοπτε, καὶ πόλεις ἑπτὰ μεγάλας καὶ πολυανθρώπους ἑλαβεν. Οἱ δὲ Ῥωμαῖοι βοηθεῖν μὲν οὐκ ἐτόλμων, ἀλλ' ὄκνου πλήρεις ἦσαν αὐτῶν αἱ ψυχαὶ, καὶ τοῖς ἐκνεναρκηκόσι κομιδῇ καὶ παραλελυμένοις σώμασιν ὁμοίως διέκειντο πρὸς τὸν πόλεμον. Ἐπεὶ δ' ὁ χρόνος διῆλθε, καὶ παρῆν αὖθις ὁ Μάρκιος μετὰ τῆς δυνάμεως ἁπάσης, ἐκπέμπουσι πρεσβείαν πάλιν τοῦ Μαρκίου δεησομένην, ὑφέσθαι τῆς ὀργῆς, καὶ τοὺς Οὐολούσκους ἐκ τῆς χώρας ἀπαγαγόντα, πράττειν καὶ λέγειν, ὅ τι ἂν ἀμφοτέροις οἴηται βέλτιον εἶναι. Φόβῳ μὲν γὰρ οὐδὲν ἐνδώσειν Ῥωμαίους· ἐὰν δέ τινος τῶν φιλανθρώπων οἴηται δεῖν τυχεῖν τοὺς Οὐολούσκους, ἅπαν αὐτοῖς γενήσεσθαι τὰ ὅπλα καταθεμένοις. Πρὸς ταῦθ' ὁ Μάρκιος ἔφη, μηδὲν ὡς Οὐολούσκων ἀποκρίνεσθαι στρατηγός· ὡς δὲ Ῥωμαίων ἔτι πολίτης, παραινεῖν καὶ παρακαλεῖν μετριώτερα φρονήσαντας ἐπὶ τοῖς δικαίοις, ἥκειν πρὸς αὐτὸν ἐν ἡμέραις τρισὶν, ἃ προκαλεῖται ψηφισαμένους· εἰ δ' ἕτερα δόξειε, γινώσκειν οὐκ οὖσαν αὐτοῖς ἄδειαν αὖθις μετὰ λόγων κενῶν βαδίζουσιν εἰς τὸ στρατόπεδον.

ΑΒ. Ἐπανελθόντων δὲ τῶν πρέσβεων, ἀκούσασα ἡ βουλὴ, καθάπερ ἐν χειμῶνι πολλῷ καὶ κλύδωνι τῆς πόλεως ἄρασα τὴν ἀφ' ἱερᾶς ἀφῆκεν. Ὅσοι γὰρ ἦσαν ἱερεῖς θεῶν, ἢ μυστηρίων ὀργιασαὶ, ἢ φύλακες, ἢ τὴν ἀπ' οἰωνῶν, πάτριον οὖσαν ἐκ παλαιῶν, μαντικὴν ἔχοντες, τούτους πάντας ἀπιέναι πρὸς τὸν Μάρκιον

ἐψηφίσαντο κεκοσμημένους, ὡς ἦν ἑκάστῳ νόμος ἐν ταῖς ἱερουργίαις· λεγειν δὲ ταῦτα καὶ παρακαλεῖν, ὅπως ἀπαλλάξας τον πόλεμον, οὕτω διαλέγηται περὶ τῶν Οὐολούσκων τοῖς πολίταις. Ἐδέξατο μὲν οὖν εἰς τὸ στρατόπεδον τοὺς ἄνδρας, ἄλλο δ' οὐδὲν ἔδωκεν, οὐδ' ἔπραξεν, οὐδ' εἶπε μαλακώτερον, ἀλλ', ἐφ' οἷς πρότερον, ἐκέλευε ποιεῖσθαι τὰς διαλύσεις, ἢ δέχεσθαι τὸν πόλεμον· Ἐπανελθόντων οὖν τῶν ἱερέων, ἔδοξεν ἀτρεμοῦντας ἐν τῇ πόλει τὰ τείχη φυλάττειν, καὶ προσβάλλοντας ἀποκρούεσθαι τοὺς πολεμίους, ἐν τῷ χρόνῳ μάλιστα, καὶ τοῖς ἀπὸ τῆς τύχης παραλόγοις τιθεμένοις τὰς ἐλπίδας· ἐπεὶ δὲ αὐτῶν γε σωτήριον οὐδὲν ἠπίσαντο πράττοντες, ἀλλὰ ταραχὴ, καὶ πτοία, καὶ φήμη πονηρὰ τὴν πόλιν κατεῖχεν, ἄχρις οὗ συνέβη τι πρᾶγμα τῷ πολλάκις ὑφ' Ὁμήρου λεγομένῳ, μὴ πάνυ δὲ πεῖθον τοὺς πολλοὺς, ὅμοιον. Λέγοντος γὰρ αὐτοῦ καὶ ἀναφωνοῦντος ἐπὶ ταῖς μεγάλαις πράξεσι καὶ παραλόγοις,

Τῷ σ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη.

καὶ τὸ,

Ἀλλά τις ἀθανάτων τρέψε φρένας, ὃς γ' ἐνὶ θυμῷ
Δήμου θῆκε φάτιν·

καὶ τὸ,

Ἤ τι ὀϊσάμενος, ἢ καὶ θεὸς ὣς ἐκέλευε·

καταφρονοῦσιν, ὡς ἀδυνάτοις πράγμασι καὶ μυθεύμασιν ἀπίστοις τὸν ἑκάστου λογισμὸν τῆς προαιρέσεως ἄπιστον καθιστάντος. Οὐ ποιεῖ δὲ τοῦτο Ὅμηρος· ἀλλὰ τὰ μὲν εἰκότα καὶ συνήθη κατὰ λόγον περαινόμενα, τῷ ἐφ' ἡμῖν ἀποδίδωσι· καὶ λέγει δήπου πολλάκις,

Αὐτὰρ ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμόν·

καὶ,

Ὣς φάτο· Πηλείωνι δ' ἄχος γένετ', ἐν δέ οἱ ἦτορ
Στήθεσσιν λασίοισι διάνδιχα μερμήριζεν·

καὶ πάλιν,

— Ἀλλὰ τὸν οὔτι
Πεῖθ' ἀγαθὰ φρονέοντα, δαίφρονα Βελλεροφόντην.

Ἐν δὲ ταῖς ἀτόποις καὶ παραβόλοις πράξεσι καὶ φορᾶς τινος ἐνθουσιώδους καὶ παραγάσεως δεομέναις, οὐκ ἀναιροῦντα ποιεῖ τὸν θεὸν, ἀλλὰ κινοῦντα τὴν προαίρεσιν· οὐδ' ὁρμὰς ἐνεργαζόμενον, ἀλλὰ φαντασίας ὁρμῶν ἀγωγούς· αἷς οὐδὲ ποιεῖ τὴν πρᾶξιν ἀκούσιον, ἀλλὰ τῷ ἑκουσίῳ δίδωσιν ἀρχήν, καὶ τὸ θαρρεῖν καὶ τὸ ἐλπίζειν προσίθησιν. Ἡ γὰρ ἀπαλλακτέον ὅλως τὰ θεῖα πάσης αἰτίας καὶ ἀρχῆς τῶν καθ' ἡμᾶς, ἢ τίς ἂν ἄλλος εἴη τρόπος, ᾧ βοηθοῦσιν ἀνθρώποις καὶ συνεργοῦσιν; οὐ τὸ σῶμα δήπου πλάττοντες ἡμῶν, οὐδὲ τὰς χεῖρας, εἰς ἃ δεῖ, μετατιθέντες αὐτοὶ καὶ τοὺς πόδας, ἀλλὰ τῆς ψυχῆς τὸ πρακτικὸν καὶ προαιρετικὸν ἀρχαῖς τισι καὶ φαντασίαις καὶ ἐπινοίαις ἐγείροντες, ἢ τοὐναντίον, ἀποτρέφοντες καὶ ἰσάντες.

ΔΓ. Ἐν δὲ τῇ Ῥώμῃ τότε τῶν γυναικῶν ἄλλαι μὲν πρὸς ἄλλοις ἱεροῖς, αἱ δὲ πλεῖσαι καὶ δοκιμώταται περὶ τὸν τοῦ Καπιτωλίνου Διὸς βωμὸν ἱκέτευον. Ἐν δὲ ταύταις ἦν ἡ Ποπλικόλα, τοῦ μεγάλα καὶ πολλὰ Ῥωμαίους ἔν τε πολέμοις καὶ πολιτείαις ὠφελήσαντος, ἀδελφή, Οὐαλερία. Ποπλικόλας μὲν οὖν ἐτεθνήκει πρότερον, ὡς ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις ἱστορήκαμεν, ἡ δὲ Οὐαλερία δόξαν εἶχεν ἐν τῇ πόλει καὶ τιμὴν, δοκοῦσα τῷ βίῳ μὴ καταισχύνειν τὸ γένος. Ὅπερ οὖν λέγω πάθος ἐξαπίνης παθοῦσα, καὶ κατ' ἐπίνοιαν οὐκ ἀθείασον ἁψαμένη τοῦ συμφέροντος, αὐτή τ' ἀνέστη, καὶ τὰς ἄλλας ἀναστήσασα πάσας, ἦκεν ἐπὶ τὴν οἰκίαν τῆς τοῦ Μαρκίου μητρὸς Οὐολουμνίας. Ὡς δ' εἰσῆλθε καὶ κατέλαβε μετὰ τῆς νυοῦ καθεζομένην, καὶ τὰ παιδία τοῦ Μαρκίου πρὸς τοῖς κόλποις ἔχουσαν, ἐν κύκλῳ περιστήσασα τὰς γυναῖκας αὐτῆς· « Αὐταί γε ἡμεῖς (εἶπεν), ὦ Οὐολουμνία, καὶ σὺ Οὐεργιλία, γυναῖκες ἥκομεν πρὸς γυναῖκας, οὔτε

βουλῆς ψηφισαμένης, οὔτ' ἄρχοντος κελεύσαντος· ἀλλ' ὁ θεὸς ἡμῶν, ὡς ἔοικεν, οἰκτείρας τὴν ἱκετείαν, ὁρμὴν παρέσχησε δεῦρὶ τραπέσθαι πρὸς ὑμᾶς καὶ δεηθῆναι σωτηρίαν μὲν αὐταῖς καὶ τοῖς ἄλλοις πολίταις, ὑμῖν δὲ πεισθείσαις ἐπιφανεστέραν φέροντα δόξαν, ἧς αἱ Σαβίνων θυγατέρες ἔσχον, εἰς φιλίαν καὶ εἰρήνην ἐκ πολέμων συναγαγοῦσαι πατέρας καὶ ἄνδρας. Δεῦτε πρὸς Μάρκιον ἰοῦσαι μεθ' ἡμῶν, συνάψασθε τῆς ἱκετηρίας, καὶ μαρτυρήσατε τῇ πατρίδι μαρτυρίαν ἀληθῆ καὶ δικαίαν, ὅτι πολλὰ πάσχουσα κακῶς, οὐδὲν οὔτ' ἔπραξε δεινὸν, οὔτ' ἐβούλευσε περὶ ὑμῶν δι' ὀργήν, ἀλλ' ἀποδίδωσιν ὑμᾶς ἐκείνῳ, κἂν μηδενὸς τυγχάνειν μέλλῃ τῶν ἐπιεικῶν.» Ταῦτα τῆς Οὐαλερίας εἰπούσης, ἀνεβόησαν αἱ λοιπαὶ γυναῖκες, ἠμείψατο δὲ ἡ Οὐολουμνία· «Καὶ τῶν κοινῶν ἡμῖν συμφορῶν, ὦ γυναῖκες, ἴσον μέτεσι, καὶ ἰδίᾳ πράττομεν κακῶς, ἀπολέσασαι τὴν Μαρκίου δόξαν καὶ ἀρετήν, τὸ σῶμα δ' αὐτοῦ τοῖς τῶν πολεμίων ὅπλοις ῥοπτούμενον μᾶλλον, ἢ σωζόμενον, ἐφορῶσαι. Μέγιστον δ' ἡμῖν τῶν ἀτυχημάτων ἐστὶν, εἰ τὰ τῆς πατρίδος οὕτως ἐξησθένηκεν, ὥς' ἐν ἡμῖν ἔχειν τὰς ἐλπίδας. Οὐκ οἶδα γὰρ, εἴ τινα ποιήσεται λόγον ἡμῶν ἐκεῖνος, εἴγε μηδένα ποιεῖται τῆς πατρίδος, ἣν καὶ μητρὸς καὶ γυναικὸς καὶ παίδων προετίμησεν. Οὐ μὴν ἀλλὰ χρῆσθε ἡμῖν λαβοῦσαι, καὶ κομίζετε πρὸς ἐκεῖνον, εἰ μηδὲν ἄλλο, ταῖς ὑπὲρ τῆς πατρίδος ἱκεσίαις ἐναποπνεῦσαι δυναμένας.»

ΛΔ. Ἐκ τούτου, τάτε παιδία καὶ τὴν Οὐεργιλίαν ἀναστήσασα, μετὰ τῶν ἄλλων γυναικῶν ἐβάδιζεν εἰς τὸ στρατόπεδον τῶν Οὐολούσκων. Ἡ δ' ὄψις αὐτῶν τότε οἰκτρὰν καὶ τοῖς πολεμίοις ἐνεποίησεν αἰδῶ καὶ σιωπήν. Ἔτυχε δ' ὁ Μάρκιος ἐπὶ βήματος καθεζόμενος μετὰ τῶν ἡγεμονικῶν. Ὡς οὖν εἶδε προσιούσας τὰς γυναῖκας, ἐθαύμασεν· ἐπιγνοὺς δὲ τὴν μητέρα πρώτην βαδίζουσαν, ἐβούλετο μὲν ἐμμένειν τοῖς ἀτρέπτοις ἐκείνοις καὶ ἀπαραιτήτοις λογισμοῖς· γενόμενος δὲ τοῦ πάθους ἐλάττων, καὶ συν-

ταραχθεὶς πρὸς τὴν ὄψιν, οὐκ ἔτλη καθεζομένῳ προσελθεῖν, ἀλλὰ καταβὰς θᾶττον ἢ βάδην, καὶ ἀπαντήσας, πρώτην μὲν ἠσπάσατο τὴν μητέρα καὶ πλεῖσον χρόνον, εἶτα δὲ τὴν γυναῖκα καὶ τὰ τέκνα, μήτε διακρύων ἔτι, μήτε τοῦ φιλοφρονεῖσθαι φειδόμενος, ἀλλ' ὥσπερ ὑπὸ ῥεύματος φέρεσθαι τοῦ πάθους ἑαυτὸν ἐνδεδωκώς.

ΛΕ. Ἐπεὶ δὲ τούτων ἄδην εἶχε, καὶ τὴν μητέρα βουλομένην ἤδη λόγων ἄρχειν ἤσθετο, τοὺς τῶν Οὐολούσκων προβούλους παραστησάμενος, ἤκουσε τῆς Οὐολουμνίας τοιαῦτα λεγούσης· « Ὁρᾷς μέν, ὦ παῖ, κἂν αὐταὶ μὴ λέγωμεν, ἐσθῆτι καὶ μορφῇ τῶν ἀθλίων σωμάτων τεκμαιρόμενος, οἵαν οἰκουρίαν ἡμῖν ἡ σὴ φυγὴ περιεποίησε. Λόγισαι δὲ νῦν, ὡς ἀτυχέσταται πασῶν ἀφίγμεθα γυναικῶν, αἷς τὸ ἥδιστον θέαμα, φοβερώτατον ἡ τύχη πεποίηκεν, ἐμοὶ μὲν υἱὸν, ταύτῃ δ' ἄνδρα τοῖς τῆς πατρίδος τείχεσιν ἰδεῖν ἀντικαθήμενον. Ὃ δ' ἔτι τοῖς ἄλλοις ἀτυχίας πάσης καὶ κακοπραγίας παραμύθιον, εὔχεσθαι θεοῖς, ἡμῖν ἀπορώτατον γέγονεν. Οὐ γὰρ οἷόν τε καὶ τῇ πατρίδι νίκην ἅμα καὶ σοὶ σωτηρίαν αἰτεῖσθαι παρὰ τῶν θεῶν· ἀλλ' ἅ τις ἂν ἡμῖν καταράσαιτο τῶν ἐχθρῶν, ταῦτα ταῖς ἡμετέραις ἔνεστιν εὐχαῖς. Ἀνάγκη γὰρ, ἢ τῆς πατρίδος, ἢ σοῦ σέρεσθαι γυναικὶ σῇ καὶ τέκνοις. Ἐγὼ δ' οὐ περιμενῶ ταύτην μοι διαιτῆσαι τὴν τύχην ζώσῃ τὸν πόλεμον· ἀλλ' εἰ μή σε πείσαιμι φιλίαν καὶ ὁμόνοιαν (ἐκ) διαφορᾶς καὶ κακῶν θέμενον, ἀμφοτέρων γενέσθαι εὐεργέτην μᾶλλον, ἢ λυμεῶνα τῶν ἑτέρων, οὕτω διανοοῦ καὶ παρασκεύαζε σεαυτὸν, ὡς τῇ πατρίδι μὴ προσμίξαι δυνάμενος, πρὶν ἢ νεκρὰν ὑπερβῆναι τὴν τεκοῦσαν. Οὐ γὰρ ἐκείνην με δεῖ τὴν ἡμέραν ἀναμένειν, ἐν ᾗ τὸν υἱὸν ἐπόψομαι θριαμβευόμενον ὑπὸ τῶν πολιτῶν, ἢ θριαμβεύοντα κατὰ τῆς πατρίδος. Εἰ μὲν οὖν ἀξιῶ σε τὴν πατρίδα σῶσαι Οὐολούσκους ἀπολέσαντα, χαλεπή σοι καὶ δυσδιαίτητος, ὦ παῖ, πρόκειται σκέψις. Οὔτε γὰρ διαφθεῖραι τοὺς πολίτας καλὸν,

οὔτε τοὺς πεπισευκότας προδοῦναι δίκαιον. Νῦν δ' ἀπαλλαγὴν κακῶν αἰτούμεθα σωτήριον μὲν ἀμφοτέροις ὁμοίως, ἔνδοξον δὲ καὶ καλὴν μᾶλλον Οὐολούσκοις, ὅτι τῷ κρατεῖν δόξουσι διδόναι τὰ μέγιστα τῶν ἀγαθῶν, οὐχ ἧττον λαμβάνοντες, εἰρήνην καὶ φιλίαν. Ὧν μάλιστα μὲν αἴτιος ἔσῃ γινομένων, μὴ γινομένων δὲ μόνος αἰτίαν ἕξεις παρ' ἀμφοτέροις. Ἄδηλος δ' ὢν ὁ πόλεμος τοῦτ' ἔχει πρόδηλον, ὅτι σοὶ νικῶντι μὲν ἀλάστορι τῆς πατρίδος εἶναι περίεσιν· ἡττώμενος δὲ δόξεις ὑπ' ὀργῆς εὐεργέταις ἀνδράσι καὶ φίλοις τῶν μεγίστων συμφορῶν αἴτιος γεγονέναι. »

Λς. Ταῦτα τῆς Οὐολουμνίας λεγούσης ὁ Μάρκιος ἠκροᾶτο μηδὲν ἀποκρινόμενος. Ἐπεὶ δὲ καὶ παυσαμένης, εἰσήκει σιωπῶν πολὺν χρόνον, αὖθις ἡ Οὐολουμνία· « Τί σιγᾷς (εἶπεν) ὦ παῖ; Πότερον ὀργῇ καὶ μνησικακίᾳ πάντα συγχωρεῖν καλόν; οὐ καλὸν δὲ μητρὶ χαρίσασθαι δεομένῃ περὶ τηλικούτων; ἢ τὸ μεμνῆσθαι πεπονθότα κακῶς ἀνδρὶ μεγάλῳ προσήκει, τὸ δ' εὐεργεσίας, αἷς εὐεργετοῦνται παῖδες ὑπὸ τῶν τεκόντων, σέβεσθαι καὶ τιμᾶν, οὐκ ἀνδρὸς ἔργον ἐστὶ μεγάλου καὶ ἀγαθοῦ; Καὶ μὴν οὐδενὶ μᾶλλον ἔπρεπε τηρεῖν χάριν, ὡς σοί, πικρῶς οὕτως ἀχαριστίαν ἐπεξιόντι. Καίτοι παρὰ τῆς πατρίδος ἤδη μεγάλας δίκας ἀπείληφας, τῇ μητρὶ δ' οὐδεμίαν χάριν ἀποδέδωκας. Ἦν μὲν οὖν ὁσιώτατον ἄνευ τινὸς ἀνάγκης τυχεῖν με παρὰ σοῦ δεομένην οὕτω καλῶν καὶ δικαίων· μὴ πείθουσα δὲ, τί φείδομαι τῆς ἐσχάτης ἐλπίδος; » Καὶ ταῦτ' εἰποῦσα προσπίπτει τοῖς ποσὶν αὐτοῦ μετὰ τῆς γυναικὸς ἅμα καὶ τῶν τέκνων. Ὁ δὲ Μάρκιος ἀναβοήσας· « Οἷα εἴργασαί με, ὦ μῆτερ! » ἐξανίστησιν αὐτὴν, καὶ τὴν δεξιὰν πιέσας σφόδρα· « Νενίκηκας (εἶπεν) εὐτυχῆ μὲν τῇ πατρίδι νίκην, ἐμοὶ δ' ὀλέθριον· ἄπειμι γὰρ ὑπὸ σοῦ μόνης ἡττώμενος. Τοῦτο δ' εἰπὼν, καὶ βραχέα τῇ μητρὶ καὶ τῇ γυναικὶ διαλεχθεὶς ἰδίᾳ, τὰς μὲν ἀπέπεμψεν εἰς Ῥώμην πάλιν, αὐτὰς δεομένας, τῆς δὲ νυκτὸς παρελθούσης, ἀπήγαγεν Οὐολούσκους, οὐ τὸν αὐτὸν τρόπον, οὐδ'

ὁμοίως διακειμένους ἅπαντας. Οἱ μὲν γὰρ ἐμέμφοντο καὶ τὸν ἄνδρα καὶ τὴν πρᾶξιν, οἱ δ' οὐδέτερα, πρὸς διάλυσιν καὶ εἰρήνην οἰκείως ἔχοντες. Ἔνιοι δὲ δυσχεραίνοντες τὰ πραττόμενα, τὸν Μάρκιον ὅμως οὐ πονηρὸν ἐνόμιζον, ἀλλὰ συγγνωστόν, ἐπικλασθέντα τηλικαύταις ἀνάγκαις. Ἀντεῖπε δ' οὐδείς, ἀλλὰ πάντες εἶπον, τὴν ἀρετὴν μᾶλλον αὐτοῦ θαυμάζοντες, ἢ τὴν ἐξουσίαν.

ΛΖ. Ὁ δὲ Ῥωμαίων δῆμος ἐν ὅσῳ φόβῳ καὶ κινδύνῳ καθειστήκει τοῦ πολέμου παρόντος, αἴσθησιν παρέσχε μᾶλλον λυθέντος. Ἅμα γὰρ ἀφεώρων τοὺς Οὐολούσκους ἀναζευγνύοντας οἱ περὶ τὰ τείχη, καὶ πᾶν εὐθὺς ἱερὸν ἀνεῴγει, στεφανηφορούντων, ὥσπερ ἐπὶ νίκῃ, καὶ θυόντων. Μάλιστα δὲ τῇ περὶ τὰς γυναῖκας ἀγαπήσει καὶ τιμῇ τῆς τε βουλῆς τοῦ τε πλήθους ἅπαντος, ἔνδηλος ἦν ἡ χαρὰ τῆς πόλεως, καὶ λεγόντων καὶ νομιζόντων γεγονέναι τῆς σωτηρίας περιφανῶς ἐκείνας αἰτίας. Ψηφισαμένης δὲ τῆς βουλῆς, ὅ τι ἂν αὐταῖς ἀξιώσωσι γενέσθαι πρὸς δόξαν, ἢ χάριν, τοῦτο ποιῆσαι καὶ παραστῆσαι τοὺς ἄρχοντας· οὐδὲν ἠξίωσαν ἄλλο, ἢ Τύχης Γυναικείας ἱερὸν ἱδρύσασθαι, τὸ μὲν ἀνάλωμα συμβαλλόμεναι παρ' αὑτῶν, ἱερουργίας δὲ καὶ τιμὰς, ὅταν θεοῖς πρέπουσι, δημοσίᾳ τῆς πόλεως ἀναλαβούσης. Ἐπεὶ δ' ἡ βουλὴ τὴν μὲν φιλοτιμίαν ἐπῄνεσε, δημοσίαις δὲ δαπάναις ἐποιήσατο τὸν νεὼν καὶ τὸ ἕδος, οὐδὲν ἧττον αὐταὶ χρήματα συνεισενεγκοῦσαι δεύτερον ἄγαλμα κατεσκεύασαν," ὃ δὴ καί φασι Ῥωμαῖοι καθιζάμενον ἐν τῷ ἱερῷ φθέγξασθαί τι τοιοῦτον· ΘΕΟΦΙΛΕΪ ΜΕ ΘΕΣΜΩ ΓΥΝΑΪΚΕΣ ΔΕΔΩΚΑΤΕ.

ΛΗ. Ταύτην καὶ δὶς γενέσθαι τὴν φωνὴν μυθολογοῦσιν, ἀγενήτους ὁμοίως καὶ χαλεπὰ πεισθῆναι πείθοντες ἡμᾶς. Ἰδίοντα μὲν γὰρ ἀγάλματα φανῆναι καὶ δακρυρροοῦντα, καί τινας μεθιέντα νοτίδας αἱματώδεις, οὐκ ἀδύνατόν ἐστι. Καὶ γὰρ ξύλα καὶ λίθοι πολλάκις μὲν ἰδρῶτα συνάγουσι γόνιμον ὑγρότητος, πολλὰς δὲ χροιὰς ἀνιᾶσιν ἐξ ἑαυτῶν, καὶ δέχονται βαφὰς ἐκ τοῦ περιέχον-

τος· οἷς ἔνια σημαίνειν τὸ δαιμόνιον, οὐδὲν ἂν δόξειε κωλύειν. Δυνατὸν δὲ καὶ μυγμῷ καὶ σεναγμῷ ψόφον ὅμοιον ἐκβάλλειν ἀγάλματα, κατὰ ῥῆξιν, ἢ διάσασιν μορίων βιαιοτέραν ἐν βάθει γενομένην· ἔναρθρον δὲ φωνὴν, καὶ διάλεκτον οὕτω σαφῆ καὶ περιττὴν καὶ ἀρτίσομον, ἐν ἀψύχῳ γενέσθαι παντάπασιν ἀμήχανον· εἰ μηδὲ τὴν ψυχὴν καὶ τὸν θεὸν ἄνευ σώματος ὀργανικοῦ καὶ διηρμοσμένου μέρεσι λογικοῖς γέγονεν ἠχεῖν καὶ διαλέγεσθαι. Ὅπου δ' ἡμᾶς ἡ ἱστορία πολλοῖς ἀποβιάζεται καὶ πιθανοῖς μάρτυσιν, ἀνόμοιον αἰσθήσει πάθος ἐγγινόμενον τῷ φανταστικῷ τῆς ψυχῆς, συναναπείθει τὸ δόξαν· ὥσπερ ἐν ὕπνοις, ἀκούειν οὐκ ἀκούοντες, καὶ βλέπειν οὐ βλέποντες δοκοῦμεν. Οὐ μὴν ἀλλὰ τοῖς ὑπ' εὐνοίας καὶ φιλίας πρὸς τὸν θεὸν ἄγαν ἐμπαθῶς ἔχουσι, καὶ μηδὲν ἀθετεῖν, μηδ' ἀναίνεσθαι τῶν τοιούτων δυναμένοις, μέγα πρὸς πίστιν ἐστὶ τὸ θαυμάσιον καὶ μὴ καθ' ἡμᾶς τῆς τοῦ θεοῦ δυνάμεως. Οὐδὲν γὰρ οὐδαμῶς ἀνθρωπίνῳ προσέοικεν, οὔτε φύσιν, οὔτε τέχνην, οὔτ' ἰσχύν· οὔτ' εἴ τι ποιεῖ τῶν ἡμῖν ἀποιήτων, καὶ μηχανᾶται τῶν ἀμηχάνων, παραλογόνεσιν· ἀλλὰ μᾶλλον ἐν πᾶσι διαφέρων, πολὺ μάλιστα τοῖς ἔργοις ἀνόμοιός ἐστι καὶ παρηλλαγμένος. Ἀλλὰ τῶν μὲν θείων τὰ πολλὰ, καθ' Ἡράκλειτον, ἀπιστίᾳ διαφυγγάνει μὴ γινώσκεσθαι.

ΛΘ. Τὸν δὲ Μάρκιον, ὡς ἐπανῆλθεν εἰς τὸ Ἄντιον ἀπὸ τῆς στρατείας, μισῶν πάνυ καὶ βαρυνόμενος διὰ φόβον ὁ Τύλλος ἐπεβούλευεν ἀνελεῖν εὐθὺς, ὡς, εἰ νῦν διαφύγοι, λαβὴν ἑτέραν οὐ παρέξοντα. Πολλοὺς δὲ συσήσας καὶ παρασκευάσας ἐπ' αὐτὸν, ἐκέλευσεν εὐθύνας ὑποσχεῖν τοῖς Οὐολούσκοις ἀποδόντα τὴν ἀρχήν· Ὁ δὲ φοβούμενος ἰδιώτης γενέσθαι, τοῦ Τύλλου στρατηγοῦντος καὶ δυναμένου μέγιστον ἐν τοῖς ἑαυτοῦ πολίταις, ἔλεγε τὴν (μὲν) ἀρχὴν ἀποδώσειν Οὐολούσκοις, ἐὰν κελεύωσι· καὶ γὰρ λαβεῖν πάντων κελευόντων· εὐθύνας δὲ διδόναι καὶ λόγον, οὐδὲ νῦν παραιτεῖσθαι τοῖς βουλομένοις Ἀντιατῶν. Γενομένης οὖν ἐκκλη-

σίας, οἱ παρεσκευασμένοι τῶν δημαγωγῶν ἀνιστάμενοι παρώξυνον τὸ πλῆθος. Ἐπεὶ δ' ἀναστάντι τῷ Μαρκίῳ τὸ μὲν ἄγαν θορυβοῦν ὑπ' αἰδοῦς ἐνεδίδου καὶ παρεῖχεν ἀδεῶς λέγειν, οἱ δὲ βέλτιστοι καὶ μάλιστα χαίροντες εἰρήνῃ τῶν Ἀντιατῶν ἐγένοντο φανεροὶ μετ' εὐνοίας ἀκουσόμενοι καὶ δικαίως κρινοῦντες, ἔδειεν ὁ Τύλλος τὴν ἀπολογίαν τοῦ ἀνδρός. Ἦν γὰρ ἐν τοῖς μάλιστα δεινὸς εἰπεῖν· καὶ τὰ πρόσθεν ἔργα μείζονα τὴν χάριν εἶχε τῆς ὕστερον αἰτίας. Μᾶλλον δ' ὅλως τὸ ἔγκλημα τοῦ μεγέθους τῆς χάριτος ἦν μαρτύριον. Οὐ γὰρ ἂν ἔδοξαν ἀδικεῖσθαι, τὴν Ῥώμην ὑποχείριον μὴ λαβόντες, εἰ μὴ τοῦ λαβεῖν ἐγγὺς ἐγένοντο διὰ Μάρκιον. Οὐκέτ' οὖν ἔδοξε διαμέλλειν, οὐδὲ πειρᾶσθαι τῶν πολλῶν· ἀλλ' ἐγκραγόντες οἱ θρασύτατοι τῶν συνεσώτων, ὡς οὐκ ἔστιν ἀκουστέον, οὐδὲ περιοπτέον Οὐολούσκοις τὸν προδότην τυραννοῦντα, καὶ μὴ κατατιθέμενον τὴν ἀρχήν, προσπεσόντες ἀθρόοι διέφθειραν αὐτὸν, καὶ προσήμυνεν οὐδεὶς τῶν παρόντων. Ὅτι δὲ τοῖς πλείοσιν οὐκ ἐπράχθη κατὰ γνώμην, ἐδήλωσαν αὐτίκα, συνδραμόντες ἐκ τῶν πόλεων ἐπὶ τὸ σῶμα καὶ θάψαντες ἐντίμως, καὶ τὸν τάφον ὅπλοις καὶ λαφύροις κοσμήσαντες, ὡς ἀριστέως καὶ στρατηγοῦ. Ῥωμαῖοι δὲ τὴν τελευτὴν πυθόμενοι, ἄλλο μὲν οὐδὲν ἀπεδείξαντο σημεῖον οὔτε τιμῆς, οὔτ' ὀργῆς πρὸς αὐτόν· αἰτησαμέναις δὲ ταῖς γυναιξὶν ἐπέτρεψαν ἀποπενθῆσαι δέκα μῆνας, ὥσπερ ἔθος ἦν ἑκάστῃ πατέρα καὶ παῖδα καὶ ἀδελφόν. Οὗτος γὰρ ἦν ὅρος τοῦ μακροτάτου πένθους, ὃν ὥρισε Νουμᾶς Πομπίλιος, ὡς ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις δεδήλωται. Τὸν δὲ Μάρκιον εὐθὺς ἐπόθει τὰ Οὐολούσκων πράγματα. Πρῶτον μὲν γὰρ στασιάσαντες πρὸς Αἰκανοὺς συμμάχους καὶ φίλους ὄντας ὑπὲρ ἡγεμονίας, ἄχρι τραυμάτων καὶ φόνων προῆλθον· ἔπειτα μάχῃ κρατηθέντες ὑπὸ Ῥωμαίων, ἐν ᾗ Τύλλος ἀπέθανε, καὶ τὸ ἀνθοῦν μάλιστα τῆς δυνάμεως διεφθάρη, διαλύσεις αἰσχίστας ἠγάπησαν, ὑπήκοοι γενόμενοι, καὶ τὸ προσαττόμενον αὐτοῖς ποιήσειν ὁμολογήσαντες.

ΑΛΚΙΒΙΑΔΗΣ. ΚΑΙ ΚΟΡΙΟΛΑΝΟΣ.

ΣΥΓΚΡΙΣΙΣ.

Ἐκκειμένων δὲ τῶν πράξεων, ὅτας ἡγούμεθα λόγου καὶ μνήμης ἀξίας εἶναι, τὰς μὲν πολεμικὰς ἐπ' οὐδέτερον ποιούσας ῥοπὴν μεγάλην ὁρᾶν ἔστιν. Ὁμαλῶς γὰρ ἀμφότεροι πολλὰ μὲν στρατιωτικῆς ἔργα τόλμης καὶ ἀνδρείας, πολλὰ δὲ καὶ τέχνης καὶ προνοίας στρατηγοῦντες ἐπεδείξαντο· πλὴν εἰ μή τις θέλοι τὸν Ἀλκιβιάδην, ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐν πολλοῖς ἀγῶσι νικῶν καὶ κατορθῶν διετέλεσεν, ἀποφαίνειν τελειότερον στρατηγόν. Ἐπεὶ τό γε παρόντας καὶ ἄρχοντας ὀρθοῦν ἀεὶ προδήλως τὰ οἰκεῖα, καὶ προδηλότερον αὖ πάλιν βλάπτειν μεθ' ἱσαμένους, ἀμφοτέροις ὑπῆρξε. Πολιτείαν δὲ, τὴν μὲν Ἀλκιβιάδου τὴν ἄγαν λαμυρὰν, καὶ τὸ μὴ καθαρεῦον ἀναγωγίας καὶ βωμολοχίας, ἐν τῷ πρὸς χάριν ὁμιλεῖν τοῖς πολλοῖς, οἱ σώφρονες ἐβδελύττοντο· τὴν δὲ Μαρκίου παντάπασιν ἄχαριν καὶ ὑπερήφανον καὶ ὀλιγαρχικὴν γενομένην ἐμίσησεν ὁ Ῥωμαίων δῆμος. Οὐδετέραν μὲν οὖν ἐπαινετέον· ὁ δὲ δημαγωγῶν καὶ χαριζόμενος, τῶν ὅπως οὐ δόξουσι δημαγωγεῖν προπηλακιζόντων τοὺς πολλοὺς, ἀμεμπτότερος. Αἰσχρὸν μὲν γὰρ τὸ κολακεύειν δῆμον ἐπὶ τῷ δύνασθαι· τὸ δ' ἰσχύειν ἐκ τοῦ φοβερὸν εἶναι, καὶ κακοῦν καὶ πιέζειν, πρὸς τῷ αἰσχρῷ καὶ ἄδικόν ἐστιν.

Β. Ὅτι τοίνυν ἁπλοῦς τις ὁ Μάρκιος ὑπείληπται τῷ τρόπῳ γεγονέναι καὶ αὐθέκαστος, ὁ δὲ Ἀλκιβιάδης πανοῦργος ἐν τῇ πολιτείᾳ καὶ ἀνηλήθης, οὐκ ἄδηλόν ἐστι. Μάλιστα δὲ κατηγοροῦσιν αὐτοῦ κακοήθειαν καὶ ἀπάτην, ἣ τοὺς Λακεδαιμονίων πρέσβεις παρακρουσάμενος, ὡς Θουκυδίδης ἱστόρηκε, τὴν εἰρήνην ἔλυσεν.

Ἀλλ' αὖτη μὲν ἡ πολιτεία, καίπερ εἰς πόλεμον αὖθις ἐμβαλοῦσα τὴν πόλιν, ἰσχυρὰν ἐποίησε καὶ φοβερὰν, τῆς Μαντινέων καὶ Ἀργείων συμμαχίας, δι' Ἀλκιβιάδου προσγενομένης. Μάρκιος δ' ὅτι μὲν ἀπάτῃ καὶ αὐτὸς ἐξεπολέμωσε Ῥωμαίους καὶ Οὐολούσκους, διαβαλὼν ψευδῶς τοὺς ἥκοντας ἐπὶ τὴν θέαν, Διονύσιος ἰσόρηκεν· ἡ δ' αἰτία φαυλότερον ποιεῖ τὸ ἔργον. Οὐ γὰρ ἐκ φιλονεικίας, οὐδὲ πολιτικῆς μάχης, ἢ ἁμίλλης, ὡς ἐκεῖνος, ἀλλ' ὀργῇ χαριζόμενος, παρ' ἧς οὐδένα φησὶν ὁ Δίων ἀπολαβεῖν χάριν, πολλὰ τῆς Ἰταλίας μέρη συνετάραξε, καὶ πολλὰς πόλεις οὐδὲν ἀδικούσας, τῷ πρὸς τὴν πατρίδα θυμῷ παρανάλωσε. Καίτοι καὶ Ἀλκιβιάδης δι' ὀργὴν μεγάλων αἴτιος συμφορῶν κατέστη τοῖς πολίταις. Ἀλλ' ὅτε πρῶτον ἔγνω μεταμελουμένους εὐγνωμόνησε· καὶ πάλιν ἀπορρίψεις, οὐκ ἐπείσθη τοῖς στρατηγοῖς ἁμαρτάνουσιν, οὐδὲ παρεῖδε κακῶς βουλευομένους καὶ κινδυνεύοντας· ἀλλ' ὅπερ Ἀριστείδης ἐπαινεῖται μάλιστα πράξας πρὸς Θεμιστοκλέα, τοῦτ' ἐποίησε πρὸς τοὺς τότ' ἄρχοντας, οὐ φίλους ὄντας, ἐλθὼν, καὶ φράσας τὸ δέον καὶ διδάξας. Μάρκιος δὲ πρῶτον μὲν ὅλην κακῶς ἐποίει τὴν πόλιν, οὐχ ὑφ' ὅλης παθὼν, ἀλλὰ τοῦ βελτίστου καὶ κρατίστου μέρους συναδικηθέντος αὐτῷ καὶ συναλγήσαντος· ἔπειτα πολλαῖς πρεσβείαις καὶ δεήσεσι μίαν ἰωμένων ὀργὴν καὶ ἀνίαν, οὐ τεγχθείς, οὔτ' εἴξας, ἐδήλωσεν ἐπὶ τῷ διαφθεῖραι τὴν πατρίδα καὶ καταβαλεῖν, οὐχ ὅπως ἀπολάβῃ καὶ κατέλθῃ, βαρὺν πόλεμον καὶ ἄσπονδον ἐπαρησάμενος. Τούτῳ γε φήσει τις διαφέρειν. Ἀλκιβιάδην μὲν γὰρ ἐπιβουλευόμενον ὑπὸ Σπαρτιατῶν, διὰ δέος ἅμα καὶ μῖσος αὐτῶν μεταστῆναι πρὸς Ἀθηναίους. Μαρκίῳ δὲ πάντα δίκαια ποιοῦντας Οὐολούσκους, οὐ καλῶς εἶχεν ἐγκαταλιπεῖν. Καὶ γὰρ ἡγεμὼν ἀποδέδεικτο, καὶ μεγίστην πίστιν εἶχε μετὰ δυνάμεως, οὐχ ὡς ἐκεῖνος, ἀποχρωμένων μᾶλλον, ἢ χρωμένων αὐτῷ Λακεδαιμονίων, ἐν τῇ πόλει περιιὼν, καὶ κυλινδούμενος αὖθις ἐν τῷ στρατοπέδῳ, τέλος εἰς τὰς Τισαφέρνου χεῖρας ἀφῆκεν αὐτόν.

αὐτόν· εἰ μὴ νὴ Δία μὴ φθαρῆναι τὰς Ἀθήνας παντάπασι, ποθῶν κατελθεῖν, ἐθεράπευε.

Γ. Χρήματα τοίνυν ὁ μὲν Ἀλκιβιάδης καὶ λαβεῖν οὐκ εὖ πολλάκις ἐκ δωροδοκιῶν, καὶ διαθέσθαι κακῶς εἰς τρυφὴν καὶ ἀκολασίαν ἰσόρηται· Μάρκιον δὲ, σὺν τιμῇ διδόντες οἱ στρατηγοὶ, λαβεῖν οὐκ ἔπεισαν. Διὸ καὶ μάλιστα τοῖς πολλοῖς ἐπαχθὴς ἦν ἐν ταῖς περὶ χρεῶν διαφοραῖς πρὸς τὸν δῆμον, ὡς οὐκ ἐπὶ κέρδεσιν, ἀλλὰ διὔβριν καὶ περιφρόνησιν τοῖς πένησιν ἐπηρεάζων. Ἀντίπατρος μὲν οὖν ἐν ἐπιστολῇ τινι γράφων περὶ τῆς Ἀριστοτέλους τοῦ φιλοσόφου τελευτῆς· πρὸς τοῖς ἄλλοις, φησὶν, ὁ ἀνὴρ καὶ τὸ πείθειν εἶχε· τὰς δὲ Μαρκίου πράξεις καὶ ἀρετὰς τοῦτο μὴ προσὸν ἐπαχθεῖς ἐποίησεν αὐτοῖς τοῖς εὖ παθοῦσι, τὸν ὄγκον αὐτοῦ καὶ τὴν ἐρημίαν σύνοικον, ὡς Πλάτων εἶπεν, αὐθάδειαν μὴ ὑπομείναντας. Τοῦ δ' Ἀλκιβιάδου τοὐναντίον ἐπισαμένου χρῆσθαι τοῖς ἐντυγχάνουσιν οἰκείως, οὐδὲν θαυμαστὸν, ἐν οἷς κατώρθου, τὴν δόξαν ἀνθεῖν μετ' εὐνοίας καὶ τιμῆς εὐημεροῦσαν· ὅπου καὶ τῶν ἁμαρτημάτων ἔνια πολλάκις χάριν εἶχε καὶ ὥραν. Ὅθεν οὗτος μὲν οὐ μικρὰ βλάψας, οὐδ' ὀλίγα τὴν πόλιν, ὅμως ἀπεδείκνυτο πολλάκις ἡγεμὼν καὶ στρατηγός· ἐκεῖνος δὲ μετιὼν ἐπὶ πολλαῖς ἀρισείαις καὶ ἀνδραγαθίαις ἀρχὴν προσήκουσαν, ἐξέπεσεν. Οὕτω τὸν μὲν, οὐδὲ πάσχοντες κακῶς, ἐδύναντο μισεῖν οἱ πολῖται· τῷ δὲ περιῆν θαυμαζομένῳ μὴ φιλεῖσθαι.

Δ. Καὶ γάρ τοι Μάρκιος μὲν οὐδὲν ἀπεδείξατο τῇ πόλει στρατηγῶν, ἀλλὰ τοῖς πολεμίοις κατὰ τῆς πατρίδος· Ἀλκιβιάδου δὲ καὶ στρατευομένου πολλάκις καὶ στρατηγοῦντος ἀπέλαυσαν οἱ Ἀθηναῖοι, καὶ παρὼν ἐκράτει τῶν ἐχθρῶν, ὅσον ἐβούλετο, καὶ μὴ παρόντος, ἴσχυσαν αἱ διαβολαί. Μάρκιος δὲ παρὼν ὑπὸ Ῥωμαίων κατεδικάσθη, παρόντα δὲ Οὐολοῦσκοι διέφθειραν, οὐ δικαίως μὲν οὐδ' ὁσίως· αἰτίαν δὲ τοῦ εὐλόγου παρέσχεν αὐτὸς, ὅτι δημοσίᾳ τὰς διαλύσεις μὴ προσδεξάμενος, ἰδίᾳ δὲ πεισθεὶς

πὸ τῶν γυναικῶν, οὐκ ἔλυσε τὴν ἔχθραν, ἀλλὰ τοῦ πολέμου μένοντος, ἀπώλεσε τὸν καιρὸν καὶ διέφθειρε. Πείσαντα γὰρ ἔδει τοὺς πεπιστευκότας ἀπελθεῖν, εἰ τοῦ πρὸς ἐκείνους δικαίου πλεῖον ἐποιεῖτο λόγον. Εἰ δὲ μηδὲν ἐφρόντιζεν Οὐολούσκων, ἀλλὰ τὴν ὀργὴν ἐμπλῆσαι τὴν ἑαυτοῦ βουλόμενος ἐνῆγε τὸν πόλεμον, εἶτ' ἔλῆξεν, οὐ διὰ τὴν μητέρα καλῶς εἶχε φείσασθαι τῆς πατρίδος, ἀλλὰ καὶ σὺν τῇ πατρίδι τῆς μητρός. Μέρος γὰρ ἦν καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ τῆς πατρίδος, ἣν ἐπολιόρκει. Τὸ δὲ δημοσίαις ἱκεσίαις καὶ δεήσει πρέσβεων καὶ λιταῖς ἱερέων ἀπηνῶς χρησάμενον, εἶτα χαρίσασθαι τῇ μητρὶ τὴν ἀναχώρησιν, οὐ τῆς μητρὸς ἦν τιμή, ἀλλ' ἀτιμία τῆς πατρίδος, οἵκτῳ καὶ παραιτήσει διὰ μίαν γυναῖκα σῳζομένης, ὡς οὐκ ἀξίας σώζεσθαι δι' αὑτήν. Ἐπίφθονος γὰρ ἡ χάρις, καὶ ὠμὴ καὶ ἀχάριστος ἀληθῶς, καὶ πρὸς οὐδετέρους ἔχουσα τὸ εὔγνωμον· ἀνεχώρησε γὰρ μήτε πεισθεὶς ὑπὸ τῶν πολεμουμένων, μήτε πείσας τοὺς συμπολεμοῦντας. Ὧν αἴτιον ἁπάντων, τὸ ἀνομίλητον τοῦ τρόπου, καὶ λίαν ὑπερήφανον καὶ αὔθαδες, ὃ καθ' αὑτὸ μὲν ἐπαχθές ἐστι τοῖς πολλοῖς, τῷ δὲ φιλοτίμῳ προσὸν, γίνεται παντάπασιν ἄγριον καὶ ἀπαραίτητον. Οὐ γὰρ θεραπεύουσι τοὺς πολλοὺς, ὡς μὴ δεόμενοι τιμῆς, εἶτα χαλεπαίνουσι μὴ τυγχάνοντες. Ἐπεὶ τό γε μὴ λιπαρῆ, μηδὲ θεραπευτικὸν ὄχλων εἶναι, καὶ Μέτελλος εἶχε, καὶ Ἀριστείδης, καὶ Ἐπαμινώνδας· ἀλλὰ τῷ καταφρονεῖν ἀληθῶς ὧν δῆμός ἐστι καὶ δοῦναι καὶ ἀφελέσθαι κύριος, ἐξορρακιζόμενοι καὶ ἀποχειροτονούμενοι καὶ καταδικαζόμενοι πολλάκις, οὐκ ὠργίζοντο τοῖς πολίταις ἀγνωμονοῦσιν, ἀλλ' ἠγάπων αὖθις μεταμελομένους, καὶ διηλλάττοντο παρακαλούντων. Τὸν γὰρ ἥκιστα θεραπευτικὸν ἥκιστα πρέπει τιμωρητικὸν εἶναι τῶν πολλῶν· ὡς τὸ χαλεπαίνειν μάλιστα μὴ τυγχάνοντα τῆς τιμῆς, ἐκ τοῦ σφόδρα γλίχεσθαι φυόμενον.

Ε. Ἀλκιβιάδης μὲν οὖν οὐκ ἠρνεῖτο τιμώμενος χαίρειν, καὶ

δυσφορεῖν παρορώμενος· ὅθεν ἐπειρᾶτο προσφιλὴς εἶναι τοῖς παροῦσι καὶ κεχαρισμένος· Μάρκιον δὲ θεραπεύειν μὲν οὐκ εἶα τοὺς τιμᾶν δυναμένους καὶ αὔξειν, τὸ ὑπερήφανον, ὀργὴν δὲ καὶ λύπην ἀμελουμένῳ] τὸ φιλότιμον παρεῖχε. Καὶ ταῦτ' ἔστιν, ἄ τις ἂν αἰτιάσαιτο τοῦ ἀνδρός· τὰ δ' ἄλλα πάντα λαμπρά. Σωφροσύνης δὲ καὶ χρημάτων ἐγκρατείας ἕνεκα τοῖς ἀρίστοις καὶ καθαρωτάτοις τῶν Ἑλλήνων ἄξιον αὐτὸν παραβάλλειν, οὐκ Ἀλκιβιάδῃ μὰ Δία, τῷ θρασυτάτῳ περὶ ταῦτα, καὶ ὀλιγωροτάτῳ τοῦ καλοῦ γενομένῳ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΠΛΟΥΤΑΡΧΟΥ ΤΙΜΟΛΕΩΝ.

Τα μὲν Συρακουσίων πράγματα πρὸ τῆς Τιμολέοντος εἰς Σικελίαν ἀποστολῆς οὕτως εἶχεν. Ἐπεὶ Δίων μὲν ἐξελάσας Διονύσιον τὸν τύραννον, εὐθὺς ἀνῃρέθη δόλῳ, καὶ διέσῃσαν οἱ σὺν Δίωνι Συρακουσίους ἐλευθερώσαντες· ἡ δὲ πόλις, ἄλλον ἐξ ἄλλου μεταβάλλουσα συνεχῶς τύραννον, ὑπὸ πλήθους κακῶν μικρὸν ἀπέλιπεν ἔρημος εἶναι· τῆς δ' ἄλλης Σικελίας, ἡ μὲν ἀνάσατος καὶ ἄπολις παντάπασιν ἤδη διὰ τοὺς πολέμους ὑπῆρχεν, αἱ δὲ πλεῖσται πόλεις ὑπὸ βαρβάρων μιγάδων καὶ στρατιωτῶν ἀμίσθων κατείχοντο, ῥᾳδίως προσιεμένων τὰς μεταβολὰς τῶν δυναστειῶν· Διονύσιος ἔτει δεκάτῳ ξένους συναγαγὼν, καὶ τὸν τότε κρατοῦντα τῶν Συρακουσίων Νυσαῖον ἐξελάσας, ἀνέλαβε τὰ πράγματα πάλιν, καὶ καθεστήκει τύραννος ἐξ ἀρχῆς, παραλόγως μὲν ὑπὸ μικρᾶς δυνάμεως τὴν μεγίστην τῶν πώποτε τυραννίδων ἀπολέσας, παραλογώτερον δ' αὖθις, ἐκ φυγάδος καὶ ταπεινοῦ τῶν ἐκβαλόντων κύριος γενόμενος. Οἱ μὲν οὖν ὑπομείναντες ἐν τῇ πόλει τῶν Συρακουσίων ἐδούλευον οὔτ' ἄλλως ἐπιεικεῖ τυράννῳ, καὶ τότε παντάπασιν ὑπὸ συμφορῶν ἀπηγριωμένῳ τὴν ψυχήν· οἱ δὲ βέλτιστοι καὶ γνωριμώτατοι πρὸς Ἱκέτην τραπέντες τὸν δυναστεύοντα τῶν Λεοντίνων, ἐπέτρεψαν αὐτοὺς ἐκείνῳ, καὶ στρατηγὸν εἵλοντο τοῦ πολέμου, βελτίω μὲν οὐδενὸς ὄντα τῶν ὁμολογουμένως τυράννων, ἑτέραν δ' οὐκ ἔχοντες ἀποστροφὴν, καὶ πιστεύσαντες Συρακουσίῳ τὸ γένος ὄντι, καὶ κεκτημένῳ δύναμιν ἀξιόμαχον πρὸς τὸν τύραννον.

Β. Ἐν τούτῳ δὲ Καρχηδονίων στόλῳ μεγάλῳ παραγενομένων εἰς Σικελίαν, καὶ τοῖς πράγμασιν ἐπαιωρουμένων, φοβηθέντες οἱ Σικελιῶται, πρεσβείαν ἐβούλοντο πέμπειν εἰς τὴν Ἑλλάδα,

καὶ παρὰ Κορινθίων βοήθειαν αἰτεῖν, οὐ μόνον διὰ τὴν συγγένειαν, οὐδ' ἀφ' ὧν ἤδη πολλάκις εὐεργέτηντο πιστεύοντες ἐκείνοις, ἀλλὰ καὶ καθόλου τὴν πόλιν ὁρῶντες φιλελεύθερον καὶ μισοτύραννον οὖσαν ἀεὶ, καὶ τῶν πολέμων τοὺς πλείστους καὶ μεγίστους πεπολεμηκυῖαν, οὐχ ὑπὲρ ἡγεμονίας καὶ πλεονεξίας, ἀλλ' ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας. Ὁ δ' Ἱκέτης, ἅτε δὴ τῆς στρατηγίας ὑπόθεσιν τὴν τυραννίδα πεποιημένος, οὐ τὴν Συρακουσίων ἐλευθερίαν, κρύφα μὲν ἤδη πρὸς τοὺς Καρχηδονίους διείλεκτο, φανερῶς δὲ τοὺς Συρακουσίους ἐπῄνει, καὶ τοὺς πρέσβεις εἰς Πελοπόννησον συνεξέπεμψεν· οὐ βουλόμενος ἐλθεῖν συμμαχίαν ἐκεῖθεν, ἀλλ' ἐὰν, ὅπερ εἰκὸς ἦν, οἱ Κορίνθιοι διὰ τὰς Ἑλληνικὰς ταραχὰς καὶ ἀσχολίας ἀπείπωσι τὴν βοήθειαν, ἐλπίζων ῥᾷον ἐπὶ τοὺς Καρχηδονίους τὰ πράγματα μετάξειν, καὶ χρήσεσθαι συμμάχοις καὶ συναγωνισταῖς ἐκείνοις ἐπὶ τοὺς Συρακουσίους, ἢ κατὰ τοῦ τυράννου. Ταῦτα μὲν οὖν ὀλίγον ὕστερον ἐξηλέγχθη.

Γ. Τῶν δὲ πρέσβεων παραγενομένων, οἱ Κορίνθιοι κήδεσθαι μὲν ἀεὶ τῶν ἀποικίδων πόλεων καὶ μάλιστα τῆς Συρακουσίων εἰωθότες, οὐδενὸς δ' αὐτοῖς τότε τῶν Ἑλληνικῶν κατὰ τύχην παρενοχλοῦντος, ἀλλ' ἐν εἰρήνῃ καὶ σχολῇ διάγοντες, ἐψηφίσαντο προθύμως βοηθεῖν. Ζητουμένου δὲ στρατηγοῦ, καὶ τῶν ἀρχόντων γραφόντων καὶ προβαλλομένων τοὺς εὐδοκιμεῖν ἐν τῇ πόλει σπουδάζοντας, εἷς ἐκ τῶν πολλῶν ἀναστὰς ὠνόμασε Τιμολέοντα τὸν Τιμοδήμου, μήτε προσιόντα τοῖς κοινοῖς ἔτι, μήτ' ἐλπίδος τοιαύτης γενόμενον, ἢ προαιρέσεως, ἀλλὰ θεοῦ τινος, ὡς ἔοικεν, εἰς νοῦν ἐμβαλόντος τῷ ἀνθρώπῳ. Τοσαύτη καὶ περὶ τὴν αἵρεσιν εὐθὺς ἔλαμψε τύχης εὐμένεια, καὶ ταῖς ἄλλαις πράξεσιν ἐπηκολούθησε χάρις, ἐπικοσμοῦσα τὴν ἀρετὴν τοῦ ἀνδρός. Ἦν μὲν οὖν γονέων ἐπιφανῶν ἐν τῇ πόλει, Τιμοδήμου καὶ Δημαρίστης, φιλόπατρις δὲ καὶ πρᾷος διαφερόντως, ὅσα μὴ σφόδρα

μισοτύραννος εἶναι καὶ μισοπόνηρος. Ἐν δὲ τοῖς πολέμοις οὕτω καλῶς καὶ ὁμαλῶς ἐκέκρατο τὴν φύσιν, ὥσε πολλὴν μὲν ἐν νέῳ σύνεσιν, οὐκ ἐλάττω δὲ γηρῶντος ἀνδρείαν ἐπιφαίνεσθαι ταῖς πράξεσιν. Ἀδελφὸν δ' εἶχε Τιμοφάνην, πρεσβύτερον, οὐδὲν αὐτῷ προσόμοιον, ἀλλ' ἔμπληκτον, καὶ διεφθαρμένον ἔρωτι μοναρχίας ὑπὸ φίλων φαύλων καὶ ξένων στρατιωτικῶν ἀεὶ περὶ αὐτὸν ὄντων, ἔχειν τι δοκοῦντα ῥαγδαῖον ἐν ταῖς στρατείαις καὶ φιλοκίνδυνον. Ὧ καὶ τοὺς πολίτας προσαγόμενος, ὡς ἀνὴρ πολεμικὸς καὶ δραστήριος, ἐφ' ἡγεμονιῶν ἐτάττετο. Καὶ πρὸς ταῦτα Τιμολέων αὐτῷ συνήργει, τὰ μὲν ἁμαρτήματα παντάπασιν ἀποκρύπτων, ἢ μικρὰ φαίνεσθαι ποιῶν, ἃ δ' ἡ φύσις ἐξέφερεν ἀσεῖα κατακοσμῶν καὶ συναύξων.

Δ. Ἐν δὲ τῇ πρὸς Ἀργείους καὶ Κλεωναίους μάχῃ τῶν Κορινθίων ὁ μὲν Τιμολέων ἔτυχεν ἐν τοῖς ὁπλίταις τεταγμένος, τὸν δὲ Τιμοφάνην τῶν ἱππέων ἡγούμενον καταλαμβάνει κίνδυνος ὀξύς. Ὁ γὰρ ἵππος αὐτὸν ἀπεσείσατο, πληγῇ περιπεσών, εἰς τοὺς πολεμίους· καὶ τῶν ἑταίρων οἱ μὲν εὐθὺς ἐσκορπίσθησαν φοβηθέντες, οἱ δὲ παραμείναντες, ὀλίγοι πρὸς πολλοὺς μαχόμενοι, χαλεπῶς ἀντεῖχον. Ὡς οὖν ὁ Τιμολέων κατεῖδε τὸ συμβεβηκὸς, δρόμῳ προσβοηθήσας, καὶ τὴν ἀσπίδα τοῦ Τιμοφάνους κειμένου προθέμενος, καὶ πολλὰ μὲν ἀκοντίσματα, πολλὰς δὲ πληγὰς ἐκ χειρὸς ἀναδεξάμενος εἰς τὸ σῶμα καὶ τὰ ὅπλα, μόλις ἐώσατο τοὺς πολεμίους, καὶ διέσωσε τὸν ἀδελφόν. Ἐπεὶ δ' οἱ Κορίνθιοι, δεδιότες, μὴ πάθοιεν, οἷα καὶ πρότερον, ὑπὸ τῶν συμμάχων, ἀποβαλόντες τὴν πόλιν, ἐψηφίσαντο τρέφειν ξένους, τετρακοσίους, καὶ τούτων ἄρχοντα Τιμοφάνην κατέστησαν. Ὁ δὲ τῶν καλῶν καὶ δικαίων ὑπεριδὼν, εὐθέως ἐπέραινεν, ἐξ ὧν ποιήσεται τὴν πόλιν ὑφ' αὑτῷ, καὶ συχνοὺς ἀνελὼν ἀκρίτους τῶν πρώτων πολιτῶν, ἀνέδειξεν αὐτὸς ἑαυτὸν τύραννον. Βαρέως δὲ φέρων ὁ Τιμολέων, καὶ συμφορὰν ποιούμενος ἑαυτοῦ τὴν ἐκείνου κακίαν,

ἐπεχείρησε μὲν αὐτῷ διαλέγεσθαι, καὶ παρακαλεῖν, ἀφέντα τὴν μανίαν καὶ δυσχίαν τῆς ἐπιθυμίας ἐκείνης, ζητεῖν τινα τῶν ἡμαρτημένων ἐπανόρθωσιν πρὸς τοὺς πολίτας. Ἀπωσαμένου δ' ἐκείνου καὶ καταφρονήσαντος, οὕτω παραλαβὼν τῶν μὲν οἰκείων Αἰσχύλον, ἀδελφὸν ὄντα τῆς Τιμοφάνους γυναικὸς, τῶν δὲ φίλων τὸν μάντιν, ὃν Σάτυρον μὲν Θεόπομπος, Ἔφορος δὲ καὶ Τίμαιος Ὀρθαγόραν ὀνομάζουσιν, καὶ διαλιπὼν ἡμέρας ὀλίγας, αὖθις ἀνέβη πρὸς τὸν ἀδελφόν· καὶ περιστάντες αὐτὸν οἱ τρεῖς καθικέτευον, ἀλλὰ νῦν γε χρησάμενον λογισμῷ μεταβαλέσθαι. Τοῦ δὲ Τιμοφάνους πρῶτον μὲν αὐτῶν καταγελῶντος, ἔπειτα δὲ πρὸς ὀργὴν ἐκφερομένου καὶ χαλεπαίνοντος, ὁ μὲν Τιμολέων ἀποχωρήσας μικρὸν αὐτοῦ, καὶ συγκαλυψάμενος, εἰστήκει δακρύων· ἐκεῖνοι δὲ τὰ ξίφη σπασάμενοι, ταχὺ διαφθείρουσιν αὐτόν.

Ε. Τῆς δὲ πράξεως διαβοηθείσης, οἱ μὲν κράτιστοι τῶν Κορινθίων ἐπῄνουν τὴν μισοπονηρίαν καὶ μεγαλοψυχίαν τοῦ Τιμολέοντος, ὅτι χρηστὸς ὢν καὶ φιλοίκειος, ὅμως τὴν πατρίδα τῆς οἰκίας, καὶ τὸ καλὸν καὶ τὸ δίκαιον προετίμησε τοῦ συμφέροντος, ἀριστεύοντα μὲν ὑπὲρ τῆς πατρίδος διασώσας τὸν ἀδελφὸν, ἐπιβουλεύσαντα δ' αὐτῇ καὶ καταδουλωσάμενον ἀποκτείνας. Οἱ δὲ μὴ δυνάμενοι ζῆν ἐν τῇ δημοκρατίᾳ, καὶ πρὸς τοὺς δυνάστας ἀποβλέπειν εἰωθότες, τῷ μὲν θανάτῳ τοῦ τυράννου προσεποιοῦντο χαίρειν, τὸν δὲ Τιμολέοντα λοιδοροῦντες, ὡς ἀσεβὲς ἐξειργασμένον καὶ μυτῶδες ἔργον, εἰς ἀθυμίαν περιέστησαν. Ἐπεὶ δὲ καὶ τὴν μητέρα δυσφορεῖν πυθόμενος, καὶ φωνάς τε δεινὰς καὶ κατάρας ἐπ' αὐτὸν ἀρᾶσθαι φρικώδεις, ἐβάδιζε παραμυθησόμενος, ἡ δὲ προσιδεῖν οὐχ ὑπέμεινε τὴν ὄψιν, ἀλλὰ τὴν οἰκίαν ἀπέκλεισε, τότε δὴ παντάπασι περίλυπος γενόμενος, καὶ συνταραχθεὶς τὴν διάνοιαν, ὥρμησε μὲν ὡς διαφθερῶν ἑαυτὸν, ἀπέχεσθαι τροφῆς. Τῶν δὲ φίλων οὐ περιιδόντων, ἀλλὰ πᾶσαν δέησιν καὶ πᾶσαν ἀνάγκην προσενεγκαμένων, ἔγνω ζῆν καθ' ἑαυτὸν ἐκ μέσου γενό-

μενος· καὶ πολιτείαν μὲν ἅπασαν ἀφῆκε, τοὺς δὲ πρώτους χρόνους οὐδὲ κατιὼν εἰς πόλιν, ἀλλ' ἀδήμονῶν καὶ πλανώμενος ἐν τοῖς ἐρημοτάτοις τῶν ἀγρῶν διέτριβεν.

ΣΤ. Οὕτως αἱ κρίσεις, ἂν μὴ βεβαιότητα καὶ ῥώμην ἐκ λόγου καὶ φιλοσοφίας προσλάβωσιν ἐπὶ τὰς πράξεις, σείονται καὶ παραφέρονται ῥᾳδίως ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων, ἐκκρουόμεναι τῶν οἰκείων λογισμῶν. Δεῖ γὰρ οὐ μόνον, ὡς ἔοικε, τὴν πρᾶξιν καλὴν εἶναι καὶ δικαίαν, ἀλλὰ καὶ τὴν δόξαν, ἀφ' ἧς πράττεται, μόνιμον καὶ ἀμετάπτωτον· ἵνα πράττωμεν δοκιμάσαντες, μηδ', ὥσπερ οἱ λίχνοι, τὰ πλήσμια τῶν ἐδεσμάτων ὀξυτάτῃ διώκοντες ἐπιθυμίᾳ, τάχιστα δυσχεραίνουσιν ἐμπλησθέντες, οὕτως ἡμεῖς ἐπὶ ταῖς πράξεσι συντελεσθείσαις ἀθυμῶμεν δι' ἀσθένειαν, ἀπομαραινομένης τῆς τοῦ καλοῦ φαντασίας. Αἰσχρὸν γὰρ ἡ μετάνοια ποιεῖ καὶ τὸ καλῶς πεπραγμένον· ἡ δ' ἐξ ἐπιστήμης ὡρμημένη καὶ λογισμοῦ προαίρεσις, οὐδ' ἀνπταίσωσιν αἱ πράξεις, μεταβάλλεται. Διὸ Φωκίων μὲν ὁ Ἀθηναῖος τοῖς ὑπὸ Λεωσθένους πραττομένοις ἐναντιωθείς, ἐπειδὴ κατορθοῦν ἐκεῖνος ἐδόκει, καὶ θύοντας ἑώρα καὶ μεγαλαυχουμένους τῇ νίκῃ τοὺς Ἀθηναίους, εἶπεν, ὡς ἐβούλετο ἂν αὐτῷ ταῦτα μὲν πεπρᾶχθαι, βεβουλεῦσθαι δ' ἐκεῖνα. Σφοδρότερον δ' Ἀριστείδης ὁ Λοκρὸς, εἷς ὢν τῶν Πλάτωνος ἑταίρων, αἰτοῦντος μὲν αὐτὸν γυναῖκα Διονυσίου τοῦ πρεσβυτέρου μίαν τῶν θυγατέρων, ἥδιον ἂν ἔφη νεκρὰν ἰδεῖν τὴν κόρην, ἢ τυράννῳ συνοικοῦσαν. Ἀπεκτείναντος δὲ τοὺς παῖδας αὐτοῦ μετ' ὀλίγον χρόνον τοῦ Διονυσίου, καὶ πυθομένου πρὸς ὕβριν, εἰ τὴν αὐτὴν ἔτι γνώμην ἔχοι περὶ τῆς ἐκδόσεως τῶν θυγατέρων, ἀπεκρίνατο, τοῖς μὲν γεγενημένοις λυπεῖσθαι, τοῖς δ' εἰρημένοις μὴ μεταμέλεσθαι. Ταῦτα μὲν οὖν ἴσως μείζονος καὶ τελειοτέρας ἀρετῆς ἐστιν.

Ζ. Τὸ δὲ Τιμολέοντος ἐπὶ τοῖς πεπραγμένοις πάθος, εἴτ' οἰκτος ἦν τοῦ τεθνηκότος, εἴτε τῆς μητρὸς αἰδώς, οὕτω κατέκλασε

καὶ συνέτριψεν αὐτοῦ τὴν διάνοιαν, ὥς ἐ εἴκοσι σχεδὸν ἐτῶν διαγενομένων, μηδεμιᾶς ἐπιφανοῦς, μηδὲ πολιτικῆς ἅψασθαι πράξεως. Ἀναγορευθέντος οὖν αὐτοῦ, καὶ τοῦ δήμου προθύμως δεξαμένου καὶ χειροτονήσαντος, ἀναστὰς Τηλεκλείδης, ὁ τότε καὶ δυνάμει καὶ δόξῃ πρωτεύων ἐν τῇ πόλει, παρεκάλει τὸν Τιμολέοντα περὶ τὰς πράξεις ἀγαθὸν ἄνδρα εἶναι καὶ γενναῖον. Ἂν μὲν γὰρ, ἔφη, καλῶς ἀγωνίσῃ, τύραννον ἀνῃρηκέναι δόξομεν· ἂν δὲ φαύλως, ἀδελφόν. Παρασκευαζομένου δὲ τοῦ Τιμολέοντος τὸν ἔκπλουν, καὶ στρατιώτας συνάγοντος, ἐκομίσθη γράμματα πρὸς τοὺς Κορινθίους παρὰ Ἱκέτου, μηνύοντα τὴν μεταβολὴν αὐτοῦ καὶ προδοσίαν. Ὡς γὰρ τάχιστα τοὺς πρέσβεις ἐξέπεμψε, τοῖς Καρχηδονίοις προσθέμενος ἀναφανδὸν, ἔπραττε μετ' ἐκείνων, ὅπως Διονύσιον ἐκβαλὼν Συρακουσῶν, αὐτὸς ἔσαι τύραννος. Καὶ δεδοικώς, μὴ, πρότερον ἐλθούσης ἐκ Κορίνθου δυνάμεως καὶ στρατηγοῦ, διαφύγωσιν αἱ πράξεις αὐτὸν, ἔπεμψεν ἐπιστολὴν τοῖς Κορινθίοις φράζουσαν, ὡς οὐδὲν δέοι πράγματα καὶ δαπάνας ἔχειν αὐτοὺς, πλέοντας εἰς Σικελίαν καὶ κινδυνεύοντας, ἄλλως τε καὶ Καρχηδονίων ἀπαγορευόντων, καὶ παραφυλαττομένων ναυσὶ πολλαῖς τὸν στόλον, οὓς αὐτὸς ἀναγκασθεὶς, ἐκείνων βραδυνόντων, ποιήσαιτο συμμάχους ἐπὶ τὸν τύραννον. Τούτων δὲ τῶν γραμμάτων ἀναγνωσθέντων, εἰ καί τις ἠπίως εἶχε πρότερον τῶν Κορινθίων πρὸς τὴν στρατείαν, τότε πάντας ἡ πρὸς τὸν Ἱκέτην ὀργὴ παρώξυνεν, ὥσε συγχορηγῆσαι προθύμως τῷ Τιμολέοντι, καὶ συμπαρασκευάσαι τὸν ἔκπλουν.

Η. Γενομένων δὲ τῶν νεῶν ἑτοίμων, καὶ τοῖς στρατιώταις, ὧν ἔδει, πορισθέντων, αἱ μὲν ἱέρειαι τῆς Κόρης ὄναρ ἔδοξαν ἰδεῖν τὰς θεὰς πρὸς ἀποδημίαν τινὰ στελλομένας, καὶ λεγούσας, ὡς Τιμολέοντι μέλλουσι συμπλεῖν εἰς Σικελίαν. Διὸ καὶ τριήρη κατασκευάσαντες ἱερὰν οἱ Κορίνθιοι, ταῖν θεαῖν ἐπωνόμασαν. Αὐτὸς δ' ἐκεῖνος εἰς Δελφοὺς πορευθεὶς, ἔθυσε τῷ θεῷ, καὶ καταβαί-

νοντος εἰς τὸ μαντεῖον αὐτοῦ, γίνεται σημεῖον. Ἐκ γὰρ τῶν κρεμαμένων ἀναθημάτων ταινία τις ἀπορρυεῖσα, καὶ φερομένη, σεφάνους ἔχουσα καὶ νίκας ἐμπεποικιλμένας, περιέπεσε τῇ κεφαλῇ τοῦ Τιμολέοντος, ὡς δοκεῖν αὐτὸν ὑπὸ τοῦ θεοῦ σεφανούμενον ἐπὶ τὰς πράξεις προπέμπεσθαι. Ναῦς δὲ Κορινθίας μὲν ἔχων ἑπτὰ, Κερκυραίας δὲ δύο, καὶ τὴν δεκάτην Λευκαδίων προσπαρασχότνων, ἀνήχθη· Καὶ νυκτὸς ἐμβαλὼν εἰς τὸ πέλαγος, καὶ πνεύματι καλῷ χρώμενος, ἔδοξεν αἰφνιδίως ῥαγέντα τὸν οὐρανὸν ὑπὲρ τῆς νεὼς ἐκχέαι πολὺ καὶ περιφανὲς πῦρ. Ἐκ δὲ τούτου λαμπὰς ἀρθεῖσα ταῖς μυστικαῖς ἐμφερὴς, καὶ συμπαραθέουσα τὸν αὐτὸν δρόμον, ἧ μάλιστα τῆς Ἰταλίας ἐπεῖχον οἱ κυβερνῆται, κατέσκηψεν. Οἱ δὲ μάντεις τὸ φάσμα τοῖς ὀνείρασι τῶν ἱερειῶν μαρτυρεῖν ἀπεφαίνοντο, καὶ τὰς θεὰς συνεφαπτομένας τῆς στρατείας προφαίνειν ἐξ οὐρανοῦ τὸ σέλας. Εἶναι γὰρ ἱερὰν τῆς Κόρης τὴν Σικελίαν· ἐπεὶ καὶ τὰ περὶ τὴν ἁρπαγὴν αὐτόθι μυθολογοῦσι γενέσθαι, καὶ τὴν νῆσον ἐν τοῖς γάμοις ἀνακαλυπτήριον αὐτῇ δοθῆναι.

Θ. Τὰ μὲν οὖν παρὰ τῶν θεῶν οὕτω τὸν στόλον ἐθάρρυνε, καὶ σπεύδοντες *ὡς* τὸ πέλαγος διαπλέοντες, ἐκομίζοντο παρὰ τὴν Ἰταλίαν. Τὰ δ' ἀπὸ τῆς Σικελίας ἀγγελλόμενα πολλὴν ἀπορίαν τῷ Τιμολέοντι, καὶ δυσθυμίαν τοῖς στρατιώταις παρεῖχεν. Ὁ γὰρ Ἱκέτης, μάχῃ νενικηκὼς Διονύσιον, καὶ τὰ πλεῖστα μέρη τῶν Συρακουσῶν κατειληφὼς, ἐκεῖνον μὲν εἰς τὴν ἀκρόπολιν καὶ τὴν καλουμένην Νῆσον συνεσαλμένον αὐτὸς συνεπολιόρκει καὶ συμπεριετείχιζε· Καρχηδονίους δὲ φροντίζειν ἐκέλευεν, ὅπως οὐκ ἐπιβήσοιτο Τιμολέων Σικελίας, ἀλλ' ἀπωσθέντων ἐκείνων, αὐτοὶ καθ' ἡσυχίαν διανεμοῦνται πρὸς ἀλλήλους τὴν νῆσον. Οἱ δὲ πέμπουσιν εἴκοσι τριήρεις εἰς Ῥήγιον, ἐφ' ὧν ἔπλεον πρεσβευταὶ παρ' αὐτοῦ πρὸς Τιμολέοντα, κομίζοντες λόγους τοῖς πραττομένοις ὁμοίους. Παραλογαὶ γὰρ εὐπρεπεῖς καὶ προφάσεις ἦσαν

ἐπὶ μοχθηροῖς βουλεύμασιν, ἀξιούντων, αὐτὸν μὲν, εἰ βούλοιτο, Τιμολέοντα σύμβουλον ἥκειν παρ' Ἱκέτην, καὶ κοινωνὸν εὖ διαπεπραγμένων ἁπάντων· τὰς δὲ ναῦς καὶ τοὺς στρατιώτας ἀποστέλλειν εἰς Κόρινθον, ὡς τοῦ πολέμου μικρὸν ἀπολείποντος συνηρῆσθαι, Καρχηδονίων δὲ κωλύειν τὴν διάβασιν, καὶ μάχεσθαι πρὸς βιαζομένους ἑτοίμων ὄντων. Ὡς οὖν καταπλεύσαντες εἰς τὸ Ῥήγιον οἱ Κορίνθιοι, τοῖς τε πρεσβεύμασι τούτοις ἐνέτυχον, καὶ τοὺς Φοίνικας οὐ πρόσω ναυλοχοῦντας κατεῖδον, ἤχθοντο μὲν ὑβρισμένοι, καὶ παρίστατο πᾶσιν ὀργὴ πρὸς τὸν Ἱκέτην καὶ δέος ὑπὲρ Σικελιωτῶν, οὓς σαφῶς ἑώρων ἆθλα λειπομένους καὶ μισθὸν Ἱκέτῃ μὲν προδοσίας, Καρχηδονίοις δὲ τυραννίδος. Ἐδόκει δ' ἀμήχανον ὑπερβαλέσθαι καὶ τὰς αὐτόθι τῶν βαρβάρων ναῦς διπλασίας ἐφορμούσας, καὶ τὴν ἐκεῖ μετ' Ἱκέτου δύναμιν, ἢ στρατηγήσοντες ἥκοιεν.

I. Οὐ μὴν ἀλλ' ὁ Τιμολέων τοῖς πρεσβευταῖς καὶ τοῖς ἄρχουσι τῶν Καρχηδονίων ἐντυχὼν ἐπιεικῶς, ἔφη πείθεσθαι μὲν οἷς κελεύουσι (τί γὰρ ἂν καὶ περαίνειν ἀπειθῶν;) ἐθέλειν δὲ ταῦτα πόλεως Ἑλληνίδος καὶ φίλης κοινῆς τῆς Ῥηγίνων ἐναντίον ἀκούσας καὶ εἰπὼν ἀπαλλάττεσθαι. Καὶ γὰρ αὐτῷ τοῦτο πρὸς ἀσφάλειαν διαφέρειν, κἀκείνους ἐμμενεῖν βεβαιότερον οἷς ἐπαγγέλλονται περὶ Συρακουσίων, δήμῳ μάρτυρι τὰς ὁμολογίας παρακαταθεμένους. Ταῦτα δ' ὑπέτεινεν αὐτοῖς ἀπάτην ἐπὶ τῇ διαβάσει τεχνάζων· καὶ συνετέχναζον οἱ τῶν Ῥηγίνων στρατηγοὶ πάντες, ἐπιθυμοῦντες ἐν Κορινθίοις τὰ πράγματα τῶν Σικελιωτῶν γενέσθαι, καὶ φοβούμενοι τὴν τῶν βαρβάρων γειτνίασιν. Διὸ συνῆγον ἐκκλησίαν, καὶ τὰς πύλας ἀπέκλειον, ὡς μὴ πρός ἄλλο τι τρέπεσθαι τοὺς πολίτας· καὶ παρελθόντες εἰς τὸ πλῆθος, ἐχρῶντο μήκει λόγων, ἕτερος ἑτέρῳ παραδιδοὺς τὴν αὐτὴν ὑπόθεσιν, πρὸς οὐδὲν τέλος, ἀλλὰ διάγοντες ἄλλως τὸν χρόνον, ἕως ἀναχθῶσιν αἱ τῶν Κορινθίων τριήρεις, καὶ Καρχηδονίους

ἐπὶ τῆς ἐκκλησίας κατέχοντες ἀνυπόπτως, ἅτε καὶ τοῦ Τιμολέοντος παρόντος, καὶ παρέχοντος δόκησιν ὅσον οὔπω πρὸς τὸν λόγον ἀνίσασθαι καὶ δημηγορεῖν. Ὡς δ' ἀπήγγειλέ τις αὐτῷ κρύφα, τὰς μὲν ἄλλας τριήρεις ἀνῆχθαι, μίαν δὲ τὴν ἐκείνου περιμένειν ὑπολελειμμένην, διεκδὺς τὸν ὄχλον, ἅμα τῶν περὶ τὸ βῆμα Ῥηγίνων συνεπικρυπτόντων, καὶ καταβὰς ἐπὶ τὴν θάλασσαν, ἐξέπλευσε διὰ ταχέων· καὶ κατήχθησαν εἰς Ταυρομένιον τῆς Σικελίας, ὑποδεχομένου καὶ καλοῦντος αὐτοὺς ἔτι πάλαι προθύμως Ἀνδρομάχου, τοῦ τὴν πόλιν ἔχοντος καὶ δυναστεύοντος. Οὗτος ἦν πατὴρ Τιμαίου τοῦ ἱστορικοῦ· καὶ πολὺ κράτιστος τῶν τότε δυναστευόντων ἐν Σικελίᾳ γενόμενος, τῶν τε ἑαυτοῦ πολιτῶν ἡγεῖτο νομίμως καὶ δικαίως, καὶ πρὸς τοὺς τυράννους φανερὸς ἦν ἀεὶ διακείμενος ἀπεχθῶς καὶ ἀλλοτρίως. Διὸ καὶ Τιμολέοντι τότε τὴν πόλιν ὁρμητήριον παρέσχε, καὶ τοὺς πολίτας ἔπεισε συναγωνίζεσθαι τοῖς Κορινθίοις, καὶ συνελευθεροῦν τὴν Σικελίαν.

ΙΑ. Οἱ δ' ἐν τῷ Ῥηγίῳ Καρχηδόνιοι, τοῦ Τιμολέοντος ἀνηγμένου, καὶ τῆς ἐκκλησίας διαλυθείσης, χαλεπῶς φέροντες τὸ κατεσρατηγῆσθαι, διατριβὴν τοῖς Ῥηγίνοις παρεῖχον, εἰ Φοίνικες ὄντες οὐκ ἀρέσκοιντο τοῖς δι' ἀπάτης πραττομένοις. Πέμπουσι δ' οὖν εἰς τὸ Ταυρομένιον πρεσβευτὴν ἐπὶ τριήρους, ὃς πολλὰ διαλεχθεὶς πρὸς τὸν Ἀνδρόμαχον ἐπαχθῶς καὶ βαρβαρικῶς ἀνατεινάμενος, εἰ μὴ τὴν ταχίστην ἐκβάλοι τοὺς Κορινθίους, τέλος ὑπτίαν τὴν χεῖραν δείξας, εἶτ' αὖθις κατασρέψας, ἠπείλησε τοιαύτην οὖσαν αὐτῷ τὴν πόλιν, τοιαύτην ποιήσειν. Γελάσας δ' ὁ Ἀνδρόμαχος, ἄλλο μὲν οὐδὲν ἀπεκρίνατο· τὴν δὲ χεῖρα, νῦν μὲν ὑπτίαν, ὡς ἐκεῖνος, νῦν δὲ πρηνῆ προτείνας, ἐκέλευσεν ἀποπλεῖν αὐτὸν, εἰ μὴ βούλοιτο τὴν ναῦν ἀντὶ τοιαύτης γενέσθαι τοιαύτην. Ὁ δ' Ἱκέτης πυθόμενος τὴν τοῦ Τιμολέοντος διάβασιν, καὶ φοβηθεὶς, μετεπέμψατο πολλὰς τῶν Καρχηδονίων τριήρεις. Ὅτε καὶ παντάπασι συνέβη τοὺς Συρακου-

σίους ἀπογνῶναι τὴν σωτηρίαν, ὁρῶντας, τοῦ μὲν λιμένος αὐτῶν Καρχηδονίους κρατοῦντας, τὴν δὲ πόλιν Ἰκέτην ἔχοντα, τῆς δ' ἄκρας κυριεύοντα Διονύσιον, Τιμολέοντα δὲ, ὥσπερ ἐκ κρασπέδου τινὸς λεπτοῦ, τῆς Ταυρομενιτῶν πολίχνης, τῇ Σικελίᾳ προσηρτημένον, ἀπ' ἐλπίδος ἀσθενοῦς, καὶ βραχείας δυνάμεως. Χιλίων γὰρ αὐτῷ στρατιωτῶν, καὶ τροφῆς τούτοις ἀναγκαίας, πλέον οὐδὲν ὑπῆρχεν. Οὐδ' ἐπίστευον αἱ πόλεις, διάπλεαι κακῶν οὖσαι, καὶ πρὸς ἅπαντας ἀπηγριωμέναι τοὺς ἡγουμένους στρατοπέδων, μάλιστα διὰ τὴν Καλλίππου καὶ Φάρακος ἀπιστίαν· ὧν ὁ μὲν Ἀθηναῖος ὢν, ὁ δὲ Λακεδαιμόνιος, ἀμφότεροι δὲ φάσκοντες ὑπὲρ τῆς ἐλευθερίας ἥκειν καὶ καταλύειν τοὺς μονάρχους, χρυσὸν ἔδειξαν τῇ Σικελίᾳ τὰς ἐν τῇ τυραννίδι συμφορὰς, καὶ μακαριωτέρους δοκεῖν ἐποίησαν τοὺς καταστρέψαντας ἐν τῇ δουλείᾳ τῶν ἐπιδόντων τὴν αὐτονομίαν.

IB. Οὐδὲν οὖν ἐκείνων βελτίονα τὸν Κορίνθιον ἔσεσθαι προσδοκῶντες, ἀλλὰ ταὐτὰ πάλιν ἥκειν ἐπ' αὐτοὺς σοφίσματα καὶ δελεάσματα μετ' ἐλπίδων χρηστῶν, καὶ φιλανθρώπων ὑποσχέσεων, εἰς μεταβολὴν δεσπότου καινοῦ τιθασσευομένους, ὑπώπτευον, καὶ διεκρούοντο τὰς τῶν Κορινθίων προκλήσεις, πλὴν Ἀδρανιτῶν· οἳ πόλιν μικρὰν μὲν, ἱερὰν δ' οὖσαν Ἀδρανοῦ, θεοῦ τινος τιμωμένου διαφερόντως ἐν ὅλῃ Σικελίᾳ, κατοικοῦντες, ἐστασίασαν πρὸς ἀλλήλους, οἱ μὲν Ἰκέτην προσαγόμενοι καὶ Καρχηδονίους, οἱ δὲ πρὸς Τιμολέοντα διαπεμπόμενοι. Καί πως ἀπ' αὐτομάτου συνέτυχε, σπευδόντων ἀμφοτέρων, εἰς ἕνα καιρὸν ἀμφοτέροις γενέσθαι τὴν παρουσίαν. Ἀλλ' Ἰκέτης μὲν ἦκε πεντακισχιλίους στρατιώτας ἔχων, Τιμολέοντι δὲ οἱ σύμπαντες ἦσαν οὐ πλείους χιλίων διακοσίων· οὓς ἀναλαβὼν ἐκ τοῦ Ταυρομενίου, σταδίων πρὸς τὸ Ἀδρανὸν ὄντων τετταράκοντα καὶ τριακοσίων, τῇ μὲν πρώτῃ τῶν ἡμερῶν οὐ πολὺ μέρος τῆς ὁδοῦ προέλαβε, καὶ κατηυλίσατο· τῇ δ' ὑστεραίᾳ συντόνως ὁδεύσας, καὶ χαλεπὰ

χωρία διελθών, ἤδη τῆς ἡμέρας καταφερομένης, ἥκουσεν ἄρτι προσμιγνύναι τὸν Ἰκέτην τῷ πολιχνίῳ, καὶ καταστρατοπεδεύειν. Οἱ μὲν οὖν λοχαγοὶ καὶ ταξίαρχοι τοὺς πρώτους ἐπέστησαν, ὡς ἐμφαγοῦσι καὶ διαναπαυσαμένοις χρησόμενοι προθυμοτέροις· ὁ δὲ Τιμολέων ἐπιπορευόμενος ἐδεῖτο ταῦτα μὴ ποιεῖν, ἀλλ' ἄγειν κατὰ τάχος, καὶ συνάπτειν τοῖς πολεμίοις ἀσυντάκτοις οὖσιν, ὡς εἰκὸς ἄρτι παυομένους ὁδοιπορίας, καὶ περὶ σκηνὰς καὶ δεῖπνον ἀσχόλους ὄντας· Καὶ λέγων ἅμα ταῦτα, τὴν ἀσπίδα λαβὼν ἡγεῖτο πρῶτος, ὥσπερ ἐπὶ νίκην πρόδηλον. Οἱ δ' εἵποντο τεθαρρηκότες, ἔλαττον ἢ τριάκοντα σαδίους ἔτι τῶν πολεμίων ἀπέχοντες. Ὡς δὲ καὶ τούτους διῆλθον, ἐπιπίπτουσιν αὐτοῖς ταραττομένοις καὶ φεύγουσιν, ὡς πρῶτον ᾔσθοντο προσιόντας. Ὅθεν δὴ ἀνῃρέθησαν μὲν οὐ πολλῷ πλείους τριακοσίων, ἑάλωσαν δὲ δὶς τοσοῦτοι ζῶντες· ἐλήφθη δὲ τὸ στρατόπεδον. Οἱ δ' Ἀδρανῖται τὰς πύλας ἀνοίξαντες προσέθεντο τῷ Τιμολέοντι, μετὰ φρίκης καὶ θαύματος ἀπαγγέλλοντες, ὡς, ἐνισαμένης τῆς μάχης, οἱ μὲν ἱεροὶ τοῦ νεὼ πυλῶνες αὐτόματοι διανοιχθεῖεν, ὀρθεὶς δὲ τοῦ θεοῦ τὸ μὲν δόρυ σειόμενον ἐκ τῆς αἰχμῆς ἄκρας, τὸ δὲ πρόσωπον ἱδρῶτι πολλῷ ῥεόμενον.

ΙΓ. Ταῦτα δ', ὡς ἔοικεν, οὐ τὴν τότε νίκην ἐσήμαινε μόνον, ἀλλὰ καὶ τὰς μετὰ ταῦτα πράξεις, αἷς ἐκεῖνος ὁ ἀγὼν ἀρχὴν εὐτυχῆ παρέσχε. Καὶ γὰρ πόλεις εὐθὺς ἐπιπρεσβευόμεναι προσετίθεντο τῷ Τιμολέοντι, καὶ Μάμερκος, ὁ Κατάνης τύραννος, πολεμιστὴς ἀνὴρ καὶ χρήμασιν ἐρρωμένος, ἔδωκεν αὐτὸν εἰς συμμαχίαν. Τὸ δὲ μέγιστον, αὐτὸς Διονύσιος ἀπειρηκὼς ἤδη ταῖς ἐλπίσι, καὶ μικρὸν ἀπολιπὼν ἐκπολιορκεῖσθαι, τοῦ μὲν Ἰκέτου κατεφρόνησεν αἰσχρῶς ἡττημένου, τὸν δὲ Τιμολέοντα θαυμάζων, ἔπεμψεν ἐκείνῳ καὶ Κορινθίοις παραδιδοὺς αὐτὸν καὶ τὴν ἀκρόπολιν. Δεξάμενος δ' ὁ Τιμολέων τὴν ἀνέλπιστον εὐτυχίαν, ἀποστέλλει τοὺς περὶ Εὐκλείδην καὶ Τηλέμαχον ἄνδρας Κορινθίους

εἰς τὴν ἀκρόπολιν, καὶ στρατιώτας τετρακοσίους, οὐχ ὁμοῦ πάντας, οὐδὲ φανερῶς· ἀδύνατον γὰρ ἦν, ἐφορμούντων πολεμίων· ἀλλὰ κρύφα καὶ κατ' ὀλίγους παρεισπεσόντας. Οἱ μὲν οὖν στρατιῶται παρέλαβον τὴν ἀκρόπολιν καὶ τὰ τυραννεῖα μετὰ τῆς παρασκευῆς, καὶ τῶν χρησίμων πρὸς τὸν πόλεμον. Ἵπποι τε γὰρ ἐνῆσαν οὐκ ὀλίγοι, καὶ πᾶσα μηχανημάτων ἰδέα, καὶ βελῶν πλῆθος· ὅπλων δ' ἀπέκειντο μυριάδες ἑπτὰ τεθησαυρισμένων ἐκ παλαιοῦ· στρατιῶται δὲ δισχίλιοι τῷ Διονυσίῳ παρῆσαν, οὓς ἐκεῖνος, ὡς τἄλλα, τῷ Τιμολέοντι παρέδωκεν. Αὐτὸς δὲ χρήματα λαβὼν καὶ τῶν φίλων οὐ πολλούς, ἔλαθεν ἐκπλεύσας τὸν Ἰκέτην. Καὶ κομισθεὶς εἰς τὸ τοῦ Τιμολέοντος στρατόπεδον, τότε πρῶτον ἰδιώτης καὶ ταπεινὸς ὀφθείς, ἐπὶ μιᾶς νεὼς καὶ χρημάτων ὀλίγων εἰς Κόρινθον ἀπεσάλη· γεννηθεὶς μὲν καὶ τραφεὶς ἐν τυραννίδι τῇ πασῶν ἐπιφανεστάτῃ καὶ μεγίστῃ, κατασχὼν δὲ ταύτην ἔτη δέκα, δώδεκα δ' ἄλλα μετὰ τὴν Δίωνος στρατείαν ἐν ἀγῶσι καὶ πολέμοις διαφορηθείς· ἃ δ' ἔπραξε τυράννων, οἷς ἔπαθεν ὑπερβαλόμενος. Καὶ γὰρ υἱῶν ἐνηλίκων θανάτους, καὶ θυγατέρων καταπορνεύσεις παρθένων ἐπεῖδε, καὶ τὴν αὐτὴν ἀδελφὴν καὶ γυναῖκα ζῶσαν μὲν, εἰς τὸ σῶμα ταῖς ἀσελγεστάταις ὑπὸ τῶν πολεμίων ἡδοναῖς παρανομηθεῖσαν, βίᾳ δ' ἀποθανοῦσαν μετὰ τῶν τέκνων, καὶ καταποντισθεῖσαν εἰς τὸ πέλαγος. Ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Δίωνος ἀκριβῶς γέγραπται.

ΙΔ. Τοῦ δὲ Διονυσίου καταπλεύσαντος εἰς Κόρινθον, οὐδεὶς ἦν Ἑλλήνων, ὃς οὐχὶ θεάσασθαι καὶ προσειπεῖν ἐπόθησεν αὐτόν. Ἀλλ' οἱ μὲν χαίροντες ἐπὶ ταῖς συμφοραῖς, διὰ μῖσος ἄσμενοι συνῆλθον, οἷον ἐρριμμένον ὑπὸ τῆς τύχης πατήσοντες· οἱ δὲ πρὸς τὴν μεταβολὴν τρεπόμενοι καὶ συμπαθοῦντες, ἐθεῶντο πολλὴν ἐν ἀσθενέσι τοῖς ἀνθρωπίνοις καὶ προδήλοις τὴν τῶν ἀδήλων αἰτιῶν καὶ θείων δύναμιν. Οὐδὲν γὰρ οὔτε φύσεως ὁ τότε καιρὸς, οὔτε τέχνης, ὅσον ἐκεῖνον τύχης ἔργον ἐπεδείξατο, τὸν Σικελίας ὀλίγον

γον ἔμπροσθεν τύραννον, ἐν Κορίνθῳ διατρίβοντα περὶ τὴν ὑψό-πωλιν, ἢ καθήμενον ἐν μυροπωλίῳ, πίνοντα κεκραμένον ἀπὸ τῶν καπηλείων, καὶ διαπληκτιζόμενον ἐν μέσῳ τοῖς ἀφ' ὥρας ἐργαζομένοις γυναίοις, τὰς δὲ μουσουργοὺς ἐν ταῖς ᾠδαῖς διδάσκοντα, καὶ περὶ θεατρικῶν ἀσμάτων ἐρίζειν σπουδάζοντα πρὸς ἐκείνας καὶ περὶ μέλους ἁρμονίας. Ταῦτα δ' οἱ μὲν ἄλλως ἀλύοντα, καὶ φύσει ῥᾴθυμον ὄντα καὶ φιλακόλαστον, ᾤοντο ποιεῖν τὸν Διονύσιον· οἱ δ', ὑπὲρ τοῦ καταφρονεῖσθαι καὶ μὴ φοβερὸν εἶναι τοῖς Κορινθίοις, μηδ' ὕποπτον, ὡς βαρυνόμενον τὴν μεταβολὴν τοῦ βίου, καὶ πραγμάτων ἐφιέμενον, ἐπιτηδεύειν, καὶ ὑποκρίνεσθαι παρὰ φύσιν, πολλὴν ἀβελτερίαν ἐπιδεικνύμενον ἐν τῷ σχολάζειν.

ΙΕ. Οὐ μὴν ἀλλὰ καὶ λόγοι τινὲς αὐτοῦ μνημονεύονται, δι' ὧν ἐδόκει συμφέρεσθαι τοῖς παροῦσιν οὐκ ἀγεννῶς. Τοῦτο μὲν γὰρ, εἰς Λευκάδα καταχθεὶς, πόλιν ἀπῳκισμένην ὑπὸ Κορινθίων, ὥσπερ τὴν Συρακουσίων, ταὐτὸν ἔφη πεπονθέναι τοῖς ἐν ἁμαρτήμασι γενομένοις τῶν νεανίσκων. Ὡς γὰρ ἐκεῖνοι τοῖς μὲν ἀδελφοῖς ἱλαρῶς συνδιατρίβουσι, τοὺς δὲ πατέρας αἰσχυνόμενοι φεύγουσιν· οὕτως αὐτὸς αἰδούμενος τὴν μητρόπολιν, ἡδέως ἂν αὐτόθι μετ' ἐκείνων κατοικεῖν. Τοῦτο δ', ἐν Κορίνθῳ ξένου τινὸς ἀγροικότερον εἰς τὰς μετὰ τῶν φιλοσόφων διατριβὰς, αἷς τυραννῶν ἔχαιρε, χλευάζοντος αὐτὸν, καὶ τέλος ἐρωτῶντος, τί δὴ τῆς Πλάτωνος ἀπολαύσειε σοφίας; Οὐδὲν, ἔφη, σοὶ δοκοῦμεν ὑπὸ Πλάτωνος ὠφελῆσθαι, τύχης μεταβολὴν οὕτω φέροντες; Πρὸς δὲ τὸν μουσικὸν Ἀριστόξενον, καί τινας ἄλλους, πυνθανομένους, ὁπόθεν αὐτῷ, καὶ τίς ἡ πρὸς Πλάτωνα γένοιτο μέμψις, πολλῶν ἔφη κακῶν τὴν τυραννίδα μεστὴν οὖσαν, οὐδὲν ἔχειν τηλικοῦτον, ἡλίκον τὸ μηδένα τῶν λεγομένων φίλων μετὰ παῤῥησίας διαλέγεσθαι· καὶ γὰρ αὐτὸς ὑπ' ἐκείνων ἀποξηρθῆναι τῆς Πλάτωνος εὐνοίας. Ἐπεὶ δὲ τῶν βουλομένων τις εὐφυὴς εἶναι, σκώπτων

τὸν Διονύσιον ἐξέσειε τὸ ἱμάτιον εἰσιὼν πρὸς αὐτὸν, ὡς δὴ πρὸς τύραννον, ἀντισκώπτων ἐκεῖνος, ἐκέλευε τοῦτο ποιεῖν, ὅταν ἐξίῃ παρ' αὐτοῦ, μή τι τῶν ἔνδον ἔχων ἀπέλθῃ. Φιλίππου δὲ τοῦ Μακεδόνος παρὰ πότον τινὰ λόγον μετ' εἰρωνείας ἐμβαλόντος περὶ τῶν μελῶν καὶ τῶν τραγῳδιῶν, ἃς ὁ πρεσβύτερος Διονύσιος κατέλιπε, καὶ προσποιουμένου διαπορεῖν, ἐν τίνι χρόνῳ ταῦτα ποιεῖν ἐκεῖνος ἐσχόλαζεν, οὐ φαύλως ἀπήντησεν ὁ Διονύσιος εἰπών· Ἐν ᾧ σὺ, κἀγὼ, καὶ πάντες οἱ μακάριοι δοκοῦντες εἶναι, περὶ κώθωνα διετρίβομεν. Πλάτων μὲν οὖν οὐκ ἐπεῖδεν ἐν Κορίνθῳ Διονύσιον, ἀλλ' ἔτυχεν ἤδη τεθνηκώς· ὁ δὲ Σινωπεὺς Διογένης ἀπαντήσας αὐτῷ πρῶτον· Ὡς ἀναξίως, ἔφη, Διονύσιε, ζῇς. Ἐπισχόντος δ' ἐκείνου, καὶ εἰπόντος· Εὖ ποιεῖς, ὦ Διόγενες, συναχθόμενος ἡμῖν ἠτυχηκόσι· Τί γὰρ; εἶπεν ὁ Διογένης, οἴει μέ σοι συναλγεῖν, οὐ διαγανακτεῖν, ὅτι τοιοῦτον ἀνδράποδον ὤν, καὶ τοῖς τυραννείοις, ὥσπερ ὁ πατὴρ, ἐπιτήδειος ἐγγηράσας ἀποθανεῖν, ἐνταῦθα παίζων καὶ τρυφῶν διάγεις μεθ' ἡμῶν; Ὥσε μοι παραβάλλοντι τούτοις τὰς Φιλίσου φωνὰς, ἃς ἀφίησι περὶ τῶν Λεπτίνου θυγατέρων ὀλοφυρόμενος, ὡς ἐκ μεγάλων ἀγαθῶν τῶν τῆς τυραννίδος εἰς ταπεινὴν ἀφιγμένων δίαιταν, φαίνεσθαι θρήνους γυναικὸς ἀλαβάστρους καὶ πορφύρας καὶ χρυσία ποθούσης. Ταῦτα μὲν οὖν οὐκ ἀλλότρια τῆς τῶν βίων ἀναγραφῆς, οὔτε ἄχρηστα δόξειν οἰόμεθα μὴ σπεύδουσι, μήτ' ἀσχολουμένοις ἀκροαταῖς.

ΙΣΤ. Τῆς δὲ Διονυσίου δυσχίας παραλόγου φανείσης, οὐχ ἧττον ἡ Τιμολέοντος εὐτυχία τὸ θαυμαστὸν ἔσχεν. Ἐπιβὰς γὰρ Σικελίας ἐν ἡμέραις πεντήκοντα, τήν τ' ἀκρόπολιν τῶν Συρακουσῶν παρέλαβε, καὶ Διονύσιον εἰς Πελοπόννησον ἐξέπεμψεν. Ὅθεν ἐπιῤῥωσθέντες οἱ Κορίνθιοι πέμπουσιν αὐτῷ δισχιλίους ὁπλίτας, καὶ διακοσίους ἱππεῖς, οἳ κομισθέντες ἄχρι Θουρίων, τὴν ἐκεῖθεν περαίωσιν, ὑπὸ Καρχηδονίων πολλαῖς ναυσὶ κατεχομένης τῆς

θαλάσσης, ἄπορον ὁρῶντες, ὡς ἦν ἀνάγκη καιρὸν περιμένοντας ἀτρεμεῖν αὐτόθι, πρὸς κάλλιστον ἔργον ἀπεχρήσαντο τῇ σχολῇ. Θουρίων γὰρ *τῶν* ἐπὶ Βρεττίους στρατευόντων, τὴν πόλιν παραλαβόντες, ὥσπερ πατρίδα καθαρῶς καὶ πιστῶς διεφύλαξαν. Ὁ δ' Ἱκέτης τὴν μὲν ἀκρόπολιν τῶν Συρακουσῶν ἐπολιόρκει, καὶ σῖτον ἐκώλυεν εἰσπλεῖν τοῖς Κορινθίοις· Τιμολέοντι δὲ δύο ξένους παρασκευάσας δολοφονήσοντας αὐτὸν, ὑπέπεμψεν εἰς Ἀδρανὸν, οὔτ' ἄλλως περὶ τὸ σῶμα συντεταγμένην ἔχοντι φυλακὴν, καὶ τότε παντάπασι διὰ τὸν θεὸν ἀνειμένως καὶ ἀνυπόπτως σχολάζοντι μετὰ τῶν Ἀδρανιτῶν· οἱ δὲ πεμφθέντες κατὰ τύχην πυθόμενοι μέλλοντα θύειν αὐτὸν, ἦκον εἰς τὸ ἱερὸν ὑπὸ τοῖς ἱματίοις ἐγχειρίδια κομίζοντες, καὶ τοῖς περιεστῶσι τὸν βωμὸν ἀναμιχθέντες ἐγγυτέρω κατὰ μικρὸν ἐπεχείρουν. Καὶ ὅσον οὔπω παρακελευομένων ἀλλήλοις ἐνάρχεσθαι, παίει τις αὐτῶν τὸν ἕτερον κατὰ τῆς κεφαλῆς ξίφει, καὶ πεσόντος, οὔθ' ὁ παίσας ἔμεινεν, οὔθ' ὁ μετὰ τοῦ πληγέντος ἦκων, ἀλλ' ἐκεῖνος μὲν, ὥσπερ εἶχε τὸ ξίφος, φεύγων πρός τινα πέτραν ὑψηλὴν ἀνεπήδησεν· ἄτερος δὲ τοῦ βωμοῦ λαβόμενος, ἄδειαν ᾐτεῖτο παρὰ τοῦ Τιμολέοντος ἐπὶ τῷ πάντα μηνύσαι. Καὶ λαβὼν, ἐμήνυσε καθ' αὐτοῦ καὶ κατὰ τοῦ τεθνηκότος, ὡς πεμφθεῖεν ἐκεῖνον ἀποκτενοῦντες. Ἐν τούτῳ δὲ καὶ τὸν ἀπὸ τῆς πέτρας κατῆγον ἕτεροι, βοῶντα μηδὲν ἀδικεῖν, ἀλλ, ἀνηρηκέναι δικαίως τὸν ἄνθρωπον ὑπὲρ πατρὸς τεθνηκότος, ὃν ἐκεῖνος ἀπεκτονήκει πρότερον ἐν Λεοντίνοις. Καὶ μαρτυροῦντας εἶχεν ἐνίους τῶν παρόντων, θαυμάζοντας ἅμα τῆς τύχης τὴν εὐμηχανίαν, ὡς δι' ἑτέρων ἕτερα κινοῦσα, καὶ συνάγουσα πάντα πόρρωθεν καὶ συγκαταπλέκουσα τοῖς πλεῖστον διαφέρειν δοκοῦσι καὶ μηδὲν ἔχειν πρὸς ἄλληλα κοινὸν, ἀεὶ τοῖς ἀλλήλων χρῆται καὶ τέλεσι καὶ ἀρχαῖς. Τὸν μὲν οὖν ἄνθρωπον ἐσεφάνωσαν οἱ Κορίνθιοι δέκα μναῖς, ὅτι τῷ φυλάττοντι δαίμονι τὸν Τιμολέοντα πάθος ἔχρησε δίκαιον, καὶ τὸν ἐκ πολλοῦ παρόντα θυμὸν αὐτῷ,

πρότερον οὐκ ἀνάλωσε, ἀλλὰ μετ' αἰτίας ἰδίας πρὸς τὴν ἐκείνου σωτηρίαν ἀπὸ τύχης διετήρησεν. Ἡ δ' εἰς τὸν παρόντα καιρὸν εὐτυχία, καὶ πρὸς τὰ μέλλοντα ταῖς ἐλπίσιν ἐπῆρεν, ὁρῶντας ὡς ἱερὸν ἄνδρα, καὶ σὺν θεῷ τιμωρὸν ἥκοντα τῇ Σικελίᾳ, τὸν Τιμολέοντα σέβεσθαι καὶ φυλάττειν.

ΙΖ. Ὡς δὲ ταύτης διήμαρτε τῆς πείρας ὁ Ἱκέτης, καὶ πρὸς Τιμολέοντα πολλοὺς ἑώρα συνισαμένους, μεμψάμενος αὐτὸς ἑαυτὸν, ὅτι, τηλικαύτης παρούσης τῆς Καρχηδονίων δυνάμεως, ὥσπερ αἰσχυνόμενος αὐτῇ κατὰ μικρὰ χρῆται, καὶ λάθρα, κλέπτων καὶ παρεισάγων τὴν συμμαχίαν, μετεπέμπετο Μάγωνα τὸν στρατηγὸν αὐτῶν μετὰ τοῦ στόλου παντός. Ὁ δ' εἰσέπλει φοβερὸς, ναυσὶ πεντήκοντα καὶ ἑκατὸν καταλαμβάνων τοὺς λιμένας, πεζῶν δὲ μυριάδας ἓξ ἀποβιβάζων καὶ κατασρατοπεδεύων ἐν τῇ πόλει τῶν Συρακουσίων· ὥσε πάντας οἴεσθαι τὴν πάλαι λεγομένην καὶ προσδοκωμένην ἐκβαρβάρωσιν ἥκειν ἐπὶ τὴν Σικελίαν. Οὐδέποτε γὰρ Καρχηδονίοις ὑπῆρξε πρότερον, μυρίους πολεμήσασι πολέμους ἐν Σικελίᾳ, λαβεῖν τὰς Συρακούσας. Ἀλλὰ τότε δεξαμένου τοῦ Ἱκέτου καὶ παραδόντος, ἦν ὁρᾶν τὴν πόλιν στρατόπεδον βαρβάρων οὖσαν. Οἱ δὲ τὴν ἀκρόπολιν τῶν Κορινθίων κατέχοντες, ἐπισφαλῶς καὶ χαλεπῶς ἀπήλλαττον, τροφῆς μὲν ἱκανῆς οὐκ ἔτι παρούσης, ἀλλ' ἐνδεόμενοι, διὰ τὸ φρουρεῖσθαι τοὺς λιμένας, ἀεὶ δ' ἐν ἀγῶσι καὶ μάχαις περὶ τὰ τείχη, καὶ πρὸς πᾶν μηχάνημα, καὶ πρὸς πᾶσαν ἰδέαν πολιορκίας μερίζοντες αὑτούς.

ΙΗ. Οὐ μὴν ἀλλ' ὁ Τιμολέων παρεβοήθει, σῖτον ἐκ Κατάνης μικραῖς ἁλιάσι καὶ λεπτοῖς ἀκατίοις ἀποστέλλων, ἃ μάλιστα χειμῶνι παρεισέπιπτε διὰ τῶν βαρβαρικῶν τριήρων, ὑποπορευόμενα, πρὸς τὸν κλύδωνα καὶ τὸν σάλον ἐκείνων διισαμένων. Ἃ δὴ συνορῶντες οἱ περὶ τὸν Μάγωνα καὶ τὸν Ἱκέτην, ἐβούλοντο τὴν Κατάνην ἑλεῖν, ἐξ ἧς ἔπλει τὰ ἐπιτήδεια τοῖς πολιορκουμένοις· καὶ λαβόντες τῆς δυνάμεως τὴν μαχιμωτάτην, ἐξέπλευσαν

ἐκ τῶν Συρακουσῶν. Ὁ δὲ Κορίνθιος Νέων (οὗτος γὰρ ἦν ἀρχων τῶν πολιορκουμένων) κατιδὼν ἀπὸ τῆς ἄκρας τοὺς ὑπολελειμμένους τῶν πολεμίων ἀργῶς καὶ ἀμελῶς φυλάττοντας, ἐξαίφνης ἐπέπεσε διεσπαρμένοις αὐτοῖς· καὶ τοὺς μὲν ἀνελὼν, τοὺς δὲ τρεψαμενος, ἐκράτησε καὶ κατέσχε τὴν λεγομένην Ἀχραδινήν· ὃ κράτιστον ἐδόκει καὶ ἀθραυστότατον ὑπάρχειν τῆς Συρακουσίων μέρος πόλεως, τρόπον τινὰ συγκειμένης ἐκ πλειόνων πόλεων. Εὐπορήσας δὲ καὶ σίτου καὶ χρημάτων, οὐκ ἀφῆκε τὸν τόπον, οὐδ' ἀνεχώρησε πάλιν ἐπὶ τὴν ἄκραν, ἀλλὰ φραξάμενος τὸν περίβολον τῆς Ἀχραδινῆς, καὶ συνάψας τοῖς ἐρύμασι πρὸς τὴν ἀκρόπολιν, διεφύλαττε. Τοὺς δὲ περὶ τὸν Μάγωνα καὶ τὸν Ἱκέτην, ἐγγὺς ἤδη τῆς Κατάνης ὄντας, ἱππεὺς ἐκ Συρακουσῶν καταλαβὼν, ἀπήγγειλε τὴν ἅλωσιν τῆς Ἀχραδινῆς. Καὶ συνταραχθέντες ἀνεχώρησαν διὰ ταχέων, οὔτε λαβόντες, ἐφ' ἣν ἐξῆλθον, οὔτε φυλάξαντες, ἣν εἶχον.

ΙΘ. Ταῦτα μὲν οὖν ἔτι τῇ προνοίᾳ καὶ ἀρετῇ δίδωσί τινα πρὸς τὴν τύχην ἀμφισβήτησιν· τὸ δ' ἐπὶ τούτοις γενόμενον παντάπασιν ἔοικε συμβῆναι κατ' εὐτυχίαν. Οἱ γὰρ ἐν τοῖς Θουρίοις διατρίβοντες στρατιῶται τῶν Κορινθίων, ἅμα μὲν δεδιότες τὰς Καρχηδονίων τριήρεις, αἳ παρεφύλαττον αὐτοὺς μετὰ Ἄννωνος, ἅμα δ' ἐφ' ἡμέρας πολλὰς ἐξηγριωμένης ὑπὸ πνεύματος τῆς θαλάσσης, πεζῇ διὰ Βρεττίων ὥρμησαν πορεύεσθαι. Καὶ τὰ μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι τοὺς βαρβάρους, εἰς Ῥήγιον κατέβαινον, ἔτι πολὺν χειμῶνα τοῦ πελάγους ἔχοντος. Ὁ δὲ τῶν Καρχηδονίων ναύαρχος, ὡς οὐ προσεδόκα τοὺς Κορινθίους, καὶ μάτην ᾤετο καθῆσθαι, πείσας αὐτὸς ἑαυτὸν νενοηκέναι τι τῶν σοφῶν καὶ πανούργων πρὸς ἀπάτην, στεφανώσασθαι τοὺς ναύτας κελεύσας, καὶ κοσμήσας τὰς τριήρεις ἀσπίσιν Ἑλληνικαῖς καὶ φοινικίσιν, ἔπλει πρὸς τὰς Συρακούσας. Καὶ παρὰ τὴν ἀκρόπολιν χρώμενος ῥοθίῳ μετὰ κρότου καὶ γέλωτος, ἐβόα τοὺς

Κορινθίους ἥκειν νενικηκὼς καὶ κεχειρωμένος, ἐν τῇ θαλάττῃ λαβὼν διαπλέοντας· ὡς δή τινα δυσθυμίαν τοῖς πολιορκουμένοις παρέξων. Ἐκείνου δὲ ταῦτα λῃροῦντος καὶ φενακίζοντος, ἐκ τῶν Βρεττίων καταβεβηκότες οἱ Κορίνθιοι εἰς τὸ Ῥήγιον, ὡς οὐδεὶς παρεφύλαττε, καὶ τὸ πνεῦμα κατεσβεσμένον παραλόγως, ἀκύμονα τὸν πόρον ἰδεῖν καὶ λεῖον παρεῖχε, ταχὺ πληρώσαντες τὰ πορθμεῖα καὶ τὰς ἁλιάδας τὰς παρούσας, ἀνήγοντο, καὶ διεκομίζοντο πρὸς τὴν Σικελίαν οὕτως ἀσφαλῶς καὶ διὰ τοσαύτης γαλήνης, ὥσε τοὺς ἵππους παρὰ τὰ πλοῖα παραννηχομένους ἐκ ῥυτήρων ἐφέλκεσθαι.

Κ. Περαιωθέντων δὲ πάντων, ὁ Τιμολέων δεξάμενος αὐτοὺς, τήν τε Μεσσήνην εὐθὺς εἶχε, καὶ συνταξάμενος ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας, οἷς εὐτύχει καὶ κατώρθου, μᾶλλον, ἢ τῇ δυνάμει, πεποιθώς· οὐ γὰρ ἦσαν οἱ σὺν αὐτῷ πλείους τετρακισχιλίων. Ἀγγελλομένης δὲ τῆς ἐφόδου τῷ Μάγωνι, θορυβούμενος καὶ δεδοικὼς, ἔτι μᾶλλον εἰς ὑποψίαν ἦλθεν, ἐκ τοιαύτης προφάσεως. Ἐν τοῖς περὶ τὴν πόλιν τενάγεσι, πολὺ μὲν ἐκ κρηνῶν πότιμον ὕδωρ, πολὺ δ' ἐξ ἑλῶν καὶ ποταμῶν καταῤῥεόντων εἰς τὴν θάλατταν δεχομένοις, πλῆθος ἐγχέλεων νέμεται, καὶ δαψίλεια τῆς ἄγρας τοῖς βουλομένοις ἀεὶ πάρεστι. Ταύτας οἱ παρ' ἀμφοτέροις μισθοῦ στρατευόμενοι, σχολῆς οὔσης καὶ ἀνοχῶν, συνεθήρευον. Οἷα δ' Ἕλληνες ὄντες, καὶ πρὸς ἀλλήλους οὐκ ἔχοντες ἰδίων ἀπεχθειῶν πρόφασιν, ἐν μὲν ταῖς μάχαις διεκινδύνευον εὐρώστως, ἐν δὲ ταῖς ἀνοχαῖς προσφοιτῶντες ἀλλήλοις διελέγοντο. Καὶ τότε κοινὸν περὶ τὴν ἁλιείαν ἔχοντες ἔργον, ἐν λόγοις ἦσαν, θαυμάζοντες τῆς θαλάσσης τὴν εὐφυΐαν, καὶ τῶν χωρίων τὴν κατασκευήν. Καί τις εἶπε τῶν παρὰ τοῖς Κορινθίοις στρατευομένων· « Τοσαύτην μέντοι *τὴν* πόλιν τὸ μέγεθος, καὶ τοσούτοις ἐξησκημένην καλοῖς, ὑμεῖς Ἕλληνες ὄντες ἐκβαρβαρῶσαι προθυμεῖσθε, τοὺς κακίστους καὶ φονικωτάτους Καρχηδονίους ἐγγυτέρω κατοι-

κίζοντες ἡμῶν, πρὸς οὓς ἔδει πολλὰς εὔχεσθαι Σικελίας προκεῖσθαι τῆς Ἑλλάδος ἢ δοκεῖτε τούτους στρατὸν ἀγείραντας ἀπὸ στηλῶν Ἡρακλείων καὶ τῆς Ἀτλαντικῆς ἥκειν θαλάττης δεῦρο, κινδυνεύοντας ὑπὲρ τῆς Ἰκέτου δυναστείας; ὃς εἰ λογισμὸν εἶχεν ἡγεμόνος, οὐκ ἂν ἐξέβαλε τοὺς πατέρας, οὐδ' ἐπῆγε τῇ πατρίδι τοὺς πολεμίους, ἀλλὰ καὶ τιμῆς καὶ δυνάμεως ἐτύγχανεν, ὅσης πρέπει, Κορινθίους καὶ Τιμολέοντα πείσας ». Τούτους τοὺς λόγους οἱ μισθοφόροι διεθρόησαν ἐν τῷ στρατοπέδῳ, καὶ παρέσχον ὑποψίαν τῷ Μάγωνι προδίδοσθαι, χρήζοντι πάλαι προφάσεως. Διὸ, καὶ δεομένου τοῦ Ἰκέτου παραμένειν, καὶ διδάσκοντος, ὅσῳ βελτίονες εἰσὶ τῶν πολεμίων, μᾶλλον οἰόμενος ἀρετῇ καὶ τύχῃ λείπεσθαι Τιμολέοντος, ἢ πλήθει δυνάμεως ὑπερβάλλειν, ἄρας εὐθὺς ἀπέπλευσεν εἰς Λιβύην, αἰσχρῶς κατ' οὐδένα λογισμὸν ἀνθρώπινον ἐκ τῶν χειρῶν ἀφεὶς Σικελίαν.

ΚΑ. Τῇ δ' ὑστεραίᾳ παρῆν ὁ Τιμολέων ἐπὶ μάχην συντεταγμένος. Ὡς δὲ τὴν φυγὴν ἐπυνθάνοντο, καὶ τὴν ἐρημίαν ἑώρων τῶν νεωρίων, γελᾶν αὐτοῖς ἐπῆλθε τὴν ἀνανδρίαν τοῦ Μάγωνος· καὶ περιιόντες ἐκήρυττον ἐν τῇ πόλει μήνυτρα τῷ φράσαντι τὸν Καρχηδονίων σόλον ὅπη σφᾶς ἀποδέδρακεν. Οὐ μὴν ἀλλὰ, τοῦ Ἰκέτου φιλομαχοῦντος ἔτι, καὶ τὴν λαβὴν οὐ προϊεμένου τῆς πόλεως, ἀλλὰ ἐμπεφυκότος οἷς κατεῖχε μέρεσι, καρτεροῖς οὖσι καὶ δυσπροσμάχοις, διελὼν ὁ Τιμολέων τὴν δύναμιν, αὐτὸς μὲν, ᾗ βιαιότατον ἦν, παρὰ τὸ ῥεῖθρον τοῦ Ἀνάπου προσέβαλλεν, ἄλλους δ' ἐκ τῆς Ἀχραδινῆς ἐκέλευεν ἐπιχειρεῖν, ὧν Ἰσίας ἡγεῖτο ὁ Κορίνθιος. Τοὺς δὲ τρίτους ἐπῆγον ἐπὶ τὰς Ἐπιπολὰς Δείναρχος καὶ Δημάρετος, οἱ τὴν ὑστέραν ἀγαγόντες ἐκ Κορίνθου βοήθειαν. Ἅμα δὲ καὶ πανταχόθεν τῆς ἐφόδου γενομένης, καὶ τῶν περὶ τὸν Ἰκέτην ἀνατραπέντων καὶ φευγόντων, τὸ μὲν ἁλῶναι τὴν πόλιν κατ' ἄκρας, καὶ γενέσθαι ταχέως ὑποχείριον, ἐκπεσόντων τῶν πολεμίων, δίκαιον ἀναθεῖναι τῇ τῶν μαχομένων ἀν-

δραγαθία, καὶ τῇ δεινότητι τοῦ στρατηγοῦ· τὸ δὲ μήτ' ἀποθανεῖν τινα, μήτε τρωθῆναι τῶν Κορινθίων, ἴδιον ἔργον αὐτῆς ἡ Τιμολέοντος ἐπεδείξατο τύχη, καθάπερ διαμιλλωμένη πρὸς τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἵνα τῶν ἐπαινουμένων αὐτοῦ τὰ μακαριζόμενα μᾶλλον οἱ πυνθανόμενοι θαυμάζωσιν. Οὐ γὰρ μόνον Σικελίαν πᾶσαν, οὐδ' Ἰταλίαν εὐθὺς ἡ φήμη κατέσχεν, ἀλλ' ἡμερῶν ὀλίγων ἡ Ἑλλὰς διήχει τὸ μέγεθος τοῦ κατορθώματος· ὥστε τὴν τῶν Κορινθίων πόλιν ἀπισοῦσαν, εἰ διαπέπλευκεν ὁ στόλος, ὁμοῦ καὶ σεσωσμένους καὶ νενικηκότας ἀκούειν τοὺς ἄνδρας. Οὕτως εὐρόησαν αἱ πράξεις, καὶ τοσούτῳ κάλλει τῶν ἔργων τὸ τάχος ἡ τύχη προσέθηκεν.

ΚΒ. Γενόμενος δὲ τῆς ἄκρας κύριος, οὐκ ἔπαθε Δίωνι ταὐτὸ πάθος, οὐδ' ἐφείσατο τοῦ τόπου διὰ τὸ κάλλος καὶ τὴν πολυτέλειαν τῆς κατασκευῆς, ἀλλὰ τὴν ἐκεῖνον διαβαλοῦσαν, εἶτ' ἀπολέσασαν ὑποψίαν φυλαξάμενος, ἐκήρυξε τῶν Συρακουσίων τὸν βουλόμενον παρεῖναι μετὰ σιδήρου, καὶ συνεφάπτεσθαι κατασκαπτομένων τῶν τυραννικῶν ἑρυμάτων. Ὡς δὲ πάντες ἀνέβησαν ἀρχὴν ἐλευθερίας ποιησάμενοι βεβαιοτάτην τὸ κήρυγμα καὶ τὴν ἡμέραν ἐκείνην, οὐ μόνον τὴν ἄκραν, ἀλλὰ καὶ τὰς οἰκίας καὶ τὰ μνήματα τῶν τυράννων ἀνέτρεψαν καὶ κατέσκαψαν. Εὐθὺς δὲ τὸν τόπον συνομαλύνας, ἐνῴκοδόμησε τὰ δικαστήρια, χαριζόμενος τοῖς πολίταις, καὶ τῆς τυραννίδος ὑπερτέραν ποιῶν τὴν δημοκρατίαν. Ἐπεὶ δὲ τὴν πόλιν ἐλῶν οὐκ εἶχε πολίτας, ἀλλὰ τῶν μὲν ἐν τοῖς πολέμοις καὶ ταῖς στάσεσι διαφθαρέντων, τῶν δὲ τὰς τυραννίδας φυγόντων, ἡ μὲν ἐν Συρακούσαις ἀγορὰ δι' ἐρημίαν οὕτω πολλὴν καὶ βαθεῖαν ἐξέφυσεν ὕλην, ὥσε τοὺς ἵππους ἐν αὐτῇ κατανέμεσθαι, τῶν ἱπποκόμων ἐν τῇ χλόῃ κατακειμένων· αἱ δ' ἄλλαι πόλεις, πλὴν παντελῶς ὀλίγων, ἐλάφων ἐγένοντο μεσαὶ καὶ συῶν ἀγρίων· ἐν δὲ τοῖς προαστείοις καὶ περὶ τὰ τείχη πολλάκις οἱ σχολὴν ἄγοντες ἐκυνηγέτουν, ὑπήκουε δ' οὐδεὶς τῶν

ἐν τοῖς ἐρύμασι καὶ φρουρίοις κατοικούντων, οὐδὲ κατέβαινεν εἰς τὴν πόλιν, ἀλλὰ φρίκη καὶ μῖσος εἶχε πάντας ἀγορᾶς καὶ πολιτείας καὶ βήματος, ἐξ ὧν ἀνέφυσαν αὐτοῖς οἱ πλεῖστοι τῶν τυράννων· ἔδοξε τῷ Τιμολέοντι καὶ τοῖς Συρακουσίοις γράψαι πρὸς τοὺς Κορινθίους, ὅπως πέμψωσιν οἰκήτορας εἰς τὰς Συρακούσας ἐκ τῆς Ἑλλάδος. Ἥ τε γὰρ χώρα σχολάζειν ἔμελλε, καὶ πολὺν πόλεμον ἐκ Λιβύης προσεδέχοντο, πυνθανόμενοι τοὺς Καρχηδονίους τοῦ μὲν Μάγωνος ἑαυτὸν ἀνελόντος ἀνεσαυρωκέναι τὸ σῶμα, διὰ τὴν στρατηγίαν ὀργισθέντας, αὐτοὺς δὲ συνάγειν μεγάλην δύναμιν, ὡς ἔτους ὥρᾳ διαβησομένους εἰς Σικελίαν.

ΚΓ. Τῶν δὲ γραμμάτων τούτων παρὰ τοῦ Τιμολέοντος κομισθέντων, καὶ πρέσβεων ἅμα παρόντων Συρακουσίων, καὶ δεομένων ἐπιμεληθῆναι τῆς πόλεως, καὶ γενέσθαι πάλιν ἐξ ὑπαρχῆς οἰκιστὰς, οὐχ ἥρπασαν οἱ Κορίνθιοι τὴν πλεονεξίαν, οὐδὲ προσεποίησαν αὑτοῖς τὴν πόλιν, ἀλλὰ πρῶτον μὲν, ἐπιόντες τοὺς ἱεροὺς ἀγῶνας ἐν τῇ Ἑλλάδι, καὶ τὰς μεγίστας τῶν πανηγύρεων, ἀνηγόρευον ὑπὸ κηρύκων, ὅτι Κορίνθιοι καταλελυκότες τὴν ἐν Συρακούσαις τυραννίδα, καὶ τὸν τύραννον ἐξεληλακότες, καλοῦσι Συρακουσίους καὶ τῶν ἄλλων Σικελιωτῶν τὸν βουλόμενον οἰκεῖν τὴν πόλιν, ἐλευθέρους καὶ αὐτονόμους ἐπ' ἴσοις καὶ δικαίοις τὴν χώραν διαλαχόντας. Ἔπειτα διαπέμποντες ἀγγέλους εἰς τὴν Ἀσίαν καὶ τὰς νήσους, ὅπου πλείστους ἐπυνθάνοντο τῶν φυγάδων διεσπαρμένους κατοικεῖν, παρεκάλουν ἰέναι πάντας εἰς Κόρινθον, ὡς Κορινθίων ἀσφαλῆ πομπὴν καὶ πλοῖα καὶ στρατηγοὺς παρεξόντων ἰδίοις τέλεσιν εἰς Συρακούσας. Κηρυσσομένων δὲ τούτων, ἡ μὲν πόλις τὸν δικαιότατον καὶ κάλλιστον ἀπελάμβανεν ἔπαινον καὶ ζῆλον, ἐλευθεροῦσα μὲν ἀπὸ τῶν τυράννων, σώζουσα δ' ἀπὸ τῶν βαρβάρων, ἀποδιδοῦσα δὲ τοῖς πολίταις τὴν χώραν. Οἱ δὲ συνελθόντες εἰς Κόρινθον, οὐκ ὄντες ἱκανοὶ τὸ πλῆθος, ἐδεήθησαν ἐκ Κορίνθου καὶ τῆς ἄλλης Ἑλλάδος παραλαβεῖν συνοίκους· καὶ

γενόμενοι μυρίων οὐκ ἐλάττους, κατέπλευσαν εἰς Συρακούσας ἤδη δὲ καὶ τῶν ἐξ Ἰταλίας καὶ Σικελίας πολλοὶ τῷ Τιμολέοντι συνελήλυθεισαν· καὶ γενομένοις αὐτοῖς ἑξακισμυρίοις τὸ πλῆθος, ὡς Ἄθανις εἴρηκε, τὴν μὲν χώραν διένειμε, τὰς δ' οἰκίας ἀπέδοτο χιλίων ταλάντων, ἅμα μὲν ὑπολειπόμενος τοῖς ἀρχαίοις Συρακουσίοις ἐξωνεῖσθαι τὰς αὑτῶν, ἅμα δὲ χρημάτων εὐπορίαν τῷ δήμῳ μηχανώμενος, οὕτω πενομένῳ καὶ πρὸς τἄλλα καὶ πρὸς τὸν πόλεμον, ὥστε καὶ τοὺς ἀνδριάντας ἀποδόσθαι, ψήφου διαφερομένης ὑπὲρ ἑκάστου, καὶ γινομένης κατηγορίας, ὥσπερ ἀνθρώπων εὐθύνας διδόντων. Ὅτε δὴ φασι τὸν Γέλωνος ἀνδριάντα τοῦ παλαιοῦ τυράννου διατηρῆσαι τοὺς Συρακουσίους, καταχειροτονουμένων τῶν ἄλλων, ἀγαμένους καὶ τιμῶντας τὸν ἄνδρα τῆς νίκης, ἣν πρὸς Ἱμέρᾳ Καρχηδονίους ἐνίκησεν.

ΚΔ. Οὕτω δὲ τῆς πόλεως ἀναζωπυρούσης καὶ πληρουμένης, ἐπιῤῥεόντων πανταχόθεν εἰς αὐτὴν τῶν πολιτῶν, βουλόμενος ὁ Τιμολέων καὶ τὰς ἄλλας πόλεις ἐλευθερῶσαι, καὶ παντάπασιν ἐκκόψαι τῆς Σικελίας τὰς τυραννίδας, ἐπὶ τὰς χώρας αὐτῶν στρατεύων, Ἱκέτην μὲν ἠνάγκασεν, ἀποστάντα Καρχηδονίων, ὁμολογῆσαι τὰς ἀκροπόλεις κατασκάψειν, καὶ βιοτεύσειν ἰδιώτην ἐν Λεοντίνοις· Λεπτίνου δὲ, τοῦ τυραννοῦντος Ἀπολλωνίας καὶ συχνῶν ἄλλων πολιχνίων, ὡς ἐκινδύνευε κατὰ κράτος ἁλῶναι, παραδόντος αὑτὸν, φεισάμενος εἰς Κόρινθον ἀπέστειλε, καλὸν ἡγούμενος ἐν τῇ μητροπόλει τοὺς τῆς Σικελίας τυράννους ὑπὸ τῶν Ἑλλήνων ἀποθεωρεῖσθαι φυγαδικῶς καὶ ταπεινῶς ζῶντας. Τοὺς δὲ μισθοφόρους βουλόμενος ἐκ τῆς πολεμίας ὠφελεῖσθαι καὶ μὴ σχολάζειν, αὐτὸς μὲν εἰς τὰς Συρακούσας ἐπανῆλθε, τῇ καταστάσει τῆς πολιτείας προσέξων, καὶ τοῖς ἥκουσιν ἐκ Κορίνθου νομοθέταις Κεφάλῳ καὶ Διονυσίῳ τὰ κυριώτατα καὶ κάλλιστα συνδιαθήσων. Τοὺς δὲ περὶ Δείναρχον καὶ Δημάρετον εἰς τὴν τῶν Καρχηδονίων ἐξέπεμψεν ἐπικράτειαν· οἱ πόλεις πολλὰς

ἀφιστάντες τῶν βαρβάρων, οὐ μόνον αὐτοὶ διῆγον ἐν ἀφθόνοις, ἀλλὰ καὶ χρήματα παρεσκεύαζον εἰς τὸν πόλεμον ἀπὸ τῶν ἁλισκομένων.

ΚΕ. Ἐν τούτῳ δὲ Καρχηδόνιοι καταπλέουσιν εἰς τὸ Λιλύβαιον, ἄγοντες ἑπτὰ μυριάδας στρατοῦ, καὶ τριήρεις διακοσίας, καὶ πλοῖα χίλια, κομίζοντα μηχανὰς καὶ τέθριππα καὶ σῖτον ἄφθονον καὶ τὴν ἄλλην παρασκευήν, ὡς οὐκέτι ποιησόμενοι κατὰ μέρος τὸν πόλεμον, ἀλλ' ὁμοῦ πάσης Σικελίας ἐξελάσοντες τοὺς Ἕλληνας. Ἦν γὰρ ἡ δύναμις ἐξαρκοῦσα καὶ μὴ νοσοῦντας, μηδὲ διεφθαρμένους ὑπ' ἀλλήλων συλλαβέσθαι Σικελιώτας. Πυθόμενοι δὲ πορθεῖσθαι τὴν ἐπικράτειαν αὐτῶν, εὐθὺς ὀργῇ πρὸς τοὺς Κορινθίους ἐχώρουν, Ἀσδρούβα καὶ Ἀμίλκα στρατηγούντων. Τῆς δ' ἀγγελίας ὀξέως εἰς Συρακούσας ἀφικομένης, οὕτω κατεπλάγησαν οἱ Συρακούσιοι πρὸς τὸ μέγεθος τῆς δυνάμεως, ὥστε μόλις τῷ Τιμολέοντι τρισχιλίους ἀπὸ τοσούτων μυριάδων, ὅπλα λαβόντας, τολμῆσαι συνελθεῖν. Οἱ δὲ μισθοφόροι τετρακισχίλιοι τὸ πλῆθος ἦσαν· καὶ τούτων αὖθις ὅσον χίλιοι καθ' ὁδὸν ἀποδειλιάσαντες ἀνεχώρησαν, ὡς οὐχ ὑγιαίνοντος τοῦ Τιμολέοντος, ἀλλὰ μαινομένου παρ' ἡλικίαν, καὶ πρὸς ἑπτὰ μυριάδας πολεμίων μετὰ πεντακισχιλίων πεζῶν καὶ χιλίων ἱππέων βαδίζοντος, καὶ διαρτῶντος ὁδὸν ἡμερῶν ὀκτὼ τὴν δύναμιν ἀπὸ τῶν Συρακουσῶν· ὅθεν οὔτε σωθῆναι τοῖς φεύγουσιν, οὔτε ταφῆναι τοῖς πεσοῦσιν αὐτῶν ὑπάρξει. Τούτους μὲν οὖν Τιμολέων κέρδος ἡγεῖτο πρὸ τῆς μάχης φανεροὺς γεγονότας, τοὺς δ' ἄλλους ἐπιῤῥώσας, κατὰ τάχος ἦγε πρὸς τὸν Κρίμισον ποταμόν, ὅπου καὶ τοὺς Καρχηδονίους ἤκουσε συνάπτειν.

ΚΣΤ. Ἀναβαίνοντι δὲ αὐτῷ πρὸς λόφον, ὃν ὑπερβαλόντες ἔμελλον κατόψεσθαι τὸ στράτευμα καὶ τὴν δύναμιν τῶν πολεμίων, ἐμβάλλουσιν ἡμίονοι σέλινα κομίζοντες· καὶ τοῖς στρατιώταις εἰσῆλθε, πονηρὸν εἶναι τὸ σημεῖον, ὅτι τὰ μνήματα τῶν

νεκρῶν εἰώθαμεν ἐπιεικῶς στεφανοῦν σελίνοις· καὶ παροιμία τις ἐκ τούτου γέγονε, τὸν ἐπισφαλῶς νοσοῦντα, δεῖσθαι τοῦτον τοῦ σελίνου. Βουλόμενος οὖν αὐτοὺς ἀπαλλάξαι τῆς δεισιδαιμονίας καὶ τὴν δυσελπιστίαν ἀφελεῖν ὁ Τιμολέων, ἐπισήσας τὴν πορείαν, ἄλλα τε πρέποντα τῷ καιρῷ διελέχθη, καὶ τὸν στέφανον αὐτοῖς ἔφη πρὸ τῆς νίκης νομιζόμενον, αὐτομάτως εἰς τὰς χεῖρας ἥκειν. Οἱ γὰρ Κορίνθιοι στεφανοῦσι τὰ Ἴσθμια νικῶντας, ἱερὸν καὶ πάτριον στέμμα (τὸ) τοῦ σελίνου νομίζοντες. Ἔτι γὰρ τότε τῶν Ἰσθμίων, ὥσπερ νῦν τῶν Νεμείων, τὸ σέλινον ἦν στέφανος· οὐ πάλαι δ' ἡ πίτυς γέγονεν. Ἐντυχὼν οὖν ὁ Τιμολέων, ὥσπερ εἴρηται, τοῖς στρατιώταις, καὶ λαβὼν τῶν σελίνων, κατεστέψατο πρῶτος αὐτὸς, εἶτα οἱ περὶ αὐτὸν ἡγεμόνες καὶ τὸ πλῆθος. Οἱ δὲ μάντεις, κατιδόντες ἀετοὺς δύο προσφερομένους, ὧν ὁ μὲν δράκοντα τοῖς ὄνυξιν ἔφερε διαπεπαρμένον, ὁ δ' ἵπτατο κεκλαγὼς μέγα καὶ θαρραλέον, ἐπεδείκνυον τοῖς στρατιώταις, καὶ εἰς προσευχὰς θεῶν καὶ ἀνακλήσεις ἐτράποντο πάντες.

ΚΖ. Τὸ μὲν οὖν ἔτος ἰσαμένου θέρους εἶχεν ὥραν, καὶ λήγοντι μηνὶ Θαργηλιῶνι, πρὸς τὰς τροπὰς ἤδη συνῆπτε τὸν καιρόν. Ὁμίχλην δὲ τοῦ ποταμοῦ πολλὴν ἀναδιδόντος, πρῶτον μὲν ἀπεκρύπτετο ζόφῳ τὸ πεδίον, καὶ σύνοπτον οὐδὲν ἦν ἀπὸ τῶν πολεμίων· πλὴν ἠχήτις ἄκριτος καὶ συμμιγὴς ἄνω πρὸς τὸν λόφον ἐχώρει πρόσωθεν, ἀνισαμένης στρατιᾶς τοσαύτης. Ὡς δ' ἀναβάντες ἐπὶ τὸν λόφον ἔστησαν οἱ Κορίνθιοι, καὶ θέμενοι τὰς ἀσπίδας διανεπαύοντο, τοῦ ἡλίου περιφερομένου καὶ μετεωρίζοντος τὴν ἀναθυμίασιν, ὁ μὲν θολερὸς ἀὴρ ἀθροιζόμενος πρὸς τὰ ὑψηλὰ καὶ συνισάμενος κατενέφωσε τὰς ἀκρωρείας· τῶν δ' ὑπὸ πόδας τόπων ἀνακαθαιρομένων, ὅ τε Κρίμησος ἐξεφάνη, καὶ διαβαίνοντες αὐτὸν ὤφθησαν οἱ πολέμιοι, πρώτοις μὲν τοῖς τεθρίπποις ἐκπληκτικῶς πρὸς ἀγῶνα κατεσκευασμένοις, κατόπιν δὲ τούτων μυρίοις ὁπλίταις λευκάσπισι. Τούτους ἐτεκμαίροντο

Καρχηδονίους εἶναι τῇ λαμπρότητι τῆς σκευῆς, καὶ τῇ βραδύτητι καὶ τάξει τῆς πορείας. Μετὰ δὲ τούτους τῶν λοιπῶν ἐθνῶν ἐπιῤῥεόντων, καὶ τὴν διάβασιν μετ' ὠθισμοῦ καὶ ταραχῆς ποιουμένων, συνιδὼν ὁ Τιμολέων τὸν ποταμὸν αὐτοῖς ταμιεύοντα τοῦ πλήθους τῶν πολεμίων ἀπολαβεῖν, ὅσοις ἐθέλοιεν αὐτοὶ μάχεσθαι, καὶ τοὺς στρατιώτας καθορᾷν κελεύσας τὴν φάλαγγα τῷ ῥείθρῳ διαλελυμένην, καὶ τοὺς μὲν ἤδη διαβεβηκότας, τοὺς δὲ μέλλοντας, προσέταξε Δημαρέτῳ λαβόντι τοὺς ἱππεῖς ἐμβαλεῖν εἰς τοὺς Καρχηδονίους, καὶ συνταράξαι τὸν διάκοσμον αὐτῶν τῆς παρατάξεως οὔπω καθεστώσης. Αὐτὸς δὲ καταβὰς εἰς τὸ πεδίον, τὰ μὲν κέρατα τοῖς ἄλλοις Σικελιώταις ἀπέδωκεν, ἀναμίξας ἑκατέρῳ ἐκ τῶν ξένων οὐ πολλούς. Ἐν μέσῳ δὲ περὶ αὑτὸν λαβὼν τοὺς Συρακουσίους καὶ τὸ μαχιμώτατον τῶν μισθοφόρων, βραχὺν μὲν χρόνον ἐπέσχε, τὸ τῶν ἱππέων ἀποθεωρῶν ἔργον. Ὡς δ' ἐκείνους εἶδεν, ὑπὸ τῶν ἁρμάτων πρὸς τῆς τάξεως διαθεόντων, εἰς χεῖρας ἐλθεῖν τοῖς Καρχηδονίοις μὴ δυναμένους, ἀλλ' ὅπως μὴ συνταραχθεῖεν ἀναγκαζομένους ἐξελίττειν συνεχῶς, καὶ πυκνὰς ἐξ ἐπιστροφῆς ποιεῖσθαι τὰς ἐπελάσεις, ἀναλαβὼν τὴν ἀσπίδα, καὶ βοήσας ἕπεσθαι καὶ θαῤῥεῖν τοῖς πεζοῖς, ἔδοξεν ὑπερφυεῖ φωνῇ καὶ μείζονι κεχρῆσθαι τῆς συνήθους· εἴτε τῷ πάθει παρὰ τὸν ἀγῶνα καὶ τὸν ἐνθουσιασμὸν οὕτω διατεινάμενος, εἴτε δαιμονίου τινὸς, ὡς τοῖς πολλοῖς τότε παρέστη, συνεπιφθεγξαμένου. Ταχὺ δὲ τὴν κραυγὴν ἀνταποδόντων, καὶ παρεγγυώντων ἄγειν καὶ μὴ μέλλειν, τοῖς μὲν ἱππόταις ἐσήμαινεν ἔξω παρὰ τὴν τάξιν τῶν ἁρμάτων παρελάσαι, καὶ κατὰ κέρας προσφέρεσθαι τοῖς πολεμίοις· αὐτὸς δὲ, τοὺς προμάχους πυκνώσας τῷ συνασπισμῷ, καὶ τὴν σάλπιγγα κελεύσας ἐπιφθέγξασθαι, προσέβαλλε τοῖς Καρχηδονίοις.

ΚΗ. Οἱ δὲ τὴν μὲν πρώτην ἐπιδρομὴν ὑπέστησαν ἐῤῥωμένως, καὶ τῷ καταπεφράχθαι τὰ σώματα σιδηροῖς θώραξι καὶ χαλκοῖς

κράνεσιν, ἀσπίδας δὲ μεγάλας προβεβλῆσθαι, διεκρούοντο τὸν δορατισμόν. Ἐπεὶ δ' εἰς ξίφη συνῆλθεν ὁ ἀγών, καὶ τέχνης οὐχ ἧττον, ἢ ῥώμης, ἐγεγόνει τὸ ἔργον, ἐξαίφνης ἀπὸ τῶν ὀρῶν βρονταί τε φοβεραὶ κατερρήγνυντο, καὶ πυρώδεις ἀγραπαὶ συνεξέπιπτον. Εἶτα ὁ περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας ζόφος ἐπὶ τὴν μάχην κατιὼν, ὄμβρῳ καὶ πνεύματι καὶ χαλάζῃ συμμεμιγμένος, τοῖς μὲν Ἕλλησιν ἐξόπισθεν καὶ κατὰ νώτου περιεχεῖτο, τῶν δὲ βαρβάρων ἔτυπτε τὰ πρόσωπα, καὶ κατήγραπτε τὰς ὄψεις, ἅμα λαίλαπος ὑγρᾶς, καὶ φλογὸς συνεχοῦς ἐκ τῶν νεφῶν φερομένης. Ἐν οἷς πολλὰ μὲν ἦν τὰ λυποῦντα, καὶ μάλιστα τοὺς ἀπείρους· οὐχ ἥκιστα δὲ βλάψαι δοκοῦσιν αἱ βρονταὶ, καὶ τῶν ὅπλων ὁ πάταγος, κοπτομένων ὕδατι ῥαγδαίῳ καὶ χαλάζῃ, κωλύων ἀκούεσθαι τὰ προσάγματα τῶν ἡγεμόνων. Τοῖς δὲ Καρχηδονίοις οὐκ οὖσιν εὐζώνοις τὸν ὁπλισμὸν, ἀλλ' ὥσπερ εἴρηται, καταπεφραγμένοις, ὅ τε πηλὸς ἐμπόδιος ἦν, οἵ τε κόλποι πληρούμενοι τῶν χιτώνων ὕδατος, (ὥσθ') αὐτοῖς μὲν εἰς τὸν ἀγῶνα χρῆσθαι βαρεῖς ἦσαν καὶ δύσεργοι, ῥᾴδιοι δὲ τοῖς Ἕλλησι περιτρέπεσθαι, καὶ πεσόντες, ἀμήχανοι πάλιν ἐκ πηλοῦ μετὰ τῶν ὅπλων ἀναστῆναι. Καὶ γὰρ ὁ Κρίμησος ὑπὸ τῶν διαβαινόντων ἐκλύσθη, μέγας ἤδη τοῖς ὄμβροις πυξημένος, καὶ τὸ πεδίον τὸ περὶ αὐτὸν ὑπὸ πολλὰς συναγκείας καὶ φάραγγας ὑποκείμενον, ἐπίμπλατο ῥευμάτων οὐ κατὰ πόρον φερομένων, οἷς οἱ Καρχηδόνιοι καλινδούμενοι χαλεπῶς ἀπήλλαττον. Τέλος δὲ, τοῦ χειμῶνος ἐπικειμένου, καὶ τῶν Ἑλλήνων τὴν πρώτην τάξιν αὐτῶν, ἄνδρας τετρακοσίους, καταβαλόντων, ἐτράπη τὸ πλῆθος εἰς φυγήν. Καὶ πολλοὶ μὲν ἐν τῷ πεδίῳ καταλαμβανόμενοι διεφθείροντο, πολλοὺς δ' ὁ ποταμὸς τοῖς ἔτι περαιουμένοις συμπίπτοντας ἐμβάλλων καὶ παραφέρων ἀπώλλυε, πλείους δὲ τῶν λόφων ἐφιεμένους ἐπιθέοντες οἱ ψιλοὶ κατειργάσαντο. Λέγονταί γ' οὖν ἐν μυρίοις νεκροῖς τρισχίλιοι Καρχηδονίων γενέσθαι· μέγα τῇ πόλει πένθος.

Οὔτε γὰρ γένεσιν, οὔτε πλούτοις, οὔτε δόξαις ἕτεροι βελτίονες ἦσαν ἐκείνων· οὔτ' ἀποθανόντας ποτὲ μιᾷ μάχῃ πρότερον ἐξ αὐτῶν Καρχηδονίων τοσούτους μνημονεύουσιν· ἀλλὰ Λίβυσι τὰ πολλὰ καὶ Ἴβηρσι καὶ Νομάσι χρώμενοι πρὸς τὰς μάχας, ἀλλοτρίαις βλάβαις ἀνεδέχοντο τὰς ἥττας.

κθ. Ἐγνώσθη δὲ τοῖς Ἕλλησιν ἡ δόξα τῶν πεσόντων ἀπὸ τῶν λαφύρων. Ἐλάχιστος γὰρ ἦν χαλκῶν καὶ σιδηρῶν τοῖς σκυλεύουσι λόγος· οὕτως ἄφθονος μὲν ἦν ἄργυρος, ἄφθονος δὲ χρυσός. Καὶ γὰρ τὸ στρατόπεδον μετὰ τῶν ὑποζυγίων διαβάντες ἔλαβον. Τῶν δ' αἰχμαλώτων οἱ μὲν πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν, εἰς δὲ κοινὸν ἀπεδείχθησαν πεντακισχίλιοι τὸ πλῆθος· ἥλω δὲ καὶ διακόσια τῶν τεθρίππων. Καλλίστην δὲ καὶ μεγαλοπρεπεστάτην ὄψιν ἡ Τιμολέοντος ἐπεδείκνυτο σκηνή, περισωρευθεῖσα παντοδαποῖς λαφύροις, ἐνοῖς χίλιοι μὲν θώρακες ἐργασίᾳ καὶ κάλλει διαφέροντες, μύριαι δὲ ἀσπίδες προετέθησαν. Ὀλίγοι δὲ πολλοὺς σκυλεύοντες, καὶ μεγάλαις ἐντυγχάνοντες ὠφελείαις, τρίτῃ μόλις ἡμέρᾳ μετὰ τὴν μάχην ἔσχησαν τρόπαιον. Ἅμα δὲ τῇ φήμῃ τῆς νίκης ὁ Τιμολέων εἰς Κόρινθον ἔπεμψε τὰ κάλλιστα τῶν αἰχμαλώτων ὅπλων, βουλόμενος αὐτοῦ τὴν πατρίδα πᾶσιν ἀνθρώποις ζηλωτὴν εἶναι, θεωμένοις ἐν ἐκείνῃ μόνῃ τῶν Ἑλληνικῶν πόλεων τοὺς ἐπιφανεστάτους ναοὺς, οὐχ Ἑλληνικοῖς κεκοσμημένους λαφύροις, οὐδ' ἀπὸ συγγενῶν φόνου καὶ ὁμοφύλων ἀναθημάτων μνήμας ἀτερπεῖς ἔχοντας, ἀλλὰ βαρβαρικὰ σκῦλα, καλλίσαις ἐπιγραφαῖς δηλοῦντα μετὰ τῆς ἀνδρείας τῶν νενικηκότων τὴν δικαιοσύνην, ὅτι Κορίνθιοι καὶ Τιμολέων ὁ στρατηγὸς, ἐλευθερώσαντες τοὺς Σικελίαν οἰκοῦντας Ἕλληνας ἀπὸ Καρχηδονίων, χαριστήρια θεοῖς ἀνέθηκαν.

λ. Ἐκ τούτου καταλιπὼν ἐν τῇ πολεμίᾳ τοὺς μισθοφόρους ἄγοντας καὶ φέροντας τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, αὐτὸς ἦκεν εἰς Συρακούσας· καὶ τοὺς χιλίους μισθοφόρους ἐκείνους,

ὑφ' ὧν ἐγκατελείφθη πρὸ τῆς μάχης, ἐξεκήρυξε τῆς Σικελίας, καὶ πρὶν ἢ δῦναι τὸν ἥλιον, ἠνάγκασεν ἐκ Συρακουσῶν ἀπελθεῖν. Οὗτοι μὲν οὖν διαπλεύσαντες εἰς Ἰταλίαν, ἀπώλοντο παρασπονδηθέντες ὑπὸ Βρεττίων, καὶ δίκην ταύτην τὸ δαιμόνιον αὐτοῖς τῆς προδοσίας ἐπέθηκε. Τῶν δὲ περὶ Μάμερκον, τὸν Κατάνης τύραννον, καὶ Ἱκέτην, εἴτε φθόνῳ τῶν κατορθουμένων ὑπὸ Τιμολέοντος, εἴτε φοβουμένων αὐτὸν, ὡς ἄπιστον καὶ ἄσπονδον πρὸς τοὺς τυράννους, συμμαχίαν ποιησαμένων πρὸς τοὺς Καρχηδονίους, καὶ κελευσάντων πέμπειν δύναμιν καὶ στρατηγὸν, εἰ μὴ παντάπασι βούλονται Σικελίας ἐκπεσεῖν, ἔπλευσε Γέσκων, ναῦς μὲν ἔχων ἑβδομήκοντα, μισθοφόρους δὲ προσλαβὼν Ἕλληνας· οὔπω πρότερον Ἕλλησι χρησαμένων Καρχηδονίων, ἀλλὰ τότε θαυμασάντων, ὡς ἀνυποστάτους καὶ μαχιμωτάτους ἀνθρώπων ἁπάντων. Συστάντες δὲ κοινῇ μετ' ἀλλήλων ἅπαντες ἐν τῇ Μεσσηνίᾳ, τετρακοσίους τῶν παρὰ Τιμολέοντος ξένων ἐπικούρους περιφθέντας ἀπέκτειναν. Ἐν δὲ τῇ Καρχηδονίων ἐπικρατείᾳ περὶ τὰς καλουμένας Ἱερὰς ἐνεδρεύσαντες τοὺς μετ' Εὐθύμου τοῦ Λευκαδίου μισθοφόρους διέφθειραν. Ἐξ ὧν καὶ μάλιστα τὴν Τιμολέοντος εὐτυχίαν συνέβη γενέσθαι διώνυμον. Ἦσαν μὲν γὰρ οὗτοι τῶν μετὰ Φιλοδήμου τοῦ Φωκέως καὶ Ὀνομάρχου Δελφοὺς καταλαβόντων, καὶ μετασχόντων ἐκείνοις τῆς ἱεροσυλίας. Μισούντων δὲ πάντων αὐτοὺς, καὶ φυλαττομένων ἐπαράτους γεγονότας, πλανώμενοι περὶ τὴν Πελοπόννησον, ὑπὸ Τιμολέοντος ἐλήφθησαν, ἑτέρων στρατιωτῶν οὐκ εὐποροῦντος. Ἀφικόμενοι δ' εἰς Σικελίαν, ὅσας μὲν ἐκείνῳ συνηγωνίσαντο μάχας, πάσας ἐνίκων. Τῶν δὲ πλείστων καὶ μεγίστων ἀγώνων τέλος ἐχόντων, ἐκπεμπόμενοι πρὸς ἑτέρας ὑπ' αὐτοῦ βοηθείας, ἀπώλοντο καὶ κατηναλώθησαν, οὐχ ὁμοῦ πάντες, ἀλλὰ κατὰ μέρος, τῆς δίκης αὐτοῖς ὁμολογουμένως, Τιμολέοντος εὐτυχίᾳ, ἐπιτιθεμένης, ὅπως μηδεμία τοῖς ἀγαθοῖς ἀπὸ τῆς τῶν κακῶν κολάσεως βλάβη γένηται.

νηται. Τὴν μὲν οὖν πρὸς Τιμολέοντα τῶν θεῶν εὐμένειαν, οὐχ ἧττον ἐν αἷς προσέκρουσε πράξεσιν, ἢ περὶ ἃς κατώρθου, θαυμάζεσθαι συνέβαινεν.

ΛΑ. Οἱ δὲ πολλοὶ τῶν Συρακουσίων ἐχαλέπαινον ὑπὸ τῶν τυράννων προπηλακιζόμενοι. Καὶ γὰρ ὁ Μάμερκος ἐπὶ τῷ ποιήματα γράφειν καὶ τραγῳδίας μέγα φρονῶν, ἐκόμπαζε νικήσας τοὺς μισθοφόρους· καὶ τὰς ἀσπίδας ἀναθεὶς τοῖς θεοῖς, ἐλεγεῖον ὑβριστικὸν ἐπέγραψε·

Τάσδ' ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους
Ἀσπίδας ἀσπιδίοις εἵλομεν εὐτελέσι.

Γενομένων δὲ τούτων, καὶ τοῦ Τιμολέοντος εἰς Καλαυρίαν στρατεύσαντος, ὁ Ἰκέτης ἐμβαλὼν εἰς τὴν Συρακουσίαν, λείαν τε συχνὴν ἔλαβε, καὶ πολλὰ λυμηνάμενος καὶ καθυβρίσας, ἀπηλλάττετο παρ' αὐτὴν τὴν Καλαυρίαν, καταφρονῶν τοῦ Τιμολέοντος ὀλίγους στρατιώτας ἔχοντος. Ἐκεῖνος δὲ προλαβεῖν ἐάσας, ἐδίωκεν ἱππεῖς ἔχων καὶ ψιλούς. Αἰσθόμενος δ' ὁ Ἰκέτης, τὸν Δαμυρίαν διαβεβηκὼς ὑπέστη παρὰ τὸν ποταμόν, ὡς ἀμυνούμενος. Καὶ γὰρ αὐτῷ θάρσος ἥ τε τοῦ πόρου χαλεπότης, καὶ τὸ κρημνῶδες τῆς ἑκατέρωθεν ὄχθης παρεῖχε. Τοῖς δὲ μετὰ τοῦ Τιμολέοντος ἰλάρχαις ἔρις ἐμπεσοῦσα θαυμαστὴ καὶ φιλονεικία, διατριβὴν ἐποίει τῆς μάχης. Οὐδεὶς γὰρ ἦν ὁ βουλόμενος ἑτέρου διαβαίνειν ὕστερος ἐπὶ τοὺς πολεμίους, ἀλλ' αὐτὸς ἕκαστος ἠξίου πρωταγωνιστεῖν· καὶ κόσμον οὐκ εἶχεν ἡ διάβασις, ἐξωθούντων καὶ παρατρεχόντων ἀλλήλους. Βουλόμενος οὖν ὁ Τιμολέων κληρῶσαι τοὺς ἡγεμόνας, ἔλαβε παρ' ἑκάστου δακτύλιον· ἐμβαλὼν δὲ πάντας εἰς τὴν ἑαυτοῦ χλαμύδα καὶ μίξας, ἔδειξε τὸν πρῶτον κατὰ τύχην γλυφὴν ἔχοντα τῆς σφραγίδος τρόπαιον. Ὡς δὲ τοῦτ' εἶδον οἱ νεανίσκοι, μετὰ χαρᾶς ἀνακραγόντες, οὐκ ἔτι τὸν ἄλλον ὑπέμειναν κλῆρον, ἀλλ', ὡς ἕκαστος τάχους εἶχε, τὸν ποταμὸν διεξελάσαντες, ἐν χερσὶν ἦσαν τοῖς πολεμίοις. Οἱ δ' οὐκ ἐδέξαντο

τὴν βίαν αὐτῶν, ἀλλὰ φεύγοντες, τῶν μὲν ὅπλων ἅπαντες ὑμαλῶς ἐστερήθησαν, χιλίους δ' ἀπέβαλον πεσόντας.

ΛΒ. Οὐ πολλῷ δ' ὕστερον εἰς τὴν Λεοντίνων στρατεύσας ὁ Τιμολέων, λαμβάνει τὸν Ἱκέτην ζῶντα, καὶ τὸν υἱὸν Εὐπόλεμον, καὶ τὸν ἱππάρχην Εὔθυμον, ὑπὸ τῶν στρατιωτῶν συνδεθέντας καὶ κομισθέντας πρὸς αὐτόν. Ὁ μὲν οὖν Ἱκέτης καὶ τὸ μειράκιον, ὡς τύραννοι καὶ προδόται κολασθέντες ἀπέθνησκον. Ὁ δ' Εὔθυμος, ἀνὴρ ἀγαθὸς ὢν πρὸς τοὺς ἀγῶνας καὶ τόλμῃ διαφέρων, οὐκ ἔτυχεν οἴκτου, διὰ βλασφημίαν τινὰ πρὸς τοὺς Κορινθίους κατηγορηθεῖσαν αὐτοῦ. Λέγεται γὰρ, ὅτι, τῶν Κορινθίων ἐστρατευσαμένων ἐπ' αὐτούς, δημηγορῶν ἐν τοῖς Λεοντίνοις, οὐδὲν ἔφη γεγονέναι φοβερὸν, οὐδὲ δεινὸν, εἰ

Κορίνθιαι γυναῖκες ἐξῆλθον δόμων.

Οὕτως ὑπὸ λόγων μᾶλλον, ἢ πράξεων πονηρῶν, ἀνιᾶσθαι περύκασιν οἱ πολλοί· χαλεπώτερον γὰρ ὕβριν, ἢ βλάβην φέρουσι. Καὶ τὸ μὲν ἀμύνεσθαι δι' ἔργων, ὡς ἀναγκαῖον, δέδοται τοῖς πολεμοῦσιν· αἱ δὲ βλασφημίαι, περιουσίᾳ μίσους, ἢ κακίας, γίνεσθαι δοκοῦσιν.

ΛΓ. Ἐπανελθόντος δὲ τοῦ Τιμολέοντος, οἱ Συρακούσιοι τὰς γυναῖκας τῶν περὶ τὸν Ἱκέτην καὶ τὰς θυγατέρας ἐν ἐκκλησίᾳ καταστήσαντες εἰς κρίσιν, ἀπέκτειναν. Καὶ δοκεῖ τοῦτο τῶν Τιμολέοντος ἔργων ἀχαριστότατον γενέσθαι· μὴ γὰρ ἂν, ἐκείνου κωλύοντος, οὕτω τὰς ἀνθρώπους ἀποθανεῖν. Δοκεῖ δ' αὐτὰς ὑπεριδεῖν, καὶ προέσθαι τῷ θυμῷ τῶν πολιτῶν, δίκην λαμβανόντων ὑπὲρ Δίωνος τοῦ Διονύσιον ἐκβαλόντος. Ἱκέτης γάρ ἐστιν ὁ τὴν γυναῖκα τοῦ Δίωνος, Ἀρέτην, καὶ τὴν ἀδελφὴν, Ἀριστομάχην, καὶ τὸν υἱὸν ἔτι παῖδα, καταποντίσας ζῶντας, περὶ ὧν ἐν τῷ Δίωνος γέγραπται βίῳ.

ΛΔ. Μετὰ δὲ ταῦτα στρατεύσας ἐπὶ Μάμερκον εἰς Κατάνην, καὶ περὶ τὸ ῥεῦμα τὴν Ἄβολον ἐκ παρατάξεως ὑποστάντα νικήσας

καὶ τρεψάμενος, ὑπὲρ δισχιλίους ἀνεῖλεν· ὧν μέρος οὐκ ὀλίγον ἦσαν οἱ περιφθέντες ὑπὸ Γέσκωνος ἐπίκουροι Φοίνικες. Ἐκ δὲ τούτου Καρχηδόνιοι μὲν εἰρήνην ἐποιήσαντο πρὸς αὐτὸν δεηθέντες, ὥστε τὴν ἐντὸς τοῦ Ἁλύκου χώραν ἔχειν, *καὶ* τοῖς βουλομένοις ἐξ αὐτῆς μετοικεῖν πρὸς Συρακουσίους, χρήματα καὶ γενεὰς ἀποδιδόντες, καὶ τοῖς τυράννοις ἀπειπάμενοι τὴν συμμαχίαν. Μάμερκος δὲ δυσθυμῶν ταῖς ἐλπίσιν, ἔπλει μὲν εἰς Ἰταλίαν, ὡς Λευκανοὺς ἐπάξων Τιμολέοντι καὶ Συρακουσίοις. Ἐπεὶ δ' ἀποστρέψαντες οἱ σὺν αὐτῷ τὰς τριήρεις, καὶ πλεύσαντες εἰς Σικελίαν τῷ Τιμολέοντι τὴν Κατάνην παρέδωκαν, ἀναγκασθεὶς καὶ αὐτὸς εἰς Μεσσήνην κατέφευγε πρὸς Ἵππωνα, τὸν τυραννοῦντα τῆς πόλεως. Ἐπελθόντος δὲ τοῦ Τιμολέοντος αὐτοῖς, καὶ πολιορκοῦντος ἔκ τε γῆς καὶ θαλάττης, ὁ μὲν Ἵππων, ἀποδιδράσκων ἐπὶ νεὼς, ἤλω· καὶ παραλαβόντες αὐτὸν οἱ Μεσσήνιοι, καὶ τοὺς παῖδας ἐκ τῶν διδασκαλείων, ὡς ἐπὶ θέαμα κάλλιστον, τὴν τοῦ τυράννου τιμωρίαν, ἀγαγόντες εἰς θέατρον, ἠκίσαντο καὶ διέφθειραν· ὁ δὲ Μάμερκος ἑαυτὸν Τιμολέοντι παρέδωκεν ἐπὶ τῷ δίκην ὑποσχεῖν ἐν Συρακουσίοις, μὴ κατηγοροῦντος Τιμολέοντος. Ἀχθεὶς δ' εἰς τὰς Συρακούσας, παρελθὼν εἰς τὸν δῆμον, ἐπεχείρει μέντινα συγκείμενον ἐκ παλαιοῦ λόγον ὑπ' αὐτοῦ διεξιέναι· θορύβοις δὲ περιπίπτων, καὶ τὴν ἐκκλησίαν ὁρῶν ἀπαραίτητον, ἔθει, ῥίψας τὸ ἱμάτιον, διὰ μέσου τοῦ θεάτρου, καὶ πρός τι τῶν βάθρων δρόμῳ φερόμενος συνέῤῥηξε τὴν κεφαλὴν, ὡς ἀποθανούμενος. Οὐ μὴν ἔτυχέ γε ταύτης τῆς τελευτῆς, ἀλλ' ἔτι ζῶν ἁπαχθεὶς, ἥνπερ οἱ λῃσταὶ, δίκην ἔδωκεν.

ΑΕ. Τὰς μὲν οὖν τυραννίδας ὁ Τιμολέων τοῦτον τὸν τρόπον ἐξέκοψε, καὶ τοὺς πολέμους ἔλυσε. Τὴν δ' ὅλην νῆσον ἐξηγριωμένην ὑπὸ κακῶν, καὶ διαμεμισημένην ὑπὸ τῶν οἰκητόρων παραλαβὼν, οὕτως ἐξημέρωσε καὶ ποθεινὴν ἐποίησε πᾶσιν, ὥστε πλεῖν οἰκήσοντας ἑτέρους, ὅθεν οἱ πολῖται πρότερον ἀπεδίδρασκον. Καὶ

γὰρ Ἀκράγαντα, καὶ Γέλαν, πόλεις μεγάλας, μετὰ τὸν Ἀττικὸν πόλεμον ὑπὸ Καρχηδονίων ἀνασάτους γεγενημένας, τότε κατῴκισαν, τὴν μὲν οἱ περὶ Μέγελλον καὶ Φέριστον, ἐξ Ἐλέας, τὴν δ' οἱ περὶ Γόργον, ἐκ Κέω ἐκπλεύσαντες, καὶ συναγαγόντες τοὺς ἀρχαίους πολίτας. Οἷς οὐ μόνον ἀσφάλειαν ἐκ πολέμου τοσούτου καὶ γαλήνην ἱδρυομένοις παρασχὼν, ἀλλὰ καὶ τἄλλα παρασκευάσας καὶ συμπροθυμηθεὶς, ὥσπερ οἰκιστὴς, ἠγαπᾶτο. Καὶ τῶν ἄλλων δὲ διακειμένων ὁμοίως ἁπάντων πρὸς αὐτὸν, οὐ πολέμου τις λύσις, οὐ νόμων θέσις, οὐ χώρας κατοικισμὸς, οὐ πολιτείας διάταξις ἐδόκει καλῶς ἔχειν, ἧς ἐκεῖνος μὴ προσάψαιτο, μηδὲ κατακοσμήσειεν, ὥσπερ ἔργῳ συντελουμένῳ δημιουργὸς, ἐπιθεὶς τινα χάριν θεοφιλῆ καὶ πρέπουσαν.

ΑΣΤ. Πολλῶν γὰρ κατ' αὐτὸν Ἑλλήνων μεγάλων γενομένων, καὶ μεγάλα κατεργασαμένων, ὧν καὶ Τιμόθεος ἦν, καὶ Ἀγησίλαος, καὶ Πελοπίδας, καὶ ὁ μάλιστα ζηλωθεὶς ὑπὸ Τιμολέοντος Ἐπαμινώνδας, αἱ μὲν ἐκείνων πράξεις βίᾳ τινὶ καὶ πόνῳ τὸ λαμπρὸν ἐξενηνόχασι μεμιγμένον, ὥστε καὶ μέμψιν ἐνίαις ἐπιγίνεσθαι καὶ μετάνοιαν· τῶν δὲ Τιμολέοντος ἔργων, ἔξω λόγου θεμένοις τὴν περὶ τὸν ἀδελφὸν ἀνάγκην, οὐδέν ἐστιν, ᾧ μὴ τὰ τοῦ Σοφοκλέους, ὡς φησι Τίμαιος, ἐπιφωνεῖν ἔπρεπεν· "Ὦ θεοὶ, τίς ἄρα Κύπρις, ἢ τίς Ἵμερος τοῦδε ξυνήψατο;" Καθάπερ γὰρ ἡ μὲν Ἀντιμάχου ποίησις, καὶ τὰ Διονυσίου ζωγραφήματα, τῶν Κολοφωνίων, ἰσχὺν ἔχοντα καὶ τόνον, ἐκβεβιασμένοις καὶ καταπόνοις ἔοικε, ταῖς δὲ Νικομάχου γραφαῖς, καὶ τοῖς Ὁμήρου σίχοις, μετὰ τῆς ἄλλης δυνάμεως καὶ χάριτος, πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι· οὕτως παρὰ τὴν Ἐπαμινώνδου στρατηγίαν, καὶ τὴν Ἀγησιλάου, πολυπόνους γενομένας καὶ δυσάγωνας, ἡ Τιμολέοντος ἀντεξεταζομένη, καὶ μετὰ τοῦ καλοῦ πολὺ τὸ ῥᾳδίως ἔχουσα, φαίνεται τοῖς εὖ καὶ δικαίως λογιζομένοις, οὐ τύχης ἔργον, ἀλλ' ἀρετῆς εὐτυχούσης. Καίτοι

πάντα γ' ἐκεῖνος εἰς τὴν τύχην ἀνῆπτε τὰ κατορθούμενα· καὶ γὰρ γράφων τοῖς οἴκοι φίλοις, καὶ δημηγορῶν πρὸς τοὺς Συρακουσίους, πολλάκις ἔφη τῷ θεῷ χάριν ἔχειν, ὅτι βουλόμενος σῶσαι Σικελίαν, ἐπεγράψατο τὴν αὐτοῦ προσηγορίαν. Ἐπὶ δὲ τῆς οἰκίας ἱερὸν ἱδρυσάμενος Αὐτοματίας ἔθυσεν· αὐτὴν δὲ τὴν οἰκίαν Ἱερῷ Δαίμονι καθιέρωσεν. Ὤκει δ' οἰκίαν, ἣν ἐξεῖλον αὐτῷ στρατηγίας ἀρίστειον οἱ Συρακούσιοι, καὶ τῶν ἀγρῶν τὸν ἥδιστον καὶ κάλλιστον· ἐν ᾧ καὶ τὸ πλεῖστον τοῦ χρόνου κατεσχόλαζε, μεταπεμψάμενος οἴκοθεν τὴν γυναῖκα καὶ τοὺς παῖδας. Οὐ γὰρ ἐπανῆλθεν εἰς Κόρινθον, οὐδὲ κατέμιξε τοῖς Ἑλληνικοῖς θορύβοις ἑαυτὸν, οὐδὲ τῷ πολιτικῷ φθόνῳ παρέδωκεν, εἰς ὃν οἱ πλεῖστοι τῶν στρατηγῶν, ἀπληστίᾳ τιμῶν καὶ δυνάμεως, ἐξοκέλλουσιν· ἀλλ' ἐκεῖ κατέμεινε, τοῖς ὑφ' ἑαυτοῦ μεμηχανημένοις ἀγαθοῖς χρώμενος· ὧν μέγιστον ἦν τὸ πόλεις τοσαύτας καὶ μυριάδας ἀνθρώπων δι' ἑαυτὸν εὐφορᾶν εὐδαιμονούσας.

ΛΖ. Ἐπεὶ δὲ χρῆν, ὡς ἔοικεν, οὐ μόνον πᾶσι κορυδαλοῖς λόφον ἐγγίνεσθαι, κατὰ Σιμωνίδην, ἀλλὰ καὶ πάσῃ δημοκρατίᾳ συκοφάντην, ἐπεχείρησαν καὶ Τιμολέοντι δύο τῶν δημαγωγῶν, Λαφύστιος καὶ Δημαίνετος. Ὧν Λαφυστίου μὲν αὐτὸν πρός τινα δίκην κατεγγυῶντος, οὐκ εἴα θορυβεῖν, οὐδὲ κωλύειν τοὺς πολίτας· ἐκὼν γὰρ αὐτὸς ὑπομεῖναι τοσούτους πόνους καὶ κινδύνους ὑπὲρ τοῦ τοῖς νόμοις χρῆσθαι τὸν βουλόμενον Συρακουσίων. Τοῦ δὲ Δημαινέτου πολλὰ κατηγορήσαντος ἐν ἐκκλησίᾳ τῆς στρατηγίας, πρὸς ἐκεῖνον μὲν οὐδὲν ἀντεῖπε, τοῖς δὲ θεοῖς ἔφη χάριν ὀφείλειν, ἧς εὔξατο, Συρακουσίους ἐπιδὼν τῆς παῤῥησίας κυρίους γενομένους. Μέγιστα δ' οὖν καὶ κάλλιστα τῶν καθ' αὑτὸν Ἑλλήνων ὁμολογουμένως διαπραξάμενος ἔργα, καὶ μόνος, ἐφ' ἃς οἱ σοφισταὶ διὰ τῶν λόγων τῶν πανηγυρικῶν ἀεὶ παρεκάλουν πράξεις τοὺς Ἕλληνας, ἐν ταύταις ἀρίστευσας· καὶ τῶν μὲν αὐτόθι κακῶν, ἃ τὴν ἀρχαίαν Ἑλλάδα κατέσχεν, ὑπὸ τῆς τύχης προεκ-

κομισθεὶς ἀναίμακτος καὶ καθαρός· ἐπιδειξάμενος δὲ δεινότητα μὲν καὶ ἀνδρείαν τοῖς βαρβάροις καὶ τοῖς τυράννοις, δικαιοσύνην δὲ καὶ πραότητα τοῖς Ἕλλησι καὶ τοῖς φίλοις· τὰ δὲ πλεῖστα τρόπαια τῶν ἀγώνων ἀδάκρυτα καὶ ἀπενθῆ τοῖς πολίταις καταστήσας, καθαρὰν δὲ τὴν Σικελίαν ἐν οὐδ' ὅλοις ἔτεσιν ὀκτὼ ἀϊδίων καὶ συνοίκων κακῶν καὶ νοσημάτων παραδοὺς τοῖς κατοικοῦσιν· ἤδη πρεσβύτερος ὢν ἀπημβλύνθη τὴν ὄψιν, εἶτα τελέως ἐπηρώθη μετ' ὀλίγον, οὔτ' αὐτὸς ἑαυτῷ πρόφασιν παρασχὼν, οὔτε παροινηθεὶς ὑπὸ τῆς τύχης, ἀλλὰ συγγενικῆς τινος, ὡς ἔοικεν, αἰτίας καὶ καταβολῆς ἅμα τῷ χρόνῳ συνεπιθεμένης. Λέγονται γὰρ οὐκ ὀλίγοι τῶν κατὰ γένος αὐτῷ προσηκόντων ὁμοίως ἀποβαλεῖν τὴν ὄψιν, ὑπὸ γήρως ἀπομαρανθεῖσαν. Ὁ δὲ Ἄθανις, ἔτι συνεζῶτος τοῦ πρὸς Ἵππωνα πολέμου καὶ Μάμερκον, ἐν Μυλλαῖς ἐπὶ στρατοπέδου φησὶν ἀπογλαυκωθῆναι τὴν ὄψιν αὐτοῦ καὶ πᾶσι φανερὰν γενέσθαι τὴν πήρωσιν· οὐ μὴν ἀποστῆναι διὰ τοῦτο πολιορκίας, ἀλλ' ἐμμείναντα τῷ πολέμῳ λαβεῖν τοὺς τυράννους. Ὡς δ' ἐπανῆλθεν εἰς Συρακούσας, εὐθὺς ἀποθέσθαι τὴν μοναρχίαν καὶ παραιτεῖσθαι τοὺς πολίτας, τῶν πραγμάτων εἰς τὸ κάλλιστον ἡκόντων τέλος.

ΛΗ. Ἐκεῖνον μὲν οὖν αὐτὸν ὑπομείναντα τὴν συμφορὰν ἀλύπως ἧττον ἄν τις θαυμάσειε. Τῶν δὲ Συρακουσίων ἄξιον ἄγασθαι τὴν πρὸς τὸν ἄνδρα τιμὴν καὶ χάριν, ἣν ἐπεδείξαντο πεπηρωμένῳ, φοιτῶντες ἐπὶ θύρας αὐτοί, καὶ τῶν ξένων τοὺς παρεπιδημοῦντας ἄγοντες εἰς τὴν οἰκίαν καὶ τὸ χωρίον, ὅπως θεάσαιντο τὸν εὐεργέτην αὐτῶν, ἀγαλλόμενοι καὶ μέγα φρονοῦντες, ὅτι παρ' αὐτοῖς εἵλετο καταζῆσαι τὸν βίον, οὕτω λαμπρᾶς ἐπανόδου τῆς εἰς τὴν Ἑλλάδα, παρεσκευασμένης αὐτῷ διὰ τῶν εὐτυχημάτων, καταφρονήσας. Πολλῶν δὲ καὶ μεγάλων εἰς τὴν ἐκείνου τιμὴν γραφομένων καὶ πραττομένων, οὐδενὸς ἧττον ἦν τὸ ψηφίσασθαι τὸν τῶν Συρακουσίων δῆμον, ὁσάκις συμπέσοι πόλε-

μος αὐτοῖς πρὸς ἀλλοφύλους, Κορινθίῳ χρῆσθαι στρατηγῷ. Καλὸν δὲ καὶ τὸ περὶ τὰς ἐκκλησίας γινόμενον ὄψιν εἰς τιμὴν αὐτοῦ παρεῖχε· τὰ γὰρ ἄλλα δι' αὑτῶν κρίνοντες, ἐπὶ τὰς μείζονας διασκέψεις ἐκεῖνον ἐκάλουν. Ὁ δὲ κομιζόμενος δι' ἀγορᾶς ἐπὶ ζεύγους πρὸς τὸ θέατρον ἐπορεύετο· καὶ τῆς ἀπήνης, ὥσπερ ἐτύγχανε καθήμενος, εἰσαγομένης, ὁ μὲν δῆμος ἠσπάζετο, μιᾷ φωνῇ προσαγορεύων αὐτὸν, ὁ δ' ἀντασπασάμενος, καὶ χρόνον τινὰ δοὺς ταῖς εὐφημίαις καὶ τοῖς ἐπαίνοις, εἶτα διακούσας τὸ ζητούμενον, ἀπεφαίνετο γνώμην. Ἐπιχειροτονηθείσης δὲ ταύτης, οἱ μὲν ὑπηρέται πάλιν ἀπῆγον διὰ τοῦ θεάτρου τὸ ζεῦγος, οἱ δὲ πολῖται, βοῇ καὶ κρότῳ προπέμψαντες ἐκεῖνον, ἤδη τὰ λοιπὰ τῶν δημοσίων καθ' αὑτοὺς ἐχρημάτιζον.

ΛΘ. Ἐν τοιαύτῃ δὲ γηροτροφούμενος τιμῇ μετ' εὐνοίας, ὥσπερ πατὴρ κοινὸς, ἐκ μικρᾶς προφάσεως τῷ χρόνῳ συνεφαψαμένης ἐτελεύτησεν. Ἡμερῶν δὲ δοθεισῶν τοῖς μὲν Συρακουσίοις εἰς τὸ παρασκευάσαι τὰ περὶ τὴν ταφὴν, τοῖς δὲ περιοίκοις καὶ ξένοις εἰς τὸ συνελθεῖν, τάτ' ἄλλα λαμπρᾶς χορηγίας ἔτυχε, καὶ τὸ λέχος οἱ ψήφῳ τῶν νεανίσκων προκριθέντες ἔφερον κεκοσμημένον διὰ τῶν Διονυσίων τυραννείων τότε κατεσκαμμένων. Προὔπεμπον δὲ πολλαὶ μυριάδες ἀνδρῶν καὶ γυναικῶν· ὧν ὄψις μὲν ἦν ἑορτῇ πρέπουσα, πάντων ἐστεφανωμένων καὶ καθαρὰς ἐσθῆτας φορούντων, φωναὶ δὲ καὶ δάκρυα συγκεκραμένα τῷ μακαρισμῷ τοῦ τεθνηκότος, οὐ τιμῆς ἀφοσίωσιν, οὐδὲ λειτουργίαν ἐκ προβουλεύματος, ἀλλὰ πόθον δίκαιον ἐπεδείκνυντο, καὶ χάριν ἀληθινῆς εὐνοίας. Τέλος δὲ τῆς κλίνης ἐπὶ τὴν πυρὰν τεθείσης, Δημήτριος, ὃς ἦν μεγαλοφωνότατος τῶν τότε κηρύκων, γεγραμμένον ἀνεῖπε κήρυγμα τοιοῦτον· « Ὁ δῆμος τῶν Συρακουσίων, Τιμολέοντα Τιμοδήμου, Κορίνθιον τόνδε, θάπτει μὲν διακοσίων μνῶν, ἐτίμησε δ' εἰς τὸν ἅπαντα χρόνον ἀγῶσι μουσικοῖς, ἱππικοῖς, γυμνικοῖς ὅτι τοὺς τυράννους καταλύσας, καὶ

τοὺς βαρβάρους καταπολεμήσας, καὶ τὰς μεγίστας τῶν ἀνασάτων πόλεων οἰκίσας, ἀπέδωκε τοὺς νόμους τοῖς Σικελιώταις.» Ἐποιήσαντο δὲ τὴν ταφὴν τοῦ σώματος ἐν ἀγορᾷ, καὶ στοὰς ὕστερον περιβαλόντες, καὶ παλαίστρας ἐνοικοδομήσαντες, γυμνάσιον τοῖς νέοις ἀνῆκαν, καὶ Τιμολεόντειον προσηγόρευσαν. Αὐτοὶ δὲ χρώμενοι πολιτείᾳ καὶ νόμοις, οὓς ἐκεῖνος κατέστησεν, ἐπὶ πολὺν χρόνον εὐδαιμονοῦντες διετέλεσαν.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΠΛΟΥΤ. ΑΙΜΙΛ. ΠΑΥΛΟΣ.

Ἐμοὶ τῆς τῶν βίων ἅψασθαι μὲν γραφῆς συνέβη δι' ἑτέρους, ἐπιμένειν δὲ καὶ φιλοχωρεῖν ἤδη καὶ δι' ἐμαυτὸν, ὥσπερ ἐνεσόπτρῳ, τῇ ἱστορίᾳ πειρώμενον ἀμωσγέπως κοσμεῖν καὶ ἀφομοιοῦν πρὸς τὰς ἐκείνων ἀρετὰς τὸν βίον. Οὐδενὶ γὰρ ἄλλῳ, ἢ συνδιαιτήσει καὶ συμβιώσει, τὸ γινόμενον ἔοικεν, ὅταν ὥσπερ ἐπιξενούμενον ἕκαστον αὐτῶν ἐν μέρει διὰ τῆς ἱστορίας ὑποδεχόμενοι καὶ παραλαμβάνοντες, ἀναθεωρῶμεν, «ὅσσος ἔην, οἷός τε,» τὰ κυριώτατα καὶ κάλλιστα πρὸς γνῶσιν ἀπὸ τῶν πράξεων λαμβάνοντες·

Φεῦ, φεῦ· τί τούτου χάρμα μεῖζον ἂν λάβοις,

πρὸς ἐπανόρθωσιν ἠθῶν ἐνεργότερον; Δημόκριτος μὲν γὰρ εὔχεσθαί φησι δεῖν, ὅπως εὐλόγχων εἰδώλων τυγχάνωμεν, καὶ τὰ σύμφυλα καὶ τὰ χρησιμώτερα μᾶλλον ἡμῖν ἐκ τοῦ περιέχοντος, ἢ τὰ φαῦλα καὶ τὰ σκαιά, συμφέρηται, λόγον οὔτ' ἀληθῆ, καὶ πρὸς ἀπεράντους ἐκφέροντα δεισιδαιμονίας, εἰς φιλοσοφίαν καταβάλλων. Ἡμεῖς δὲ τῇ περὶ τὴν ἱστορίαν διατριβῇ, καὶ τῆς γραφῆς τῇ συνηθείᾳ, παρασκευάζομεν ἑαυτοὺς τὰς τῶν ἀρίστων καὶ δοκιμωτάτων μνήμας ὑποδεχομένους ἀεὶ ταῖς ψυχαῖς, εἴ τι φαῦλον, ἢ κακόηθες, ἢ ἀγεννὲς, αἱ τῶν συνόντων ἐξ ἀνάγκης ὁμιλίαι προσβάλλουσιν, ἐκκρούειν καὶ διωθεῖσθαι, πρὸς τὰ κάλλιστα τῶν παραδειγμάτων ἴλεω καὶ πραεῖαν ἀποτρέφοντες τὴν διάνοιαν. Ὧν ἐν τῷ παρόντι προκεχειρίσμεθά σοι τὸν Τιμολέοντος τοῦ Κορινθίου καὶ τὸν Αἰμιλίου Παύλου βίον, ἀνδρῶν οὐ μόνον ταῖς αἱρέσεσιν, ἀλλὰ καὶ ταῖς τύχαις ἀγαθαῖς ὁμοίως κεχρημένων ἐπὶ τὰ πράγματα, καὶ διαμφισβήτησιν παρεξόντων, πότερον εὐποτμίᾳ μᾶλλον, ἢ φρονήσει, τὰ μέγιστα τῶν πεπραγμένων κατώρθωσαν.

β. Τὸν Αἰμιλίων οἶκον ἐν Ῥώμῃ τῶν εὐπατριδῶν γεγονέναι καὶ παλαιῶν, οἱ πλεῖστοι συγγραφεῖς ὁμολογοῦσιν. Ὅτι δ' ὁ πρῶτος αὐτῶν, καὶ τῷ γένει τὴν ἐπωνυμίαν ἀπολιπὼν, Μάμερκος ἦν, Πυθαγόρου παῖς τοῦ σοφοῦ, δι' αἰμυλίαν λόγου καὶ χάριν Αἰμύλιος προσαγορευθείς, εἰρήκασιν ἔνιοι τῶν Πυθαγόρα τὴν Νουμᾶ τοῦ βασιλέως παίδευσιν ἀναθέντων. Οἱ μὲν οὖν πλεῖστοι τῶν εἰς δόξαν ἀπὸ τῆς οἰκίας ταύτης προελθόντων, δι' ἀρετὴν, ἣν ἐζήλωσαν, εὐτύχησαν· Λευκίου δὲ Παύλου τὸ περὶ Κάννας ἀτύχημα τήν τε φρόνησιν ἅμα καὶ τὴν ἀνδρείαν ἔδειξεν. Ὡς γὰρ οὐκ ἔπεισε τὸν συνάρχοντα, κωλύων μάχεσθαι, τοῦ μὲν ἀγῶνος ἄκων μετέσχεν αὐτῷ, τῆς δὲ φυγῆς οὐκ ἐκοινώνησεν, ἀλλὰ, τοῦ συνάψαντος τὸν κίνδυνον ἐγκαταλιπόντος, αὐτὸς ἑσὼς καὶ μαχόμενος τοῖς πολεμίοις ἐτελεύτησε. Τούτου θυγάτηρ μὲν Αἰμιλία Σκιπίωνι τῷ μεγάλῳ συνῴκησεν· υἱὸς δὲ Παῦλος Αἰμίλιος, περὶ οὗ τάδε γράφεται, γεγονὼς ἐν ἡλικίᾳ κατὰ καιρὸν ἀνθοῦντα δόξαις καὶ ἀρεταῖς ἐπιφανεσάτων ἀνδρῶν καὶ μεγίστων, διέλαμψεν, οὐ ταὐτὰ τοῖς εὐδοκιμοῦσι τότε νέοις ἐπιτηδεύματα ζηλώσας, οὐδὲ τὴν αὐτὴν ὁδὸν ἀπ' ἀρχῆς πορευθείς. Οὔτε γὰρ λόγον ἤσκει περὶ δίκας, ἀσπασμούς τε καὶ δεξιώσεις καὶ φιλοφροσύνας, αἷς ὑποτρέχοντες οἱ πολλοὶ τὸν δῆμον ἐκτῶντο, θεραπευτικοὶ καὶ σπουδαῖοι λεγόμενοι, παντάπασιν ἐξέλιπε, πρὸς οὐδέτερον ἀφυῶς ἔχων, ὡς δ' ἑκατέρου κρείττονα τὴν ἀπ' ἀνδρείας καὶ δικαιοσύνης καὶ πίστεως δόξαν αὑτῷ περιποιούμενος, οἷς εὐθὺς διέφερε τῶν καθ' ἡλικίαν.

γ. Πρώτην γοῦν τῶν ἐπιφανῶν ἀρχῶν ἀγορανομίαν μετελθὼν, προεκρίθη δέκα δυεῖν ἀνδρῶν συναπογραψαμένων, οὓς ὕστερον ἅπαντας ὑπατεῦσαι λέγουσι. Γενόμενος δ' ἱερεὺς, τῶν Αὐγούρων προσαγορευομένων, οὓς τῆς ἀπ' ὀρνίθων καὶ διοσημειῶν ἀποδεικνύουσι Ῥωμαῖοι μαντικῆς ἐπισκόπους καὶ φύλακας, οὕτω προσέσχε τοῖς πατρῴοις ἔθεσι, καὶ κατενόησε τὴν τῶν παλαιῶν περὶ

τὸ θεῖον εὐλάβειαν, ὥςε τιμήν τινα δοκοῦσαν εἶναι, καὶ ζηλουμένην ἄλλως ἕνεκα δόξης, τὴν ἱερωσύνην, τῶν ἀκροτάτων μίαν ἀποφῆναι τεχνῶν, καὶ μαρτυρῆσαι τοῖς φιλοσόφοις, ὅσοι τὴν εὐσέβειαν ὡρίσαντο θεραπείας θεῶν ἐπιςήμην εἶναι. Πάντα γὰρ ἐδρᾶτο μετ' ἐμπειρίας ὑπ' αὐτοῦ καὶ σπουδῆς, σχολὴν τῶν ἄλλων ἄγοντος, ὅτε γίγνοιτο πρὸς τούτῳ, καὶ παραλείποντος οὐδέν, οὐδὲ καινοτομοῦντος, ἀλλὰ καὶ τοῖς συνιερεῦσιν ἀεὶ καὶ περὶ τῶν μικρῶν διαφερομένου, καὶ διδάσκοντος, ὡς εἰ τὸ θεῖον εὔκολόν τις ἡγεῖται καὶ ἀμεμφὲς εἶναι τῶν ἀμελειῶν, ἀλλὰ τῇ γε πόλει χαλεπὸν ἡ περὶ ταῦτα συγγνώμη καὶ παρόρασις. Οὐδεὶς γὰρ ἐξ ἀρχῆς εὐθὺς μεγάλῳ παρανομήματι κινεῖ πολιτείαν, ἀλλὰ καὶ τὴν τῶν μειζόνων φρουρὰν καταλύουσιν οἱ προϊέμενοι τὴν ἐν τοῖς μικροῖς ἀκρίβειαν. Ὅμοιον δὲ καὶ τῶν στρατιωτικῶν ἐθῶν τε καὶ πατρίων ἐξέτασιν καὶ φύλακα παρεῖχεν ἑαυτόν, οὐ δημαγωγῶν ἐν τῷ στρατηγεῖν, οὐδ', ὥσπερ οἱ πλεῖστοι τότε, δευτέρας ἀρχὰς ταῖς πρώταις μνώμενος διὰ τοῦ χαρίζεσθαι, καὶ πρᾶος εἶναι τοῖς ἀρχομένοις, ἀλλ', ὥσπερ ἱερεὺς ἄλλων ὀργίων δεινῶν, τῶν περὶ τὰς στρατείας ἐθῶν ἐξηγούμενος ἔκαςα, καὶ φοβερὸς ὢν τοῖς ἀπειθοῦσι καὶ παραβαίνουσιν, ὥρθου τὴν πατρίδα, μικροῦ δεῖν πάρεργον ἡγούμενος τὸ νικᾶν τοὺς πολεμίους τοῦ παιδεύειν τοὺς πολίτας.

Δ. Συςάντος δὲ τοῦ πρὸς Ἀντίοχον τὸν μέγαν πολέμου τοῖς Ῥωμαίοις, καὶ τῶν ἡγεμονικωτάτων ἀνδρῶν τεταραγμένων πρὸς ἐκεῖνον, ἄλλος ἀπὸ τῆς ἑσπέρας ἀνέςη πόλεμος, ἐν Ἰβηρίᾳ κινημάτων μεγάλων γινομένων. Ἐπὶ τοῦτον ὁ Αἰμίλιος ἐξεπέμφθη στρατηγὸς, οὐχ ἓξ ἔχων πελέκεις, ὅσους ἔχουσιν οἱ στρατηγοῦντες, ἀλλὰ προσλαβὼν ἑτέρους τοσούτους, ὥςε τῆς ἀρχῆς ὑπατικὸν γενέσθαι τὸ ἀξίωμα. Μάχῃ μὲν οὖν δὶς ἐκ παρατάξεως ἐνίκησε τοὺς βαρβάρους, περὶ τρισμυρίους ἀνελών. Καὶ δοκεῖ τὸ κατόρθωμα τῆς στρατηγίας περιφανῶς γενέσθαι, χωρίων εὐφυΐᾳ, καὶ

ποταμοῦ τινος διαβάσει ῥαχώνην παρασχόντος αὐτοῦ πρὸς τὸ νίκημα τοῖς στρατιώταις. Πόλεις δὲ πεντήκοντα καὶ διακοσίας ἐχειρώσατο δεξαμένας αὐτὸν ἑκουσίως. Ἐνειρήνῃ δὲ καὶ πίστει συνηρμοσμένην ἀπολιπὼν τὴν ἐπαρχίαν, εἰς Ῥώμην ἐπανῆλθεν, οὐδὲ δραχμῇ μιᾷ γεγονὼς εὐπορώτερος ἀπὸ τῆς στρατείας. Ἦν δὲ καὶ περὶ τἄλλα χρηματιστὴς ἀργότερος, εὐδάπανος δὲ καὶ ἀφειδὴς ἐκ τῶν ὑπαρχόντων. Οὐ πολλὰ δ' ἦν, ἀλλὰ καὶ φερνῆς ὀφειλομένης τῇ γυναικί, μετὰ τὸν θάνατον αὐτοῦ, γλίσχρως ἐξήρκεσεν.

Ε. Ἔγημε δὲ Παπιρίαν, ἀνδρὸς ὑπατικοῦ Μάσωνος θυγατέρα, καὶ χρόνον συνοικήσας πολὺν, ἀφῆκε τὸν γάμον, καίπερ ἐξ αὐτῆς καλλιτεκνότατος γενόμενος. Αὕτη γὰρ ἦν ἡ τὸν κλεινότατον αὐτῷ Σκηπίωνα τεκοῦσα καὶ Μάξιμον Φάβιον. Αἰτία δὲ γεγραμμένη τῆς διαστάσεως οὐκ ἦλθεν εἰς ἡμᾶς, ἀλλ' ἔοικεν ἀληθής τις εἶναι λόγος περὶ γάμου λύσεως γενόμενος· ὡς ἀνὴρ Ῥωμαῖος ἀπεπέμπετο γυναῖκα· τῶν δὲ φίλων νουθετούντων αὐτὸν « Οὐχὶ σώφρων; οὐκεὔμορφος; οὐχὶ παιδοποιός; » προτείνας τὸ ὑπόδημα (Κάλτιον αὐτὸ Ῥωμαῖοι καλοῦσιν), εἶπεν· « Οὐκ εὐπρεπὴς οὗτος; οὐ νεουργής; ἀλλ' οὐκ ἂν εἰδείη τις ὑμῶν, καθ' ὅ τι θλίβεται μέρος οὑμὸς πούς. » Τῷ γὰρ ὄντι μεγάλαι μὲν ἁμαρτίαι ἀναπεπταμέναι γυναῖκας ἀνδρῶν ἄλλας (οὐκ) ἀπήλλαξαν· ταῖς δ', ἔκτινος ἀηδίας, καὶ δυσαρμοστίας ἠθῶν, μικρὰ καὶ πυκνὰ προσκρούματα, λανθάνοντα τοὺς ἄλλους, ἀπεργάζεται τὰς ἀνηκέστους ἐν ταῖς συμβιώσεσιν ἀλλοτριότητας. Οὕτω δ' οὖν Αἰμίλιος ἀπαλλαγεὶς τῆς Παπιρίας, ἑτέραν ἠγάγετο, καὶ δύο παῖδας ἄῤῥενας τεκούσης, τούτους μὲν ἐπὶ τῆς οἰκίας εἶχε, τοὺς δὲ προτέρους εἰσεποίησεν οἴκοις τοῖς μεγίστοις καὶ γένεσι τοῖς ἐπιφανεστάτοις· τὸν μὲν πρεσβύτερον τῷ Μαξίμου Φαβίου τοῦ πεντάκις ὑπατεύσαντος, τὸν δὲ νεώτερον Ἀφρικανοῦ Σκηπίωνος υἱὸς, ἀνεψιὸν ὄντα, θέμενος, Σκηπίωνα προσηγόρευσε. Τῶν δὲ θυγατέρων

τῶν Αἰμιλίου τὴν μὲν ὁ Κάτωνος υἱὸς ἔγημεν, τὴν δ' Αἴλιος Τουβέρων, ἀνὴρ ἄριστος, καὶ μεγαλοπρεπέστατα Ῥωμαίων πενίᾳ χρησάμενος. Ἦσαν γὰρ ἑκκαίδεκα συγγενεῖς, Αἴλιοι πάντες· οἰκίδιον δὲ πάνυ μικρὸν ἦν αὐτοῖς, καὶ χωρίον ἐν ἤρκει πᾶσι, μίαν ἑστίαν νέμουσι μετὰ παίδων πολλῶν καὶ γυναικῶν. Ἐν αἷς καὶ ἡ Αἰμιλίου τοῦδε θυγάτηρ ἦν δὶς ὑπατεύσαντος καὶ δὶς θριαμβεύσαντος, οὐκ αἰσχυνομένη τὴν πενίαν τοῦ ἀνδρὸς, ἀλλὰ θαυμάζουσα τὴν ἀρετήν, δι' ἣς πένης ἦν. Οἱ δὲ νῦν ἀδελφοὶ καὶ συγγενεῖς, ἂν μὴ κλίμασι καὶ ποταμοῖς καὶ διατειχίσμασιν ὁρίσωσι τὰ κοινὰ, καὶ πολλὴν εὐρυχωρίαν ἐν μέσῳ λάβωσιν ἀπ' ἀλλήλων, οὐ παύονται διαφερόμενοι. Ταῦτα μὲν οὖν ἱστορία λογίζεσθαι καὶ παρεπισκοπεῖν δίδωσι τοῖς σώζεσθαι βουλομένοις.

ς. Ὁ δ' Αἰμίλιος ὕπατος ἀποδειχθεὶς, ἐστράτευσεν ἐπὶ τοὺς παραλπίους Λίγυας, οὓς ἔνιοι καὶ Λιγυστίνους ὀνομάζουσι, μάχιμον καὶ θυμοειδὲς ἔθνος, ἐμπείρως δὲ πολεμεῖν διδασκόμενον ὑπὸ Ῥωμαίων, διὰ τὴν γειτνίασιν. Τὰ γὰρ ἔσχατα τῆς Ἰταλίας, καὶ καταλήγοντα πρὸς τὰς Ἄλπεις, αὐτῶν τε τῶν Ἄλπεων τὰ κλυζόμενα τῷ Τυρρηνικῷ πελάγει, καὶ πρὸς τὴν Λιβύην ἀνταίροντα νέμονται, μεμιγμένοι Γαλάταις καὶ τοῖς παραλίοις Ἰβήρων. Τότε δὲ καὶ τῆς θαλάσσης ἁψάμενοι σκάφεσι πειρατικοῖς, ἁρπροῦντο καὶ περιέκοπτον τὰς ἐμπορίας, ἄχρι στηλῶν Ἡρακλείων ἀναπλέοντες. Ἐπιόντος οὖν τοῦ Αἰμιλίου, τετρακισμύριοι γενόμενοι τὸ πλῆθος ὑπέστησαν· ὁ δὲ τοὺς σύμπαντας ὀκτακισχιλίους ἔχων, πενταπλασίοις οὖσιν αὐτοῖς συνέβαλε, καὶ τρεψάμενος, καὶ κατακλείσας εἰς τὰ τείχη, διέδωκε λόγον φιλάνθρωπον καὶ συμβατικόν. Οὐ γὰρ ἦν βουλομένοις τοῖς Ῥωμαίοις παντάπασιν ἐκκόψαι τὸ Λιγύων ἔθνος, ὥσπερ ἕρκος, ἢ πρόβολον, ἐμποδὼν κείμενον τοῖς Γαλατικοῖς κινήμασιν ἐπαιωρουμένοις ἀεὶ περὶ τὴν Ἰταλίαν. Πιστεύσαντες οὖν τῷ Αἰμιλίῳ, τάς τε ναῦς καὶ τὰς πόλεις ἐνεχείρισαν. Ὁ δὲ, τὰς μὲν πόλεις οὐδὲν ἀδικήσας, ἢ μόνον τὰ

τείχη περιελὼν, ἀπέδωκε· τὰς δὲ ναῦς ἁπάσας ἀφείλετο, καὶ πλοῖον οὐδὲν αὐτοῖς τρισκάλμου μεῖζον ἀπέλιπε· τοὺς δ' ἡλωκότας ὑπ' αὐτῶν κατὰ γῆν, ἢ κατὰ θάλατταν ἀνεσώσατο, πολλοὺς ξένους καὶ Ῥωμαίους εὑρεθέντας. Ἐκείνη μὲν οὖν ἡ ὑπατεία τὰς εἰρημένας πράξεις ἐπιφανεῖς ἔσχεν. Ὕστερον δὲ πολλάκις ποιήσας φανερὸν αὐτὸν αὖθις ὑπατεῦσαι βουλόμενον, καί ποτε καὶ παραγγείλας, ὡς ἀπέτυχε καὶ παρώφθη, τὸ λοιπὸν ἡσυχίαν εἶχε, τῶν ἱερῶν ἐπιμελούμενος, καὶ τοὺς παῖδας ἀσκῶν τὴν μὲν ἐπιχώριον παιδείαν καὶ πάτριον, ὥσπερ αὐτὸς ἤσκητο, τὴν δ' Ἑλληνικὴν, φιλοτιμότερον. Οὐ γὰρ μόνον γραμματικοὶ καὶ σοφισταὶ, καὶ ῥήτορες, ἀλλὰ καὶ πλάσαι, καὶ ζωγράφοι, καὶ πώλων καὶ σκυλάκων ἐπισάται, καὶ διδάσκαλοι θήρας, Ἕλληνες ἦσαν περὶ τοὺς νεανίσκους. Ὁ δὲ πατὴρ, εἰ μή τι δημόσιον ἐμποδὼν εἴη, παρῆν ἀεὶ μελετῶσι καὶ γυμναζομένοις, φιλοτεκνότατος Ῥωμαίων γενόμενος.

Ζ. Τῶν δὲ δημοσίων πράξεων καιρὸς ἦν ἐκεῖνος τότε, καθ' ὃν Περσεῖ τῷ Μακεδόνων βασιλεῖ πολεμοῦντες, ἐν αἰτίαις τοὺς στρατηγοὺς εἶχον, ὡς δι' ἀπειρίαν καὶ ἀτολμίαν αἰσχρῶς καὶ καταγελάστως τοῖς πράγμασι χρωμένους, καὶ πάσχοντας κακῶς μᾶλλον, ἢ ποιοῦντας. Ἄρτι μὲν γὰρ Ἀντίοχον τὸν ἐπικληθέντα Μέγαν, εἴξαντα τῆς ἄλλης Ἀσίας, ὑπὲρ τὸν Ταῦρον ἐκβαλόντες καὶ κατακλείσαντες εἰς Συρίαν, ἐπὶ μυρίοις καὶ πεντακισχιλίοις ταλάντοις ἀγαπήσαντα τὰς διαλύσεις· ὀλίγῳ δὲ πρόσθεν ἐν Θεσσαλίᾳ συντρίψαντες Φίλιππον, καὶ τοὺς Ἕλληνας ἀπὸ Μακεδόνων ἐλευθερώσαντες· ᾧ τε βασιλεὺς οὐδεὶς παραβλητὸς εἰς τόλμαν, ἢ δύναμιν, Ἀννίβαν καταπολεμήσαντες· οὐκ ἀνεκτὸν ἡγοῦντο, Περσεῖ, καθάπερ ἀντιπάλῳ τῆς Ῥώμης, ἴσον φερόμενοι συμπεπλέχθαι, πολὺν ἤδη χρόνον ἀπὸ τῶν λειψάνων τῆς πατρῴας ἥττης πολεμοῦντι πρὸς αὐτούς· ἀγνοοῦντες, ὅτι πολλῷ τὴν Μακεδόνων δύναμιν ἡττηθεὶς Φίλιππος ἐῤῥωμενεστέραν καὶ μα-

ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣ. ΑΥΤΟΚΡ. ΒΙΒΛΙΟΘΗΚΗΣ

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

χιμωτέραν ἐποίησε. Περὶ ὧν δίειμι βραχέως, ἄνωθεν ἀρξάμενος.

Η. Ἀντίγονος μέγιστον δυνηθεὶς τῶν Ἀλεξάνδρου διαδόχων καὶ στρατηγῶν, κτησάμενος ἑαυτῷ καὶ γένει τὴν τοῦ βασιλέως προσηγορίαν, υἱὸν ἔσχε Δημήτριον, οὗ παῖς Ἀντίγονος ἦν, ὁ Γονατᾶς ἐπονομασθείς. Τούτου δὲ Δημήτριος· ὃς αὐτός τε βασιλεύσας χρόνον οὐ πολὺν, υἱόντε παῖδα τὴν ἡλικίαν ἀπολιπὼν Φίλιππον, ἐτελεύτησε. Λείσαντες δὲ τὴν ἀναρχίαν, οἱ πρῶτοι Μακεδόνων, Ἀντίγονον ἐπάγονται, τοῦ τεθνηκότος ἀνεψιὸν ὄντα, καὶ συνοικίσαντες αὐτῷ τὴν μητέρα τοῦ Φιλίππου, πρῶτον μὲν ἐπίτροπον καὶ στρατηγὸν, εἶτα, πειρώμενοι μετρίου καὶ κοινωφελοῦς, βασιλέα προσηγόρευσαν. Ἐπεκλήθη δὲ Δώσων, ὡς ἐπαγγελτικὸς μὲν, οὐ τελεσιουργὸς δὲ τῶν ὑποσχέσεων. Μετὰ τοῦτον βασιλεύσας ὁ Φίλιππος, ἤνθησεν ἐν τοῖς μάλιστα τῶν βασιλέων, ἔτι μειράκιον ὢν, καὶ δόξαν ἔσχεν, ὡς ἀναστήσων Μακεδονίαν εἰς τὸ παλαιὸν ἀξίωμα, καὶ μόνος ἐπὶ πάντας ἤδη τὴν Ῥωμαίων δύναμιν αἰρομένην καθέξων. Ἡττηθεὶς δὲ μεγάλῃ μάχῃ περὶ Σκοτοῦσσαν ὑπὸ Τίτου Φλαμινίνου, τότε μὲν ἔπτηξε, καὶ πάντα τὰ καθ' ἑαυτὸν ἐπέτρεψε Ῥωμαίοις, καὶ τυχὼν ἐπιτιμήσεως μετρίας ἠγάπησεν. Ὕστερον δὲ βαρέως φέρων, καὶ τὸ βασιλεύειν χάριτι Ῥωμαίων, ἡγούμενος αἰχμαλώτου τρυφὴν ἀγαπῶντος εἶναι μᾶλλον, ἢ φρόνημα καὶ θυμὸν ἔχοντος ἀνδρὸς, ἐπεῖχε τῷ πολέμῳ τὴν γνώμην, καὶ συνετάττετο λάθρα καὶ πανούργως. Τῶν γὰρ πόλεων τὰς ἐνοδίους καὶ παραθαλαττίους, ἀσθενεῖς γενομένας περιορῶν καὶ ὑπερήμους, ὡς καταφρονεῖσθαι, πολλὴν ἄνω συνῆγε δύναμιν, καὶ τὰ μεσόγεια χωρία καὶ φρούρια καὶ πόλεις ὅπλων καὶ χρημάτων πολλῶν καὶ σωμάτων ἀκμαζόντων ἐμπεπληκὼς, ἐσωμάσκει τὸν πόλεμον, καὶ συνεῖχεν ὥσπερ ἐγκεκρυμμένον ἀδήλως. Ὅπλων μὲν γὰρ ἀργούντων ἀπέκειντο τρεῖς μυριάδες· ὁκτακόσιαι δὲ σίτου μεδίμνων ἦσαν ἐγκατῳκοδομημένου τοῖς τείχεσι· χρημάτων δὲ πλῆθος, ὅσον ἤρκει μισθοφόρους ἔτη δέκα μυρίους

τρέφειν προπολεμοῦντας τῆς χώρας. Ἀλλ' ἐκεῖνος μὲν οὐκ ἔρθη ταῦτα κινῆσαι καὶ προαγαγεῖν εἰς ἔργον, ὑπὸ λύπης καὶ δυσθυμίας προέμενος τὸν βίον. Ἔγνω γὰρ ἀδίκως τὸν ἕτερον τῶν υἱῶν, Δημήτριον, ἐκ διαβολῆς τοῦ χείρονος ἀνῃρηκώς. Ὁ δ' ὑπολειπόμενος υἱὸς αὐτοῦ, Περσεύς, ἅμα τῇ βασιλείᾳ διεδέξατο τὴν πρὸς Ῥωμαίους ἔχθραν, οὐκ ὢν ἐχέγγυος ἐνεγκεῖν διὰ μικρότητα καὶ μοχθηρίαν ἤθους, ἐν ᾧ παθῶν τε παντοδαπῶν καὶ νοσημάτων ἐνόντων, ἐπρώτευεν ἡ φιλαργυρία. Λέγεται δὲ μηδὲ γνήσιος ῥῦναι, λαβεῖν δ' αὐτὸν ἡ συνοικοῦσα τῷ Φιλίππῳ νεογνόν, ἀκεσρίας τινὸς Ἀργολικῆς, Γναθαινίας τοὔνομα, τεκούσης, καὶ λαθεῖν ὑποβαλομένη. Δι' ὃ καὶ μάλιστα δοκεῖ τὸν Δημήτριον φοβηθεὶς ἀποκτεῖναι, μὴ γνήσιον ἔχων ὁ οἶκος διάδοχον, ἀποκαλύψῃ τὴν ἐκείνου νοθείαν.

Θ. Οὐ μὴν ἀλλὰ, καίπερ ὢν ἀγεννὴς καὶ ταπεινὸς, ὑπὸ ῥώμης τῶν πραγμάτων ἀναφερόμενος πρὸς τὸν πόλεμον ἔσῃ, καὶ διηρείσατο πολὺν χρόνον, ἡγεμόνας τε Ῥωμαίων ὑπατικοὺς καὶ στρατεύματα καὶ στόλους μεγάλους ἀποτριψάμενος, ἐνίων δὲ καὶ κρατήσας. Πόπλιόν τε γὰρ Λικίννιον, ἐμβαλόντα πρῶτον εἰς Μακεδονίαν, τρεψάμενος ἱππομαχίᾳ, δισχιλίους πεντακοσίους ἄνδρας ἀγαθοὺς ἀπέκτεινε, καὶ ζῶντας ἄλλους ἑξακοσίους ἔλαβε. Τοῦ δὲ ναυσάθμου περὶ Ὠρεὸν ὁρμοῦντος, ἀπροσδόκητον ἐπίπλουν θέμενος, εἴκοσι μὲν αὐτοφόρτους ὁλκάδας ἐχειρώσατο, τὰς δ' ἄλλας σίτου γεμούσας κατέδυσεν· ἐκράτησε δὲ καὶ πεντηρικὰ τέσσαρα. Καὶ μάχην ἐπολέμησε τὸ δεύτερον, ἐν ᾗ τὸν ὑπατικὸν Ὁστίλιον ἀπεκρούσατο, καταβιαζόμενον κατὰ τὰς Ἐλιμίας· λάθρα δὲ διὰ Θεσσαλίας ἐμβαλόντα προκαλούμενος εἰς μάχην, ἐφόβησε· Πάργον δὲ τοῦ πολέμου στρατείαν ἐπὶ Δαρδανεῖς θέμενος ὡς δὴ τοὺς Ῥωμαίους ὑπερορῶν καὶ σχολάζων, μυρίους τῶν βαρβάρων κατέκοψε, καὶ λείαν ἠλάσατο πολλήν. Ὑπεκίνει δὲ καὶ Γαλάτας τοὺς περὶ τὸν Ἴστρον ᾠκημένους, οἳ Βαστάρναι καλοῦν-

ται, στρατὸν ἱππότην καὶ μάχιμον· Ἰλλυριούς τε διὰ Γενθίου τοῦ βασιλέως παρεκάλει συνεφάψασθαι τοῦ πολέμου. Καὶ λόγος κατέσχεν, ὡς τῶν βαρβάρων μισθῷ πεπεισμένων ὑπ' αὐτοῦ, διὰ τῆς κάτω Γαλατίας παρὰ τὸν Ἀδρίαν ἐμβαλεῖν εἰς τὴν Ἰταλίαν.

1. Ταῦτα τοῖς Ῥωμαίοις πυνθανομένοις, ἐδόκει, τὰς τῶν στρατηγιῶν χάριτας καὶ παραγγελίας ἐάσαντας, *αὐτοὺς* καλεῖν ἐπὶ τὴν ἡγεμονίαν ἄνδρα νοῦν ἔχοντα, καὶ πράγμασι χρῆσθαι μεγάλοις ἐπισάμενον. Οὗτος ἦν Παῦλος Αἰμίλιος, ἡλικίας μὲν ἤδη πρόσω, καὶ περὶ ἑξήκοντα γεγονὼς ἔτη, ῥώμῃ δὲ σώματος ἀκμάζων, πεφραγμένος δὲ κηδεσταῖς καὶ παισὶ νεανίαις, καὶ φίλων πλήθει καὶ συγγενῶν μέγα δυναμένων, οἳ πάντες αὐτὸν ὑπακοῦσαι καλοῦντι τῷ δήμῳ πρὸς τὴν ὑπατείαν ἔπειθον. Ὁ δὲ κατ' ἀρχὰς μὲν ἐθρύπτετο πρὸς τοὺς πολλούς, καὶ διέκλινε τὴν σπουδήν, ὡς μὴ δεόμενος τοῦ ἄρχειν· φοιτώντων δὲ καθ' ἡμέραν ἐπὶ θύρας, καὶ προκαλουμένων αὐτὸν εἰς ἀγοράν, καὶ καταβοώντων, ἐπείσθη· καὶ φανεὶς εὐθὺς ἐν τοῖς μετιοῦσι τὴν ὑπατείαν, ἔδοξεν οὐκ ἀρχὴν λήψόμενος, ἀλλὰ νίκην καὶ κράτος πολέμου κομίζων, καὶ διδοὺς τοῖς πολίταις, καταβαίνειν εἰς τὸ πεδίον. Μετὰ τοσαύτης ἐλπίδος καὶ προθυμίας ἐδέξαντο πάντες αὐτὸν, καὶ κατέστησαν ὕπατον τὸ δεύτερον, οὐκ ἐάσαντες κλῆρον γενέσθαι, καθάπερ εἰώθει περὶ τῶν ἐπαρχιῶν, ἀλλ' εὐθὺς ἐκείνῳ ψηφισάμενοι τοῦ Μακεδονικοῦ πολέμου τὴν ἡγεμονίαν. Λέγεται δ' αὐτὸν, ὡς ἀνηγορεύθη κατὰ τοῦ Περσέως στρατηγὸς ὑπὸ τοῦ δήμου παντὸς, οἴκαδε προπεμφθέντα λαμπρῶς, εὑρεῖν τὸ θυγάτριον τὴν Τερτίαν δεδακρυμένην, ἔτι παιδίον οὖσαν· ἀσπαζόμενον οὖν αὐτὴν, ἐρωτᾷν ἐφ' ὅτῳ λελύπηται. Τὴν δὲ, περιβαλοῦσαν καὶ καταφιλοῦσαν· Οὐ γὰρ οἶσθα, εἰπεῖν, ὦ πάτερ, ὅτι ἡμῖν ὁ Περσεὺς τέθνηκε; λέγουσαν κυνίδιον σύντροφον, οὕτω προσαγορευόμενον. Καὶ τὸν Αἰμίλιον· Ἀγαθῇ τύχῃ, φάναι, ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν.

Ταῦτα μὲν οὖν Κικέρων ὁ ῥήτωρ ἐν τοῖς περὶ μαντικῆς ἱστόρηκεν.

ΙΑ. Εἰωθότων δὲ τῶν ὑπατείαν λαβόντων, οἷον ἀνθομολογεῖσθαι τινὰ χάριν, καὶ προσαγορεύειν φιλοφρόνως τὸν δῆμον ἀπὸ τοῦ βήματος, Αἰμίλιος εἰς ἐκκλησίαν συναγαγὼν τοὺς πολίτας, τὴν μὲν προτέραν ὑπατείαν μετελθεῖν ἔφη αὐτὸς ἀρχῆς δεόμενος, τὴν δὲ δευτέραν, ἐκείνων στρατηγοῦ δεομένων. Δι' ὃ μηδεμίαν αὐτοῖς χάριν ἔχειν· ἀλλ', εἰ (μὲν) νομίζουσι δι' ἑτέρου βέλτιον ἔξειν τὰ κατὰ τὸν πόλεμον, ἐξίστασθαι τῆς ἡγεμονίας· εἰ δὲ πιστεύουσιν αὐτῷ, μὴ παραστρατηγεῖν, μηδὲ λογοποιεῖν, ἀλλ' ὑπουργεῖν σιωπῇ τὰ δέοντα πρὸς τὸν πόλεμον, ὡς, ἐὰν ἄρχοντος ἄρχειν ζητῶσιν, ἔτι μᾶλλον, ἢ νῦν, καταγελάσους ἐν ταῖς στρατείαις ἐσομένους. Ἀπὸ τούτων τῶν λόγων πολλὴν μὲν αἰδῶ πρὸς αὐτὸν ἐνεποίησε τοῖς πολίταις, μεγάλην δὲ προσδοκίαν τοῦ μέλλοντος, ἡδομένων ἁπάντων, ὅτι τοὺς κολακεύοντας παρελθόντες, εἵλοντο παῤῥησίαν ἔχοντα καὶ φρόνημα στρατηγόν. Οὕτως ἐπὶ τῷ κρατεῖν καὶ μέγιστος εἶναι τῶν ἄλλων ἀρετῆς καὶ τοῦ καλοῦ δοῦλος ἦν ὁ Ῥωμαίων δῆμος.

ΙΒ. Αἰμίλιον δὲ Παῦλον, ὡς ἐξώρμησεν ἐπὶ τὴν στρατείαν, πλοῦ μὲν εὐτυχίᾳ καὶ ῥᾳστώνῃ χρήσασθαι πορείας κατὰ δαίμονα τίθημι, σὺν τάχει καὶ μετ' ἀσφαλείας εἰς τὸ στρατόπεδον κομισθέντα. Τοῦ δὲ πολέμου καὶ τῆς στρατηγίας αὐτοῦ, τὸ μὲν τόλμης ὀξύτητι, τὸ δὲ βουλεύμασι χρηστοῖς, τὸ δὲ φίλων ἐκθύμοις ὑπηρεσίαις, τὸ δὲ τῷ παρὰ τὰ δεινὰ θαῤῥεῖν καὶ χρῆσθαι λογισμοῖς ἀραρόσιν, ὁρῶν διαπεπραγμένον, οὐκ ἔχω τῇ λεγομένῃ τοῦ ἀνδρὸς εὐτυχίᾳ λαμπρὸν ἀποδοῦναι καὶ διάσημον ἔργον, οἷον ἑτέρων στρατηγῶν. Εἰ μήτις ἄρα τὴν Περσέως φιλαργυρίαν Αἰμιλίῳ τύχην ἀγαθὴν περὶ τὰ πράγματα γενέσθαι φησὶν, ἢ λαμπρὰ καὶ μεγάλα πρὸς τὸν πόλεμον ἀρθέντα ταῖς ἐλπίσι τὰ Μακεδόνων ἀνέτρεψε καὶ κατέβαλε, πρὸς ἀργύριον ἀποδειλιάσαντος.

Ἦκον μὲν γὰρ αὐτῷ δεηθέντι Βαστάρναι, μύριοι μὲν ἱππεῖς, μύριοι δὲ παραβάται, μισθοφόροι πάντες, ἄνδρες οὐ γεωργεῖν εἰδότες, οὐ πλεῖν, οὐκ ἀπὸ ποιμνίων ζῆν νέμοντες, ἀλλ' ἓν ἔργον καὶ μίαν τέχνην μελετῶντες, ἀεὶ μάχεσθαι καὶ κρατεῖν τῶν ἀντιτατταμένων. Ὡς δὲ περὶ τὴν Μηδικὴν καταστρατοπεδεύσαντες ἐπεμίγνυντο τοῖς παρὰ τοῦ βασιλέως, ἄνδρες ὑψηλοὶ μὲν τὰ σώματα, θαυμαστοὶ δὲ τὰς μελέτας, μεγάλαυχοι δὲ καὶ λαμπροὶ ταῖς κατὰ τῶν πολεμίων ἀπειλαῖς, θάρσος παρέσχησαν τοῖς Μακεδόσι καὶ δόξαν, ὡς τῶν Ῥωμαίων οὐχ ὑπομενούντων, ἀλλ' ἐκπλαγησομένων τὴν ὄψιν αὐτὴν καὶ τὴν κίνησιν, ἔκφυλον οὖσαν καὶ δυσπρόσοπτον. Οὕτω διαθεὶς τοὺς ἀνθρώπους ὁ Περσεὺς, καὶ τοιούτων ἐμπλήσας ἐλπίδων, αἰτούμενος καθ' ἕκαστον ἡγεμόνα χιλίους, πρὸς τὸ γιγνόμενον τοῦ χρυσίου πλῆθος ἐλιγγιάσας καὶ παραφρονήσας, ὑπὸ μικρολογίας ἀπείπατο καὶ προήκατο τὴν συμμαχίαν ὥσπερ οἰκονομῶν, οὐ πολεμῶν Ῥωμαίοις, καὶ λογισμὸν ἀποδώσων ἀκριβῆ τῆς εἰς τὸν πόλεμον δαπάνης οἷς ἐπολέμει· καίτοι διδασκάλους εἶχεν ἐκείνους, οἷς ἄνευ τῆς ἄλλης παρασκευῆς στρατιωτῶν δέκα μυριάδες ἦσαν ἠθροισμέναι καὶ παρεσῶσαι ταῖς χρείαις. Ὁ δὲ πρὸς δύναμιν ἀνταίρων τηλικαύτην καὶ πόλεμον, οὗ τοσοῦτον ἦν τὸ παρατρεφόμενον, διεμέτρει καὶ παρεσημαίνετο τὸ χρυσίον, ἅψασθαι δεδιὼς, ὥσπερ ἀλλοτρίου. Καὶ ταῦτ' ἔπραττεν οὐ Λυδῶν τις, οὐδὲ Φοινίκων γεγονὼς, ἀλλὰ τῆς Ἀλεξάνδρου καὶ Φιλίππου κατὰ συγγένειαν ἀρετῆς μεταποιούμενος, οἳ τῷ τὰ πράγματα τῶν χρημάτων ὠνητὰ, μὴ τὰ χρήματα τῶν πραγμάτων ἡγεῖσθαι, πάντων ἐκράτησαν. Ἐῤῥέθη γοῦν, ὅτι τὰς πόλεις αἱρεῖ τῶν Ἑλλήνων οὐ Φίλιππος, ἀλλὰ τὸ Φιλίππου χρυσίον. Ἀλέξανδρος δὲ τῆς ἐπ' Ἰνδοὺς στρατείας ἁπτόμενος, καὶ βαρὺν ὁρῶν καὶ δύσογκον ἤδη τὸν Περσικὸν ἐφελκόμενον πλοῦτον τοὺς Μακεδόνας, πρώτας ὑπέπρησε τὰς βασιλικὰς ἁμάξας, εἶτα τοὺς ἄλλους ἔπεισε ταὐτὸ ποιήσαντας ἐλα-

φρους ἀναζεῦξαι πρὸς τὸν πόλεμον, ὥσπερ λελυμένους. Περσεὺς δὲ τὸν χρυσὸν αὐτὸς αὑτοῦ τέκνων καὶ βασιλείας καταχεάμενος, οὐκ ἠθέλησε δι' ὀλίγων σωθῆναι χρημάτων, ἀλλὰ μετὰ πολλῶν κομισθεὶς ὁ πλούσιος αἰχμάλωτος, ἐπιδείξασθαι Ῥωμαίοις, ὅσα φεισάμενος ἐτήρησεν αὐτοῖς.

ΙΓ. Οὐ γὰρ μόνον ἀπέπεμψε τοὺς Γαλάτας ψευσάμενος, ἀλλὰ καὶ Γένθιον ἐπάρας τὸν Ἰλλυριὸν ἐπὶ τριακοσίοις ταλάντοις συνεφάψασθαι τοῦ πολέμου, τὰ μὲν χρήματα τοῖς παρ' αὐτοῦ πεμφθεῖσι προὔθηκεν ἠριθμημένα, καὶ κατασημήνασθαι παρέσχεν. Ὡς δὲ πεισθεὶς ἔσχεν ἃ ἤτησεν ὁ Γένθιος ἔργον ἀσεβὲς καὶ δεινὸν ἔδρασε (πρέσβεις γὰρ ἐλθόντας Ῥωμαίων πρὸς αὐτὸν συνέλαβε καὶ κατέδησεν), ἡγούμενος ὁ Περσεὺς οὐδὲν ἔτι δεῖσθαι τῶν χρημάτων τὴν ἐκπολέμωσιν, ἅλυτα τοῦ Γενθίου προδεδωκότος ἔχθρας ἐνέχυρα, καὶ διὰ τηλικαύτης ἀδικίας ἐμβεβληκότος ἑαυτὸν εἰς τὸν πόλεμον, ἀπεχρήσατο τὸν κακοδαίμονα τῶν τριακοσίων ταλάντων, καὶ περιεῖδεν ὀλίγῳ χρόνῳ μετὰ τέκνων καὶ γυναικὸς, ὡς ἀπὸ νεοττιᾶς, ἀρθέντα τῆς βασιλείας, ὑπὸ Λευκίου Ἀνικίου, στρατηγοῦ πεμφθέντος ἐπ' αὐτὸν μετὰ δυνάμεως. Ἐπὶ τοιοῦτον ἀντίπαλον ἐλθὼν ὁ Αἰμίλιος, αὐτοῦ μὲν κατεφρόνει, τὴν δ' ὑπ' αὐτῷ παρασκευὴν καὶ δύναμιν ἐθαύμαζεν. Ἦσαν γὰρ ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δ' εἰς φάλαγγα, τετρακισμυρίων οὐ πολλοῖς ἀποδέοντες. Ἱδρυμένος δὲ πρὸ τῆς θαλάττης, παρὰ τὴν Ὀλυμπικὴν ὑπώρειαν ἐπὶ χωρίων οὐδαμόθεν προσαγωγὴν ἐχόντων, καὶ πάντοθεν ὑπ' αὐτοῦ διαπεφραγμένων ἐρύμασι καὶ προτειχίσμασι ξυλίνοις, πολλὴν ἄδειαν ἦγεν, ἀποτρύσειν χρόνῳ καὶ χρημάτων δαπάνῃ τὸν Αἰμίλιον ἡγούμενος. Ὁ δὲ τῇ γνώμῃ μὲν ἦν ἐνεργὸς, ἐπὶ πᾶν βούλευμα καὶ πᾶσαν τρεπόμενος πεῖραν· ὑπ' ἀδείας δὲ τῆς πρόσθεν τὸν στρατὸν ὁρῶν δυσαναστρεφοῦντα, καὶ λόγῳ πολλὰ διαστρατηγοῦντα τῶν ἀπράκτων, ἐπετίμησεν αὐτοῖς, καὶ παρήγγειλε μηδὲν πολυπραγμονεῖν, μηδὲ φροντίζειν,

ἀλλ' ἢ τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν παναπλίαν ἕκαστον, ὅπως ἐνεργὸν παρέξει, καὶ χρήσεται Ῥωμαϊκῶς τῇ μαχαίρᾳ, τὸν καιρὸν παραδόντος τοῦ στρατηγοῦ. Τὰς δὲ νυκτερινὰς ἐκέλευσε φυλακὰς ἄνευ λόγχης φυλάττειν, ὡς μᾶλλον προσέξοντας καὶ διαμαχουμένους πρὸς τὸν ὕπνον, ἂν ἀμύνασθαι τοὺς πολεμίους μὴ δύνωνται προσιόντας.

ΙΔ. Ἐνοχλουμένων δὲ τῶν ἀνθρώπων μάλιστα περὶ τὴν τοῦ ποτοῦ χρείαν (καὶ γὰρ ὀλίγον καὶ πονηρὸν ἐπίδυε, καὶ συνελείβετο παῤ αὐτὴν τὴν θάλατταν), ὁρῶν ὁ Αἰμίλιος μέγα καὶ κατηρεφὲς δένδρεσιν ὄρος τὸν Ὄλυμπον ἐπικείμενον, καὶ τεκμαιρόμενος τῇ χλωρότητι τῆς ὕλης, ναμάτων ἔχειν ἀρχὰς διὰ βάθους ὑποφερομένων, ἀναπνοὰς αὐτοῖς καὶ φρέατα πολλὰ παρὰ τὴν ὑπώρειαν ὤρυττε. Τὰ δ' εὐθὺς ἐπίμπλατο ῥευμάτων καθαρῶν, ἐπισυνδιδόντων ὁλκῇ καὶ φορᾷ τοῦ θλιβομένου πρὸς τὸ κενούμενον. Καίτοι τινὲς οὔ φασιν ὑδάτων ἑτοίμων κεκρυμμένων πηγὰς ἐναποκεῖσθαι τοῖς τόποις, ἐξ ὧν ῥέουσιν, οὐδ' ἀποκάλυψιν, οὐδὲ ῥῆξιν εἶναι τὴν ἐκβολὴν αὐτῶν, ἀλλὰ γένεσιν καὶ σύγασιν, ἐνταῦθα τῆς ὕλης ἐξυγραινομένης· ἐξυγραίνεσθαι δὲ πυκνότητι καὶ ψυχρότητι τὴν νοτερὰν ἀναθυμίασιν, ὅταν ἐν βάθει καταθλιβεῖσα ῥευστικὴ γένηται. Καθάπερ γὰρ οἱ μαστοὶ τῶν γυναικῶν οὐχ ὥσπερ ἀγγεῖα πλήρεις εἰσὶν ἐπιῤῥέοντος ἑτοίμου γάλακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν ἐν αὑτοῖς, ἐργάζονται γάλα, καὶ διηθοῦσιν· οὕτως οἱ περίψυκτοι καὶ πιδακώδεις τόποι τῆς γῆς ὕδωρ μὲν οὐκ ἔχουσι καλυπτόμενον, οὐδὲ κόλπους ῥεύματα καὶ βάθη ποταμῶν τοσούτων ἐξ ἑτοίμης καὶ ὑποκειμένης ἀφιέντας ἀρχῆς, τὸ δὲ πνεῦμα καὶ τὸν ἀέρα, τῷ πιέζειν καὶ καταπυκνοῦν, ἀποθλίβοντες εἰς ὕδωρ τρέπουσι. Τὰ γοῦν ὀρυττόμενα τῶν χωρίων μᾶλλον ἀναπιδύει καὶ διανάει πρὸς τὴν τοιαύτην ψηλάφησιν, ὥσπερ οἱ μαστοὶ τῶν γυναικῶν πρὸς τὸν θηλασμόν, ἀνυγραίνοντα καὶ μαλάττοντα τὴν ἀναθυμίασιν· ὅσα δ' ἀργὰ τῆς γῆς συμπέφρακται, τυφλὰ πρὸς

γένεσιν ὑδάτων ἐστὶν, οὐκ ἔχοντα τὴν ἐργαζομένην τὸ ὑγρὸν κίνησιν. Οἱ δὲ ταῦτα λέγοντες, ἐπιχειρεῖν δεδώκασι τοῖς ἀπορητικοῖς, ὡς οὐδὲ τὸ αἷμα τοῖς ζώοις ἔνεστιν, ἀλλὰ γεννᾶται πρὸς τὰ τραύματα, πνεύματός τινος, ἢ σαρκῶν μεταβολῇ ῥύσιν ἀπεργασαμένῃ καὶ σύντηξιν. Ἐλέγχονται δὲ τοῖς πρὸς τοὺς ὑπονόμους καὶ τὰς μεταλλείας ἀπαντῶσιν εἰς βάθη ποταμοῖς, οὐ κατ' ὀλίγον συλλεγομένοις, ὥσπερ εἰκός ἐστιν, εἰ γένεσιν ἐκ τοῦ παραχρῆμα, κινουμένης τῆς γῆς, λαμβάνουσιν, ἀλλ' ἀθρόοις ἀναχεομένοις. Ὀρῶν δὲ, καὶ πέτρας πληγῇ ῥαγείσης, ἐξεπήδησε ῥεῦμα λάβρον ὕδατος, εἶτ' ἐπέλιπε. Ταῦτα μὲν περὶ τούτων.

ΙΕ. Ὁ δὲ Αἰμίλιος ἡμέρας μέν τινας ἠρέμει, καί φασι, μήποτε, τηλικούτων στρατοπέδων ἐγγὺς οὕτω συνελθόντων, ἡσυχίαν γενέσθαι τοσαύτην. Ἐπεὶ δὲ κινῶν ἅπαντα καὶ πειρώμενος, ἐπυνθάνετο μίαν εἰσβολὴν ἔτι μόνον ἄφρουρον ἀπολείπεσθαι, τὴν διὰ Περραιβίας παρὰ τὸ Πύθιον καὶ τὴν Πέτραν, τῷ μὴ φυλάττεσθαι τὸν τόπον ἐλπίσας μᾶλλον, ἢ δι' ἣν οὐκ ἐφυλάττετο, δυσχωρίαν καὶ τραχύτητα δείσας, ἐβουλεύετο. Πρῶτος δὲ τῶν παρόντων ὁ Νασικᾶς ἐπικαλούμενος Σκηπίων, γαμβρὸς Ἀφρικανοῦ Σκηπίωνος, ὕστερον δὲ μέγιστον ἐν τῇ συγκλήτῳ δυνηθεὶς, ὑπεδέξατο τῆς κυκλώσεως ἡγεμὼν γενέσθαι. Δεύτερος δὲ Φάβιος Μάξιμος, ὁ πρεσβύτατος τῶν Αἰμιλίου παίδων, ἔτι μειράκιον ὤν, ἀνέσῃ προθυμούμενος. Ἡσθεὶς οὖν ὁ Αἰμίλιος, δίδωσιν αὐτοῖς, οὐχ ὅσους Πολύβιος εἴρηκεν, ἀλλ' ὅσους αὐτὸς ὁ Νασικᾶς λαβεῖν φησι, γεγραφὼς περὶ τῶν πράξεων τούτων ἐπιστόλιον πρός τινα τῶν βασιλέων. Οἱ μὲν ἐκτὸς τάξεως Ἰταλικοὶ τρισχίλιοι τὸ πλῆθος ἦσαν, τὸ δ' εὐώνυμον κέρας, εἰς πεντακισχιλίους. Τούτοις προσλαβὼν ὁ Νασικᾶς ἱππεῖς ἑκατὸν εἴκοσι, καὶ τῶν παρ' Ἀρπάλῳ Θρᾳκῶν καὶ Κρητῶν ἀναμεμιγμένων διακοσίους, ἐξώρμησε τῇ πρὸς θάλασσαν ὁδῷ, καὶ καταστρατοπέδευσε παρὰ τὸ Ἡράκλειον, ὡς δὴ ταῖς ναυσὶ μέλλων ἐκπεριπλεῖν καὶ κυκλοῦσθαι

τὸ στρατόπεδον τῶν πολεμίων. Ἐπεὶ δ' ἐδείπνησαν οἱ στρατιῶται, καὶ σκότος ἐγένετο, τοῖς ἡγεμόσι φράσας τὸ ἀληθὲς, ἦγε διὰ νυκτὸς τὴν ἐναντίαν ἀπὸ θαλάσσης· καὶ καταλύσας ἀνέπαυε τὴν στρατιὰν ὑπὸ τὸ Πύθιον. Ἐνταῦθα τοῦ Ὀλύμπου τὸ ὕψος ἀνατείνει πλέον, ἢ δέκα σταδίους· σημαίνεται δὲ ἐπιγράμματι τοῦ μετρήσαντος, οὕτως·

Οὐλύμπου κορυφῆς ἔπι Πυθίου Ἀπόλλωνος
Ἱερὸν, ὕψος ἔχει (πρὸς κάθετον δ' ἐμέτρει)
Πλήρη μὲν δεκάδα σταδίων μίαν, αὐτὰρ ἐπ' αὐτῇ
Πλέθρον τετραπέδῳ λειπόμενον μεγέθει.
Εὐμήλου δέ μιν υἱὸς ἐθήκατο μέτρα κελεύθου
Ξεναγόρης· σὺ δ', ἄναξ, χαῖρε, καὶ ἐσθλὰ δίδου.

Καίτοι λέγουσιν οἱ γεωμετρικοὶ, μήτε ὄρους ὕψος, μήτε βάθος τῆς θαλάσσης ὑπερβάλλειν δέκα σταδίους. Ὁ μέντοι Ξεναγόρας οὐ παρέργως, ἀλλὰ μεθόδῳ καὶ δι' ὀργάνων, εἰληφέναι δοκεῖ τὴν μέτρησιν.

ιϛ. Ὁ μὲν οὖν Νασικᾶς ἐνταῦθα διενυκτέρευσε. Τῷ δὲ Περσεῖ, τὸν Αἰμίλιον ἀτρεμοῦντα κατὰ χώραν ὁρῶντι, καὶ μὴ λογιζομένῳ τὸ γινόμενον, ἀποδρὰς ἐκ τῆς ὁδοῦ Κρὴς αὐτόμολος, ἦκε μηνύων τὴν περίοδον τῶν Ῥωμαίων. Ὁ δὲ συνταραχθεὶς, τὸ μὲν στρατόπεδον οὐκ ἐκίνησε, μυρίους δὲ μισθοφόρους ξένους καὶ δισχιλίους Μακεδόνας Μιλωνι παραδοὺς ἐξαπέστειλε, παρακελευσάμενος ταχῦναι καὶ καταλαβεῖν τὰς ὑπερβολάς. Τούτοις ὁ μὲν Πολύβιός φησιν ἔτι κοιμωμένοις ἐπιπεσεῖν τοὺς Ῥωμαίους· ὁ δὲ Νασικᾶς ὀξὺν ἀγῶνα περὶ τοῖς ἄκροις γενέσθαι καὶ κίνδυνον· αὐτὸς δὲ Θρᾷκα μισθοφόρον εἰς χεῖρας συνδραμόντα, τῷ ξυστῷ διὰ τοῦ στήθους πατάξας, καταβαλεῖν· ἐκβιασθέντων δὲ τῶν πολεμίων, καὶ τοῦ Μίλωνος αἴσχιστα φεύγοντος ἄνευ τῶν ὅπλων μονοχίτωνος, ἀσφαλῶς ἀκολουθεῖν, ἅμα καταβιβάζων εἰς τὴν χώραν τὸ στράτευμα. Τούτων δὲ τῷ Περσεῖ προσπεσόντων, κατὰ τάχος ἀναζεύξας, ἦγεν ὀπίσω, περίφοβος γεγονὼς, καὶ συγκεχυμένος

ταῖς ἐλπίσιν. Αὐτοῦ δ' ὅμως πρὸ τῆς Πύδνης ὑπομένοντα πειρᾶσθαι μάχης ἀναγκαῖον ἦν, ἢ τῷ στρατῷ σκεδασθέντι περὶ τὰς πόλεις δέχεσθαι τὸν πολέμιον, ἐπείπερ ἅπαξ ἐμβέβηκε τῇ χώρᾳ, δίχα πολλοῦ φόνου καὶ νεκρῶν ἐκπεσεῖν μὴ δυνάμενον. Πλήθει μὲν οὖν ἀνδρῶν αὐτόθεν περιεῖναι, προθυμίαν δὲ πολλὴν ὑπάρξειν ἀμυνομένοις περὶ τέκνων καὶ γυναικῶν, ἐφορῶντος ἕκαστα τοῦ βασιλέως, καὶ προκινδυνεύοντος. Ἐκ τούτων ἐθάρσυνον οἱ φίλοι τὸν Περσέα· καὶ βαλόμενος στρατόπεδον, συνετάττετο πρὸς μάχην, καὶ τὰ χωρία κατεσκοπεῖτο, καὶ διήρει τὰς ἡγεμονίας, ὡς εὐθὺς ἐξ ἐφόδου τοῖς Ῥωμαίοις ἀπαντήσων. Ὁ δὲ τόπος καὶ πεδίον ἦν τῇ φάλαγγι βάσεως ἐπιπέδου καὶ χωρίων ὁμαλῶν δεομένῃ, καὶ λόφοι συνεχεῖς, ἄλλος ἐξ ἄλλου, τοῖς γυμνητεύουσι καὶ ψιλοῖς ἀναφυγὰς καὶ περιδρομὰς ἔχοντες. Διὰ μέσου δὲ ποταμοὶ ῥέοντες Αἶσων καὶ Λεῦκος, οὐ μάλα βαθεῖς τότε (θέρους γὰρ ἦν ὥρα φθίνοντος), ἐδόκουν τινὰ δυσεργίαν ὅμως τοῖς Ῥωμαίοις παρέξειν.

ΙΖ. Ὁ δ' Αἰμίλιος, ὡς εἰς ταὐτὸν συνέμιξε τῷ Νασικᾷ, κατέβαινε συντεταγμένος ἐπὶ τοὺς πολεμίους. Ὡς δ' εἶδε τὴν παράταξιν αὐτῶν, καὶ τὸ πλῆθος, θαυμάσας ἐπέσχε τὴν πορείαν, αὐτός τι πρὸς ἑαυτὸν συλλογιζόμενος. Οἱ δ' ἡγεμονικοὶ νεανίσκοι προθυμούμενοι μάχεσθαι, παρελαύνοντες ἐδέοντο μὴ μέλλειν, καὶ μάλιστα πάντων ὁ Νασικᾶς, τῇ περὶ τὸν Ὄλυμπον εὐτυχίᾳ τεθαῤῥηκώς. Ὁ δ' Αἰμίλιος μειδιάσας· Εἴγε τὴν σὴν, εἶπεν, ἡλικίαν εἶχον· αἱ δὲ πολλαί με νίκαι, διδάσκουσαι τὰ τῶν ἡττωμένων ἁμαρτήματα, κωλύουσιν ἐξ ὁδοῦ μάχην τίθεσθαι πρὸς φάλαγγα συντεταγμένην ἤδη καὶ συνεσῶσαν. Ἐκ τούτου τὰ μὲν πρῶτα καὶ καταφανῆ πρὸς τοὺς πολεμίους, ἐκέλευσεν εἰς σπείρας καθισάμενα ποιεῖν σχῆμα παρατάξεως, τοὺς δ' ἀπ' οὐρᾶς στραφέντας ἐν χώρᾳ χάρακα βαλέσθαι καὶ στρατοπεδεύειν. Οὕτω δὲ τῶν συνεχῶν τοῖς τελευταίοις καθ' ὑπαγωγὴν ἐξελιττομένων, ἔλαθε τὴν παράταξιν ἀναλύσας, καὶ κατασήσας ἀθορύβως εἰς τὸν χάρακα πάντας. Ἐπεὶ

δὲ νὺξ ἐγεγόνει, καὶ μετὰ δεῖπνον ἐτράποντο πρὸς ὕπνον καὶ ἀνάπαυσιν, αἰφνίδιον ἡ σελήνη πλήρης οὖσα καὶ μετέωρος ἐμελαίνετο· καὶ τοῦ φωτὸς ἀπολιπόντος αὐτὴν, χρόας ἀμείψασα παντοδαπὰς ἠφανίσθη. Τῶν δὲ Ῥωμαίων, ὥσπερ ἐς τὰ νενομισμένον, χαλκοῦ τε πατάγοις ἀνακαλουμένων τὸ φῶς αὐτῆς, καὶ πυρὰ πολλὰ δαλοῖς καὶ δᾳσὶν ἀνεχόντων πρὸς τὸν οὐρανὸν, οὐδὲν ὅμοιον ἔπραττον οἱ Μακεδόνες, ἀλλὰ φρίκη καὶ θάμβος τὸ στρατόπεδον κατεῖχε, καὶ λόγος ἡσυχῇ διὰ πολλῶν ἐχώρει, βασιλέως τὸ φάσμα σημαίνειν ἔκλειψιν. Ὁ δ' Αἰμίλιος οὐκ ἦν μὲν ἀνήκοος, οὐδ' ἄπειρος παντάπασι τῶν ἐκλειπτικῶν ἀνωμαλιῶν, αἳ τὴν σελήνην περιφερομένην εἰς τὸ σκίασμα τῆς γῆς ἐμβάλλουσι τεταγμέναις περιόδοις, καὶ ἀποκρύπτουσιν, ἄχρις οὗ παρελθοῦσα τὴν ἐπίσκοτον χώραν, πάλιν ἐπιλάμψῃ πρὸς τὸν ἥλιον. Οὐ μὴν ἀλλὰ τῷ θείῳ πολὺ νέμων, καὶ φιλοθύτης ὢν καὶ μαντικὸς, ὡς εἶδε πρῶτον τὴν σελήνην ἀποκαθαιρομένην, ἕνδεκα μόσχους αὐτῇ κατέθυσεν. Ἅμα δ' ἡμέρᾳ τῷ Ἡρακλεῖ βουθυτῶν οὐκ ἐκαλλιέρει μέχρις εἴκοσι· τῷ δὲ πρώτῳ καὶ εἰκοστῷ παρῆν τὰ σημεῖα, καὶ νίκην ἀμυνομένοις ἔφραζε. Εὐξάμενος οὖν κατὰ βοῶν ἑκατὸν καὶ ἀγῶνος ἱεροῦ τῷ θεῷ, προσέταξε διακοσμεῖν τοῖς ἡγεμόσι τὸν στρατὸν εἰς μάχην. Αὐτὸς δὲ τὴν ἀπόκλισιν καὶ περιφορὰν ἀναμένων τοῦ φωτὸς, ὅπως μὴ κατὰ προσώπου μαχομένοις αὐτοῖς ἑωθεν ὁ ἥλιος ἀντιλάμποι, παρῆγε τὸν χρόνον, ἐν τῇ σκηνῇ καθεζόμενος ἀναπεπταμένῃ πρὸς τὸ πεδίον καὶ τὴν στρατοπεδείαν τῶν πολεμίων.

ΙΗ. Περὶ δὲ δείλην, οἱ μὲν, αὐτοῦ φασὶ τοῦ Αἰμιλίου τεχνάζοντος ἐκ τῶν πολεμίων γενέσθαι τὴν ἐπιχείρησιν, ἀχάλινον ἵππον ἐξελάσαντας, ἐμβαλεῖν αὐτοῖς τοὺς Ῥωμαίους, καὶ τοῦτον ἀρχὴν μάχης διωκόμενον παρασχεῖν· οἱ δὲ, Ῥωμαϊκῶν ὑποζυγίων χορτάσματα παρακομιζόντων ἅπτεσθαι Θρᾷκας, ὧν Ἀλέξανδρος ἡγεῖτο· πρὸς δὲ τούτους ἐκδρομὴν ὀξεῖαν ἑπτακοσίων Λιγύων

γενέσθαι· παραβοηθούντων δὲ πλειόνων ἑκατέροις, οὕτω συνάπτεσθαι τὴν μάχην ἀμφοτέρωθεν. Ὁ μὲν οὖν Αἰμίλιος, ὥσπερ κυβερνήτης, τῷ παρόντι σάλῳ καὶ κινήματι τῶν στρατοπέδων τεκμαιρόμενος τὸ μέγεθος τοῦ μέλλοντος ἀγῶνος, ἐκ τῆς σκηνῆς προῆλθε, καὶ τὰ τάγματα τῶν ὁπλιτῶν ἐπιὼν παρεθάρρυνεν. Ὁ δὲ Νασικᾶς ἐξιππασάμενος πρὸς τοὺς ἀκροβολιζομένους, ὁρᾷ πάντας ὅσον οὔπω τοὺς πολεμίους ἐν χερσὶν ὄντας. Πρῶτοι δ' οἱ Θρᾷκες ἐχώρουν, ὧν μάλιστά φησιν ἐκπλαγῆναι τὴν ὄψιν, ἄνδρες ὑψηλοὶ τὰ σώματα, λευκῷ καὶ περιλάμποντι θυρεῶν καὶ περικνημίδων ὁπλισμῷ, μέλανας ὑπενδεδυμένοι χιτῶνας, ὀρθὰς δὲ ῥομφαίας βαρυσιδήρους ἀπὸ τῶν δεξιῶν ὤμων ἐπισείοντες. Παρὰ δὲ τοὺς Θρᾷκας οἱ μισθοφόροι παρενέβαλλον, ὧν σκευαί *τε* παντοδαπαί, καὶ μεμιγμένοι Παίονες ἦταν· ἐπὶ δὲ τούτοις ἄγημα τρίτον, οἱ λογάδες, αὐτῶν Μακεδόνων ἀρετῇ καὶ ἡλικίᾳ τὸ καθαρώτατον, ἀσπάποντες ἐπιχούσοις ὅπλοις καὶ νεουργοῖς φοινικίσιν. Οἷς καθισαμένοις εἰς τάξιν, αἱ τῶν χαλκασπίδων ἐπανατέλλουσαι φάλαγγες ἐκ τοῦ χάρακος, ἐνέπλησαν αὐγῆς σιδήρου καὶ λαμπηδόνος χαλκοῦ τὸ πεδίον, κραυγῆς δὲ καὶ θορύβου παρακελευομένων τὴν ὀρεινήν. Οὕτω δὲ θρασέως καὶ μετὰ τάχους ἐπῆσαν, ὥστε τοὺς πρώτους νεκροὺς ἀπὸ δυοῖν σαδίων τοῦ Ῥωμαϊκοῦ χάρακος καταπεσεῖν.

ΙΘ. Γιγνομένης δὲ τῆς ἐφόδου, παρῆν ὁ Αἰμίλιος, καὶ κατελάμβανεν ἤδη τοὺς ἐν τοῖς ἀγήμασι Μακεδόνας, ἄκρας τὰς σαρίσσας προσερηρεικότας τοῖς θυρεοῖς τῶν Ῥωμαίων, καὶ μὴ προσιεμένους εἰς ἐφικτὸν αὐτῶν τὰς μαχαίρας. Ἐπεὶ δὲ καὶ τῶν ἄλλων Μακεδόνων τάς τε πέλτας ἐξ ὤμου περισπασάντων, καὶ ταῖς σαρίσσαις ἀφ' ἑνὸς συνθήματος κλιθείσαις ὑποσάντων τοὺς θυρεαφόρους, εἶδε τήν τε ῥώμην τοῦ συνασπισμοῦ, καὶ τὴν τραχύτητα τῆς προσβολῆς, ἔκπληξις αὐτὸν ἔσχε καὶ δέος, ὡς οὐδὲν ἰδόντα πώποτε θέαμα φοβερώτερον· καὶ πολλάκις ὕστερον ἐμέ-

μνητο τοῦ πάθους ἐκείνου καὶ τῆς ὄψεως. Τότε δὲ πρὸς τοὺς μαχομένους ἐπιδεικνύμενος ἵλεω καὶ φαιδρὸν ἑαυτὸν, ἄνευ κράνους καὶ θώρακος ἵππῳ παρήλαυνεν. Ὁ δὲ τῶν Μακεδόνων βασιλεὺς, ὥς φησι Πολύβιος, τῆς μάχης ἀρχὴν λαμβανούσης, ἀποδειλιάσας, εἰς (τὴν) πόλιν ἀφιππάσατο, σκηψάμενος Ἡρακλεῖ θύειν, δειλὰ παρὰ δειλῶν ἱερὰ μὴ δεχομένῳ, μηδ' εὐχὰς ἀθεμίτους ἐπιτελοῦντι. Θεμιτὸν γὰρ οὐκ ἔστιν, οὔτε τὸν μὴ βάλλοντα κατευστοχεῖν, οὔτε τὸν μὴ μένοντα κρατεῖν, οὔθ' ὅλως τὸν ἄπρακτον εὐπραγεῖν, οὔτε τὸν κακὸν εὐδαιμονεῖν. Ἀλλὰ ταῖς Αἰμιλίου παρῆν εὐχαῖς ὁ θεός· εὔχετο γὰρ κράτος πολέμου καὶ νίκην δόρυ κρατῶν, καὶ μαχόμενος παρεκάλει σύμμαχον τὸν θεόν. Οὐ μὴν ἀλλὰ Ποσειδώνιός τις, ἐν ἐκείνοις τοῖς χρόνοις καὶ ταῖς πράξεσι γεγονέναι λέγων, ἱστορίαν δὲ γεγραφὼς περὶ Περσέως ἐν πλείοσι βιβλίοις, φησὶν αὐτὸν, οὐχ ὑπὸ δειλίας, οὐδὲ τὴν θυσίαν ποιησάμενον αἰτίαν, ἀπελθεῖν, ἀλλὰ τῇ προτέρᾳ τῆς μάχης τυχεῖν λελακτισμένον ὑφ' ἵππου τὸ σκέλος· ἐν δὲ τῇ μάχῃ, καίπερ ἔχοντα δυσχερῶς, καὶ κωλυόμενον ὑπὸ τῶν φίλων, ἵππον αὐτῷ κελεῦσαι τῶν φορέων προσαγαγεῖν, καὶ περιβάντα συμμίξαι τοῖς ἐπὶ τῆς φάλαγγος ἀθωράκιστον· φερομένων δὲ παντοδαπῶν ἑκατέρωθεν βελῶν, παλτὸν ἐμπεσεῖν ὁλοσίδηρον αὐτῷ, καὶ τῇ μὲν ἀκμῇ μὴ θιγεῖν, ἀλλὰ πλάγιον παρὰ τὴν ἀριστερὰν πλευρὰν παραδραμεῖν· ῥύμῃ δὲ τῆς παρόδου τόν τε χιτῶνα διακόψαι, καὶ τὴν σάρκα φοινίξαι τυφλῷ μώλωπι πολὺν χρόνον διαφυλάξαντι τὸν τύπον. Ταῦτα μὲν οὖν ὁ Ποσειδώνιος ὑπὲρ τοῦ Περσέως ἀπολογεῖται.

Κ. Τῶν δὲ Ῥωμαίων, ὡς ἀντέστησαν τῇ φάλαγγι, μὴ δυναμένων βιάζεσθαι, Σάλιος, ὁ τῶν Πελιγνῶν ἡγούμενος, ἁρπάσας τὸ σημεῖον τῶν ὑφ' αὑτὸν, εἰς τοὺς πολεμίους ἔῤῥιψεν. Τῶν δὲ Πελιγνῶν (οὐ γάρ ἐστιν Ἰταλοῖς θεμιτὸν, οὐδ' ὅσιον, ἐγκαταλιπεῖν σήμειον) ἐπιδραμόντων πρὸς ἐκεῖνον τὸν τόπον, ἔργα

δεινὰ καὶ πάθη παρ' ἀμφοτέρων ἁπάντων συμπεσόντων. Οἱ μὲν γὰρ ἐκκρούειν τε τοῖς ξίφεσι τὰς σαρίσσας ἐπειρῶντο, καὶ πιέζειν τοῖς θυρεοῖς, καὶ ταῖς χερσὶν αὐταῖς ἀντιλαμβανόμενοι παραφέρειν· οἱ δὲ τὴν προβολὴν κρατυνάμενοι δι' ἀμφοτέρων, καὶ τοὺς προσπίπτοντας αὐτοῖς ὅπλοις διελαύνοντες, οὔτε θυρεοῦ σέγοντος, οὔτε θώρακος τὴν βίαν τῆς σαρίσσης, ἀνερρίπτουν ὑπὲρ κεφαλὴν τὰ σώματα τῶν Πελιγνῶν καὶ Μαρρουκινῶν, κατ' οὐδένα λογισμὸν, ἀλλὰ θυμῷ θηριώδει πρὸς ἐναντίας πληγὰς καὶ προὔπτον ὠθουμένων θάνατον. Οὕτω δὲ τῶν προμάχων διαφθαρέντων, ἀνεκόπησαν οἱ κατόπιν αὐτῶν ἐπιτεταγμένοι· καὶ φυγὴ μὲν οὐκ ἦν, ἀναχώρησις δὲ πρὸς ὄρος τὸ καλούμενον Ὀλόκρον, ὥστε καὶ τὸν Αἰμίλιον ἰδόντα φησὶν ὁ Ποσειδώνιος καταῤῥήξασθαι τὸν χιτῶνα, τούτων μὲν ἐνδιδόντων, τῶν δ' ἄλλων Ῥωμαίων διατρεπομένων τὴν φάλαγγα προσβολὴν οὐκ ἔχουσαν, ἀλλ', ὥσπερ χαρακώματι, τῷ πυκνώματι τῶν σαρισσῶν ὑπαντιάζουσαν πάντοθεν ἀπρόσμαχον. Ἐπεὶ δὲ, τῶν τε χωρίων ἀνωμάλων ὄντων, καὶ διὰ τὸ μῆκος τῆς παρατάξεως οὐ φυλαττούσης ἀραρότα τὸν συνασπισμὸν, κατεῖδε τὴν φάλαγγα τῶν Μακεδόνων κλάσεις τε πολλὰς καὶ διασπάσματα λαμβάνουσαν, ὡς εἰκὸς ἐν μεγάλοις στρατοῖς καὶ ποικίλαις ὁρμαῖς τῶν μαχομένων, τοῖς μὲν ἐκθλιβομένην μέρεσι, τοῖς δὲ προπίπτουσαν, ἐπιὼν ὀξέως καὶ διαιρῶν τὰς σπείρας, ἐκέλευεν εἰς τὰ διαλείμματα καὶ κενώματα τῆς τῶν πολεμίων τάξεως παρεμπίπτοντας καὶ συμπλεκομένους, μὴ μίαν πρὸς ἅπαντας, ἀλλὰ πολλὰς καὶ μεμιγμένας κατὰ μέρος τὰς μάχας τίθεσθαι. Ταῦτα τοῦ μὲν Αἰμιλίου τοὺς ἡγεμόνας, τῶν δ' ἡγεμόνων τοὺς στρατιώτας διδασκόντων, ὡς πρῶτον ὑπέδυσαν καὶ διέσχον εἴσω τῶν ὅπλων, τοῖς μὲν ἐκ πλαγίου κατὰ (τὰ) γυμνὰ προσφερόμενοι, τοὺς δὲ ταῖς περιδρομαῖς ἀπολαμβάνοντες, ἡ μὲν ἰσχὺς καὶ τὸ κοινὸν ἔργον εὐθὺς ἀπολώλει τῆς φάλαγγος ἀναῤῥηγνυμένης· ἐν δὲ ταῖς καθ' ἕνα καὶ κατ' ὀλίγους

συτάσεσιν οἱ Μακεδόνες, μικροῖς μὲν ἐγχειριδίοις σφεοὺς καὶ ποδήρεις θυρεοὺς νύσσοντες, ἐλαφροῖς δὲ πελταρίοις πρὸς τὰς ἐκείνων μαχαίρας, ὑπὸ βάρους καὶ καταφορᾶς διὰ παντὸς ὅπλου χωρούσας ἐπὶ τὰ σώματα, κακῶς ἀντέχοντες, ἐτράποντο.

ΚΑ. Κατὰ τούτους δὲ μέγας ἦν ἀγών· ἔνθα δὴ καὶ Μάρκος, ὁ Κάτωνος υἱός, Αἰμιλίου δὲ γαμβρός, πᾶσαν ἀλκὴν ἐπιδεικνύμενος, ἀπέβαλετὸ ξίφος. Οἷα δὲ νεανίας ἐντεθραμμένος πλείοσις παιδεύμασι, καὶ μεγάλῳ πατρὶ μεγάλης ἀρετῆς ἀποδείξεις ὀφείλων, οὐ βιωτὸν ἡγησάμενος εἶναι προεμένῳ σκῦλον αὐτοῦ ζῶντος τοῖς πολεμίοις, ἐπέδραμε τὴν μάχην, εἴ τινά που φίλον καὶ συνήθη κατεῖδε, φράζων τὸ συμπεσὸν αὐτῷ, καὶ δεόμενος βοηθεῖν. Οἱ δὲ, πολλοὶ καὶ ἀγαθοὶ γενόμενοι, καὶ διασχόντες ὁρμῇ μιᾷ τοὺς ἄλλους, περὶ αὐτὸν ὑρηγούμενον, ἐμβάλλουσι τοῖς ἐναντίοις. Μεγάλῳ δ' ἀγῶνι καὶ φόνῳ πολλῷ καὶ τραύματιν ὥσαντες ἐκ χώρας, καὶ τόπον ἔρημον καὶ γυμνὸν κατασχόντες, ἐπὶ ζήτησιν ἐτράποντο τοῦ ξίφους. Ὡς δὲ μόλις ἐν πολλοῖς ὅπλοις καὶ πτώμασι νεκρῶν κεκρυμμένον ἀνευρέθη, περιχαρεῖς γενόμενοι καὶ παιανίσαντες, ἔτι λαμπρότερον ἐνέκειντο τοῖς συνεσῶσιν ἔτι τῶν πολεμίων. Καὶ τέλος οἱ τρισχίλιοι λογάδες, ἐν τάξει μένοντες καὶ μαχόμενοι, κατεκόπησαν ἅπαντες· τῶν δ' ἄλλων φευγόντων πολὺς ἦν ὁ φόνος, ὥσε τὸ μὲν πεδίον καὶ τὴν ὑπώρειαν καταπεπλῆσθαι νεκρῶν, τοῦ δὲ Λεύκου ποταμοῦ τὸ ῥεῦμα τοὺς Ῥωμαίους τῇ μετὰ τὴν μάχην ἡμέρᾳ διελθεῖν ἔτι μεμιγμένον αἵματι. Λέγονται γὰρ ὑπὲρ δισμυρίους πεντακισχιλίους ἀποθανεῖν. Τῶν δὲ Ῥωμαίων ἔπεσον, ὡς μὲν Ποσειδώνιος φησὶν, ἑκατὸν, ὡς δὲ Νασικᾶς, ὀγδοήκοντα.

ΚΒ. Καὶ κρίσιν μὲν ὀξυτάτην μέγιστος ἀγὼν οὗτος ἔσχεν· ἐννάτης γὰρ ὥρας ἀρξάμενοι μάχεσθαι, πρὸ δεκάτης ἐνίκησαν. Τῷ δὲ λειπομένῳ τῆς ἡμέρας χρησάμενοι πρὸς τὴν δίωξιν, καὶ μέχρι σταδίων ἑκατὸν καὶ εἴκοσι διώξαντες, ἑσπέρας ἤδη βαθείας

ἀπετράποντο. Καὶ τοὺς μὲν ἄλλους οἱ θεράποντες ὑπὸ λαμπάδων ἀπαντῶντες, μετὰ χαρᾶς καὶ βοῆς ἀπῆγον ἐπὶ τὰς σκηνὰς φωτὶ λαμπομένας καὶ κεκοσμημένας κιττοῦ καὶ δάφνης στεφάνοις· αὐτὸν δὲ τὸν στρατηγὸν μέγα πένθος εἶχε. Δυεῖν γὰρ υἱῶν αὐτῷ στρατευομένων, ὁ νεώτερος οὐδαμοῦ φανερὸς ἦν, ὃν ἐφίλει τε μάλιστα, καὶ πλεῖστον εἰς ἀρετὴν φύσει προὔχοντα τῶν ἀδελφῶν ἑώρα. Θυμοειδὴ δὲ καὶ φιλότιμον ὄντα τὴν ψυχήν, ἔτι δ' ἀντίπαιδα τὴν ἡλικίαν, παντάπασιν ἀπολωλέναι κατεδόξαζεν, ὑπ' ἀπειρίας ἀναμιχθέντα τοῖς πολεμίοις μαχομένοις. Ἀπορουμένου δ' αὐτοῦ καὶ περιπαθοῦντος, ἤσθετο πᾶν τὸ στράτευμα, καὶ μεταξὺ δειπνοῦντες ἀνεπήδων, καὶ διέθεον μετὰ λαμπάδων, πολλοὶ μὲν ἐπὶ τὴν σκηνὴν τοῦ Αἰμιλίου, πολλοὶ δὲ πρὸ τοῦ χάρακος ἐν τοῖς πρώτοις νεκροῖς ζητοῦντες. Κατήφεια δὲ τὸ στρατόπεδον, καὶ κραυγὴ τὸ πεδίον κατεῖχεν, ἀνακαλουμένων τὸν Σκιπίωνα. Πᾶσι γὰρ ἀγαστὸς ἦν εὐθὺς ἐξ ἀρχῆς, πρὸς ἡγεμονίαν καὶ πολιτείαν ὡς ἄλλος οὐδεὶς τῶν συγγενῶν κεκραμένος τὸ ἦθος. Ὁ δ' οὖν, ἤδη σχεδὸν ἀπεγνωσμένος, ἐκ τῆς διώξεως προσήει μετὰ δύο ἢ τριῶν ἑταίρων, αἵματος καὶ φόνου πολεμίων ἀνάπλεως, ὥσπερ σκύλαξ γενναῖος, ὑφ' ἡδονῆς ἀκρατῶς τῇ νίκῃ συνεξενεχθείς. Οὗτός ἐστι Σκιπίων, ὁ τοῖς ἱκνουμένοις (χρόνοις) Καρχηδόνα καὶ Νομαντίαν κατασκάψας, καὶ πολὺ πρῶτος ἀρετῇ τῶν τότε Ῥωμαίων γενόμενος, καὶ δυνηθεὶς μέγιστον. Αἰμιλίῳ μὲν οὖν τὴν τοῦ κατορθώματος νέμεσιν εἰς ἕτερον ἡ τύχη καιρὸν ὑπερβαλλομένη, τότε παντελῆ τὴν ἡδονὴν ἀπεδίδου τῆς νίκης.

ΚΓ. Περσεὺς δὲ φυγῇ μὲν ἐκ Πύδνης εἰς Πέλλαν ἀπεχώρει, τῶν ἱππέων ἐπιεικῶς πάντων ἀπὸ τῆς μάχης διασεσωσμένων. Ἐπεὶ δὲ καταλαμβάνοντες οἱ πεζοὶ τοὺς ἱππεῖς, ὡς ἀνάνδρους καὶ προδεδωκότας λοιδοροῦντες, ἀπὸ τῶν ἵππων ὤθουν καὶ πληγὰς ἐδίδοσαν, δείσας τὸν θόρυβον, ἐκ τῆς ὁδοῦ παρέκλινε τὸν ἵππον, καὶ τὴν πορφύραν, ὡς μὴ διάσημος εἴη, περισπάσας,

ἔθετο πρόσθεν αὐτοῦ, καὶ τὸ διάδημα διὰ χειρῶν εἶχεν. Ὡς δὲ καὶ προσδιαλέγοιτο τοῖς ἑταίροις ἅμα βαδίζων, καταβὰς ἐφείλκετο τὸν ἵππον. Τῶν δὲ ὁ μέν τις ὑπόδημα προσποιούμενος λελυμένον συνάπτειν, ὁ δὲ ἵππον ἄρδειν, ὁ δὲ ποτοῦ χρήζειν, ὑπολειπόμενοι κατὰ μικρὸν ἀπεδίδρασκον, οὐχ οὕτω τοὺς πολεμίους, ὡς τὴν ἐκείνου χαλεπότητα δεδοικότες. Τεταραγμένος γὰρ ὑπὸ τῶν κακῶν, εἰς πάντας ἐζήτει τρέπειν ἀπ' αὐτοῦ τὴν αἰτίαν τῆς ἥττης. Ἐπεὶ δὲ νυκτὸς Πέλλαν εἰσελθών, Εὔκτον καὶ Εὔδαιον, τοὺς ἐπὶ τοῦ νομίσματος, ἀπαντήσαντας αὐτῷ, καὶ τὰ μὲν ἐγκαλοῦντας περὶ τῶν γεγονότων, τὰ δὲ παῤῥησιαζομένους ἀκαίρως καὶ συμβουλεύοντας, ὀργισθεὶς ἀπέκτεινεν αὐτὸς τῷ ξιφιδίῳ παίων ἀμφοτέρους· οὐδεὶς παρέμεινεν αὐτῷ πάρεξ Εὐάνδρου τε τοῦ Κρητὸς, καὶ Ἀρχεδάμου τοῦ Αἰτωλοῦ, καὶ τοῦ Βοιωτοῦ Νέωνος. Τῶν δὲ στρατιωτῶν ἐπηκολούθησαν οἱ Κρῆτες, οὐ δι' εὔνοιαν, ἀλλὰ τοῖς χρήμασιν, ὥσπερ κηρίοις μέλιττα, προσλιπαροῦντες. Πάμπολλα γὰρ ἐπήγετο, καὶ προὔθηκεν ἐξ αὐτῶν διαρπάσαι τοῖς Κρησὶν ἐκπώματα καὶ κρατῆρας καὶ τὴν ἄλλην ἐν ἀργύρῳ καὶ χρυσῷ κατασκευὴν, εἰς πεντήκοντα ταλάντων λόγον. Γενόμενος δ' ἐν Ἀμφιπόλει πρῶτον, εἶτ' ἐκεῖθεν ἐν Γαληψῷ, καὶ τοῦ φόβου μικρὸν ὑπανέντος, εἰς τὸ συγγενὲς καὶ πρεσβύτατον αὐτοῦ τῶν νοσημάτων, τὴν μικρολογίαν, αὖθις ὑπενεχθεὶς, ὠδύρετο πρὸς τοὺς φίλους, ὡς τῶν Ἀλεξάνδρου τοῦ μεγάλου χρυσωμάτων ἔνια τοῖς Κρησὶ διεῤῥιφὼς ὑπ' ἀγνοίας· καὶ παρεκάλει τοὺς ἔχοντας, ἀντιβολῶν καὶ δακρύων, ἀμείψασθαι πρὸς νόμισμα. Τοὺς μὲν οὖν ἐπισαμένους ἀκριβῶς αὐτὸν οὐκ ἔλαθε κρητίζων πρὸς Κρῆτας· οἱ δὲ πεισθέντες καὶ ἀποδόντες, ἀπεσερήθησαν. Οὐ γὰρ ἀπέδωκε ταργύριον, ἀλλὰ τριάκοντα τάλαντα κερδάνας ἀπὸ τῶν φίλων, ἃ μικρὸν ὕστερον ἔμελλον οἱ πολέμιοι λήψεσθαι, μετ' αὐτῶν διέπλευσεν εἰς Σαμοθράκην, καὶ διαφεύγων ἐπὶ τοὺς Διοσκούρους ἱκέτευεν.

ΚΔ. Ἀεὶ μὲν οὖν λέγονται φιλοβασίλειοι Μακεδόνες, τότε δ' ὡς ἐρείσματι κεκλασμένῳ πάντων ἅμα συμπεσόντων, ἐγχειρίζοντες αὑτοὺς τῷ Αἰμιλίῳ, δύο ἡμέραις ὅλης κύριον αὐτὸν κατέστησαν Μακεδονίας. Καὶ δοκεῖ τοῦτο μαρτυρεῖν τοῖς εὐτυχίᾳ τινὶ τὰς πράξεις ἐκείνας γεγονέναι φάσκουσιν. Ἔτι δὲ καὶ τὸ περὶ τὴν θυσίαν σύμπτωμα δαιμόνιον ἦν· ἐν Ἀμφιπόλει θύοντος τοῦ Αἰμιλίου, καὶ τῶν ἱερῶν ἐνεργμένων, κεραυνὸς ἐνσκήψας εἰς τὸν βωμὸν ἐπέφλεξε καὶ συγκαθήγισε τὴν ἱερουργίαν. Ὑπερβάλλει δὲ θειότητι πάντα καὶ τύχῃ τὰ τῆς ῥήμης. Ἦν μὲν γὰρ ἡμέρα τετάρτη νενικημένῳ Περσεῖ περὶ Πύδναν, ἐν δὲ τῇ Ῥώμῃ τοῦ δήμου θεωροῦντος ἱππικοὺς ἀγῶνας, ἐξαίφνης ἐνέπεσε λόγος εἰς τὸ πρῶτον τοῦ θεάτρου μέρος, ὡς Αἰμίλιος, μεγάλῃ μάχῃ νενικηκὼς Περσέα, καταστρέφοιτο σύμπασαν Μακεδονίαν. Ἐκ δὲ τούτου, ταχὺ τῆς ῥήμης ἀναχεομένης εἰς τὸ πλῆθος, ἐξέλαμψε χαρὰ μετὰ κρότου καὶ βοῆς, τὴν ἡμέραν ἐκείνην κατασχοῦσα τὴν πόλιν. Εἶτα, ὡς ὁ λόγος οὐκ εἶχεν εἰς ἀρχὴν ἀνελθεῖν βέβαιον, ἀλλ' ἐν πᾶσιν ὁμοίως ἐφαίνετο πλανώμενος, τότε μὲν ἐσκεδάσθη καὶ διερρύη τὰ τῆς ῥήμης· ὀλίγαις δ' ὕστερον ἡμέραις πυθόμενοι σαφῶς, ἐθαύμαζον τὴν προδραμοῦσαν ἀγγελίαν, ὡς ἐν τῷ ψεύδει τὸ ἀληθὲς εἶχε.

ΚΕ. Λέγεται δὲ καὶ τῆς ἐπὶ Σάγρᾳ ποταμῷ μάχης Ἰταλιωτῶν αὐθημερὸν ἐν Πελοποννήσῳ λόγον γενέσθαι, καὶ Πλαταιᾶσι τῆς ἐν Μυκάλῃ πρὸς Μήδους. Ἦν δὲ Ῥωμαῖοι Ταρκυνίους μετὰ Λατίνων ἐπιστρατεύσαντας ἐνίκησαν, αὐτάγγελοι φράζοντες ὤφθησαν ἀπὸ τοῦ στρατοῦ μικρὸν ὕστερον ἄνδρες δύο καλοὶ καὶ μεγάλοι. Τούτους εἴκασαν εἶναι Διοσκόρους. Ὁ δ' ἐντυχὼν πρῶτος αὐτοῖς κατ' ἀγορὰν πρὸ τῆς κρήνης ἀναψύχουσι τοὺς ἵππους ἱδρῶτι πολλῷ περιῤῥεομένους, ἐθαύμαζε τὸν περὶ τῆς νίκης λόγον. Εἶθ' οἱ μὲν ἐπιψαῦσαι λέγονται τῆς ὑπήνης αὐτοῦ ταῖν χεροῖν ἀτρέμα μειδιῶντες· ἡ δ' εὐθὺς ἐκ μελαίνης τριχὸς εἰς πυῤῥὰν μεταβαλοῦσα, τῷ μὲν λόγῳ πίσιν, τῷ δ' ἀνδρὶ παρασχεῖν ἐπίκλησιν

τὸν

τὸν Αἰνόβαρβον, ὅπερ ἐστὶ Χαλκοπώγωνα. Πᾶσι δὲ τούτοις τὸ καθ' ἡμᾶς γενόμενον πίστιν παρέσχεν. Ὅτε γὰρ Ἀντώνιος ἀπέστη Δομετιανοῦ, καὶ πολὺς πόλεμος ἀπὸ Γερμανίας προσεδοκᾶτο, τῆς Ῥώμης ταραττομένης, ἄφνω καὶ αὐτομάτως ὁ δῆμος ἐξ αὐτοῦ φήμην ἀνέδωκε νίκης, καὶ τὴν Ῥώμην ἐπέδραμε λόγος, αὐτόν τε τὸν Ἀντώνιον ἀνῃρῆσθαι, καὶ τοῦ σὺν αὐτῷ στρατεύματος ἡττημένου μηδὲν μέρος λελεῖφθαι. Τοσαύτην δὲ λαμπρότητα καὶ ῥύμην ἡ πίστις ἔσχεν, ὥστε καὶ θῦσαι τῶν ἐν τέλει πολλούς. Ζητουμένου δὲ τοῦ πρώτου φράσαντος, ὡς οὐδεὶς ἦν, ἀλλ' ὁ λόγος εἰς ἄλλον ἐξ ἄλλου διωκόμενος ἀνέφευγε, καὶ τέλος καταδὺς, ὥσπερ εἰς πέλαγος ἀχανὲς, τὸν ἄπειρον ὄχλον, ἐφάνη μηδεμίαν ἀρχὴν ἔχων βέβαιον, αὕτη μὲν ἡ φήμη ταχὺ τῆς πόλεως ἐξερρύη. Πορευομένῳ δὲ τῷ Δομετιανῷ μετὰ δυνάμεως ἐπὶ τὸν πόλεμον ἤδη καθ' ὁδὸν ἀγγελία καὶ γράμματα φράζοντα τὴν νίκην ἀπήντησεν. Ἡ δ' αὐτοῦ τοῦ κατορθώματος ἡμέρα καὶ τῆς φήμης ἐγίγνετο, ἐπὶ πλέον, ἢ δυσμυρίους σταδίους, τῶν τόπων διεσώτων. Ταῦτα μὲν οὐδεὶς ἀγνοεῖ τῶν καθ' ἡμᾶς.

ΚΣΤ. Γναῖος δ' Ὀκτάβιος ὁ ναυαρχῶν Αἰμιλίῳ, προσορμισάμενος τῇ Σαμοθράκῃ, τὴν μὲν ἀσυλίαν παρεῖχε τῷ Περσεῖ διὰ τοὺς θεούς, ἔκπλου δὲ καὶ φυγῆς εἶργεν. Οὐ μὴν ἀλλὰ λανθάνει πῶς ὁ Περσεὺς Ὀροάνδην τινὰ Κρῆτα λέμβον ἔχοντα συμπείσας μετὰ χρημάτων ἀναλαβεῖν αὐτόν· Ὁ δὲ κρητισμῷ χρησάμενος, τὰ μὲν χρήματα νύκτωρ ἀνέλαβεν, ἐκεῖνον δὲ τῆς νυκτὸς ἥκειν κελεύσας ἐπὶ τὸν πρὸς τῷ Δημητρείῳ λιμένα μετὰ τῶν τέκνων καὶ θεραπείας ἀναγκαίας, εὐθὺς ἀφ' ἑσπέρας ἀπέπλευσεν. Ὁ δὲ Περσεὺς οἰκτρὰ μὲν ἔπασχε, διὰ σενῆς θυρίδος παρὰ τὸ τεῖχος ἐκμηρυόμενος αὐτὸν, καὶ παιδία καὶ γυναῖκα, πόνων καὶ πλάνης ἀπείρους· οἰκτρότατον δὲ σεναγμὸν ἀφῆκεν, ὡς τις αὐτῷ πλανωμένῳ παρὰ τὸν αἰγιαλὸν, ἤδη πελάγιον τὸν Ὀροάνδην θέοντα κατιδὼν ἔφρασεν. Ὑπέλαμπε γὰρ ἡμέρα, καὶ πάσης ἐλπίδος ἔρη-

μος, ὑπεχώρει φυγῇ πρὸς τὸ τεῖχος, οὐ λαθὼν μὲν, ὑποφθάσας δὲ τοὺς Ῥωμαίους μετὰ τῆς γυναικός. Τὰ δὲ παιδία συλλαβὼν αὐτὸς Ἴωνι ἐνεχείρισεν, ὃς πάλαι μὲν ἐρώμενος ἦν τοῦ Περσέως, τότε δὲ προδότης γενόμενος, αἰτίαν παρέσχε τὴν μάλιστα συναναγκάσασαν τὸν ἄνθρωπον, ὡς θηρίον, ἁλισκομένων τῶν τέκνων, εἰς χεῖρας ἐλθεῖν, καὶ παραδοῦναι τὸ σῶμα τοῖς ἐκείνων κρατοῦσιν. Ἐπίσευε μὲν οὖν μάλιστα τῷ Νασικᾷ, κἀκεῖνον ἐκάλει· μὴ παρόντος δὲ, κατακλαύσας τὴν τύχην, καὶ τὴν ἀνάγκην περισκεψάμενος, ἔδωκεν αὐτὸν ὑποχείριον τῷ Γναίῳ, τότε μάλιστα ποιήσας φανερὸν, ὅτι τῆς φιλαργυρίας ἦν ἐν αὐτῷ τι κακὸν ἀγεννέστερον, ἡ φιλοψυχία, δι' ἣν, ὃ μόνον ἡ τύχη τῶν ἐπταικότων οὐκ ἀφαιρεῖται, τὸν ἔλεον, ἀπεστέρησεν ἑαυτοῦ. Δεηθεὶς γὰρ ἀχθῆναι πρὸς τὸν Αἰμίλιον, ὁ μὲν ὡς ἀνδρὶ μεγάλῳ, πεπτωκότι πτῶμα νεμεσητὸν καὶ δυστυχὲς, ἐξαναστὰς ὑπήντα μετὰ τῶν φίλων δεδακρυμένος. Ὁ δ', αἴσχιστον θέαμα προβαλὼν αὐτὸν ἐπὶ γόμα, καὶ γονάτων ὀρεξάμενος, ἀνεβάλλετο φωνὰς ἀγεννεῖς, καὶ δεήσεις, ἃς οὐχ ὑπέμεινεν, οὐδ' ἤκουσεν ὁ Αἰμίλιος, ἀλλὰ προσβλέψας αὐτὸν ἀλγοῦντι καὶ λελυπημένῳ τῷ προσώπῳ· "Τί τῆς τύχης (εἶπεν), ὦ ταλαίπωρε, τὸ μέγιστον ἀφαιρεῖς τῶν ἐγκλημάτων, ταῦτα πράττων, ἀφ' ὧν δόξεις οὐπαρ' ἀξίαν ἀτυχεῖν, οὐδὲ τοῦ νῦν, ἀλλὰ τοῦ πάλαι δαίμονος ἀνάξιος γεγονέναι; Τί δέμου καταβάλλεις τὴν νίκην, καὶ τὸ κατόρθωμα ποιεῖς μικρὸν, ἐπιδεικνύμενος σεαυτὸν οὐ γενναῖον, οὐδὲ πρέποντα Ῥωμαίων ἀνταγωνιστήν; Ἀρετὴ τοῖς δυστυχοῦσι μεγάλην ἔχει μοῖραν αἰδοῦς καὶ παρὰ πολεμίοις· δειλία δὲ Ῥωμαίοις, κἂν εὐποτμῇ, πάντη ἀτιμότατον,,.

ΚΖ. Οὐ μὴν ἀλλὰ τοῦτον μὲν ἀναστήσας καὶ δεξιωσάμενος, Τουβέρωνι παρέδωκεν· αὐτὸς δὲ τοὺς παῖδας καὶ τοὺς γαμβροὺς, καὶ τῶν ἄλλων ἡγεμονικῶν μάλιστα τοὺς νεωτέρους ἔσω τῆς σκηνῆς ἐπισπασάμενος, πολὺν χρόνον ἦν πρὸς αὐτῷ σιωπῇ καθήμενος,

ὥσε θαυμάζειν ἅπαντας. Ὁρμήσας δὲ περὶ τῆς τύχης καὶ τῶν ἀνθρωπίνων διαλέγεσθαι πραγμάτων· "Ἆρά γ' (εἶπεν) ἄξιον, εὐπραγίας παρούσης, ἄνθρωπον ὄντα θρασύνεσθαι καὶ μέγα φρονεῖν, ἔθνος, ἢ πόλιν, ἢ βασιλείαν, καταστρεψάμενον; ἢ τὴν μεταβολὴν ταύτην τῆς τύχης, ἢ παράδειγμα τῷ πολεμοῦντι κοινῆς ἀσθενείας προθεῖσα, παιδεύει μηδὲν ὡς μόνιμον καὶ βέβαιον διανοεῖσθαι; Ποῖος γὰρ ἀνθρώποις τοῦ θαρρεῖν καιρὸς, ὅταν τὸ κρατεῖν ἑτέρων μάλιστα δεδοικέναι τὴν τύχην ἀναγκάζῃ, καὶ τῷ χαίροντι δυσθυμίαν ἐπάγῃ τοσαύτην ὁ τῆς περιφερομένης καὶ προσισαμένης ἄλλοτ' ἄλλοις εἱμαρμένης λογισμός; Ἢ τὴν Ἀλεξάνδρου διαδοχὴν, ὃς ἐπὶ πλεῖστον ἤρθη δυνάμεως, καὶ μέγιστον ἔσχε κράτος, ὥρας μιᾶς μορίῳ πεσοῦσαν, ὑπὸ πόδας θέμενοι, καὶ τοὺς ἄρτι μυριάσι πεζῶν καὶ χιλιάσιν ἱππέων τοσαύταις ὁπλοφορουμένους βασιλεῖς ὁρῶντες ἐκ τῶν πολεμίων χειρῶν ἐφήμερα σιτία καὶ ποτὰ λαμβάνοντας, οἴεσθε τὰ καθ' ἡμᾶς ἔχειν τινὰ βεβαιότητα τύχης διαρκῆ πρὸς τὸν χρόνον; Οὐ καταβαλόντες ὑμεῖς οἱ νέοι τὸ κενὸν φρύαγμα τοῦτο καὶ γαυρίαμα τῆς νίκης, ταπεινοὶ καταπτήξετε, πρὸς τὸ μέλλον ἀεὶ καραδοκοῦντες, εἴς ὅ τι κατασκήψει τέλος ἑκάστῳ τὴν τῆς παρούσης εὐπραγίας ὁ δαίμων νέμεσιν;» Τοιαῦτα φασὶ πολλὰ διαλεχθέντα τὸν Αἰμίλιον ἀποπέμψαι τοὺς νέους, εὖ μάλα τὸ καύχημα καὶ τὴν ὕβριν, ὥσπερ χαλινῷ, τῷ λόγῳ κόπτοντι, κεκολασμένους.

ΚΗ. Ἐκ τούτου τὴν μὲν στρατιὰν πρὸς ἀνάπαυσιν, αὐτὸν δὲ πρὸς θέαν τῆς Ἑλλάδος ἔτρεψε, καὶ διαγωγὴν ἔνδοξον ἅμα καὶ φιλάνθρωπον. Ἐπιὼν γὰρ ἀνελάμβανε τοὺς δήμους, καὶ τὰ πολιτεύματα καθίστατο, καὶ δωρεὰς ἐδίδου, ταῖς μὲν σῖτον ἐκ τοῦ βασιλικοῦ, ταῖς δ' ἔλαιον. Τοσοῦτον γὰρ εὑρεθῆναι φασὶν ἀποκείμενον, ὥσε τοὺς λαμβάνοντας καὶ δεομένους ἐπιλιπεῖν πρότερον, ἢ καταναλωθῆναι τὸ πλῆθος τῶν εὑρεθέντων. Ἐν δὲ Δελφοῖς ἰδὼν κίονα μέγαν τετράγωνον ἐκ λίθων λευκῶν συνηρμοσμέ-

νον, ἐφ' οὗ Περσέως ἔμελλε χρυσοῦς ἀνδριὰς τίθεσθαι, προσέταξε τὸν αὑτοῦ τεθῆναι· τοὺς γὰρ ἡττημένους τοῖς νικῶσιν ἐξίστασθαι χώρας προσήκειν. Ἐν δ' Ὀλυμπίᾳ τοῦτο δὴ τὸ πολυθρύλλητον ἐκεῖνο ἀναφθέγξασθαι φασὶν, ὡς τὸν Ὁμήρου Δία Φειδίας ἀποπλάσαιτο. Τῶν δὲ δέκα πρέσβεων ἐκ Ῥώμης ἀφικομένων, Μακεδόσι μὲν ἀπέδωκε τὴν χώραν καὶ τὰς πόλεις ἐλευθέρας οἰκεῖν καὶ αὐτονόμους· ἑκατὸν δὲ τάλαντα Ῥωμαίοις ὑποτελεῖν, οὗ πλέον, ἢ διπλάσιον, τοῖς βασιλεῦσιν εἰσέφερον. Θέας δὲ παντοδαπῶν ἀγώνων καὶ θυσίας ἐπιτελῶν τοῖς θεοῖς, ἑστιάσεις καὶ δεῖπνα προὔθετο, χορηγίᾳ μὲν ἐκ τῶν βασιλικῶν ἀφθόνῳ χρώμενος, τάξιν δὲ καὶ κόσμον καὶ καταλλίσεις καὶ δεξιώσεις, καὶ τὴν πρὸς ἕκαστον αὐτοῦ τῆς κατ' ἀξίαν τιμῆς καὶ φιλοφροσύνης αἴσθησιν, οὕτως ἀκριβῆ καὶ πεφροντισμένην ἐνδεικνύμενος, ὥστε θαυμάζειν τοὺς Ἕλληνας, εἰ μηδὲ τὴν παιδιὰν ἄμοιρον ἀπολείπει σπουδῆς, ἀλλὰ τηλικαῦτα πράττων ἀνὴρ πράγματα, καὶ τοῖς μικροῖς τὸ πρέπον ἀποδίδωσιν. Ὁ δὲ καὶ τούτοις ἔχαιρεν, ὅτι πολλῶν παρεσκευασμένων καὶ λαμπρῶν, τὸ ἥδιον αὐτὸς ἦν ἀπόλαυσμα καὶ θέαμα τοῖς παροῦσι. Καὶ πρὸς τοὺς θαυμάζοντας τὴν ἐπιμέλειαν ἔλεγε, τῆς αὐτῆς εἶναι ψυχῆς, παρατάξεώς τε προσῆναι καλῶς, καὶ συμποσίου· τὴν μὲν, ὅπως φοβερωτάτη τοῖς πολεμίοις, τὸ δ', ὡς εὐχαριστότατον ᾖ τοῖς συνοῦσιν. Οὐδενὸς δ' ἧττον αὐτοῦ τὴν ἐλευθεριότητα καὶ τὴν μεγαλοψυχίαν ἐπῄνουν οἱ ἄνθρωποι, πολὺ μὲν ἀργύριον, πολὺ δὲ χρυσίον ἐκ τῶν βασιλικῶν ἠθροισμένον οὐδ' ἰδεῖν ἐθελήσαντος, ἀλλὰ τοῖς ταμίαις εἰς τὸ δημόσιον παραδόντος. Μόνα τὰ βιβλία τοῦ βασιλέως φιλογραμματοῦσι τοῖς υἱέσιν ἐπέτρεψεν ἐξελέσθαι· καὶ διανέμων ἀρισεῖα τῆς μάχης, Αἰλίῳ Τουβέρωνι τῷ γαμβρῷ φιάλην ἔδωκε πέντε λιτρῶν ὁλκήν. Οὗτός ἐστι Τουβέρων, ὃν ἔφαμεν μετὰ συγγενῶν οἰκεῖν ἑκκαιδέκατον, ἀπὸ γηδίου μικροῦ διατρεφομένων ἁπάντων. Καὶ πρῶτον ἄργυρον ἐκεῖνον φασὶν εἰς τὸν Αἰλίων οἶκον εἰσελθεῖν, ὑπ' ἀρετῆς

καὶ τιμῆς εἰσαγόμενον· τὸν δ' ἄλλον χρόνον οὔτ' αὐτοὺς, οὔτε γυναῖκας ἀργυρίου χρήζειν, ἢ χρυσοῦ.

ΚΘ. Διφκημένων δὲ πάντων αὐτῷ καλῶς, ἀσπασάμενος τοὺς Ἕλληνας, καὶ παρακαλέσας τοὺς Μακεδόνας μεμνῆσθαι τῆς δεδομένης ὑπὸ Ῥωμαίων ἐλευθερίας, σώζοντας αὐτὴν δὶ εὐνομίας καὶ ὁμονοίας, ἀνέζευξεν ἐπὶ τὴν Ἤπειρον, ἔχων δόγμα συγκλήτου τοὺς συμμεμαχημένους αὐτῷ τὴν πρὸς Περσέα μάχην στρατιώτας ἀπὸ τῶν ἐκεῖ πόλεων ὠφελῆσαι. Βουλόμενος δὲ πᾶσιν ἅμα καὶ μηδενὸς προσδοκῶντος, ἀλλ' ἐξαίφνης ἐπιπεσεῖν, μετεπέμψατο τοὺς πρώτους ἐξ ἑκάστης πόλεως ἄνδρας δέκα, καὶ προσέταξεν αὐτοῖς, ὅσος ἄργυρός ἐστι καὶ χρυσὸς ἐν οἰκίαις καὶ ἱεροῖς, ἡμέρᾳ ῥητῇ καταφέρειν. Ἑκάστοις δὲ συνέπεμψεν, ὡς ἐπ' αὐτὸ δὴ τοῦτο, φρουρὰν στρατιωτῶν, καὶ ταξίαρχον, προσποιούμενον ζητεῖν καὶ παραλαμβάνειν τὸ χρυσίον. Ἐνστάσης δὲ τῆς ἡμέρας, ὑφ' ἕνα καὶ τὸν αὐτὸν ἅμα καιρὸν ὁρμήσαντες, ἐτράποντο πρὸς καταδρομὴν καὶ διαρπαγὴν τῶν πόλεων· ὥστε ὥρᾳ μιᾷ πεντεκαίδεκα ἀνθρώπων ἐξανδραποδισθῆναι μυριάδας, ἑβδομήκοντα δὲ πόλεις πορθηθῆναι, γενέσθαι δ' ἀπὸ τοσαύτης φθορᾶς καὶ πανωλεθρίας ἑκάστῳ στρατιώτῃ τὴν δόσιν οὐ μείζον' ἑνδεκα δραχμῶν· φρίξαι δὲ πάντας ἀνθρώπους τὸ τοῦ πολέμου τέλος, εἰς μικρὸν οὕτω τὸ καθ' ἕκαστον λῆμμα καὶ κέρδος ἔθνους ὅλου κατακερματισθέντος.

Α. Αἰμίλιος μὲν οὖν τοῦτο πράξας μάλιστα παρὰ τὴν αὐτοῦ φύσιν, ἐπιεικῆ καὶ χρηστὴν οὖσαν, εἰς Ὠρικὸν κατέβη· κἀκεῖθεν εἰς Ἰταλίαν μετὰ τῶν δυνάμεων περαιωθεὶς, ἀνέπλει τὸν Θύβριν ποταμὸν, ἐπὶ τῆς βασιλικῆς ἑκκαιδεκήρους, κατεσκευασμένης εἰς κόσμον ὅπλοις αἰχμαλώτοις, καὶ φοινικίσι καὶ πορφύραις, ὡς καὶ πανηγυρίζοντας ἔξωθεν, καθάπερ εἴς τινα θριαμβικὴν θέαν, πομπῆς προαπολαύειν τοὺς Ῥωμαίους, τῷ ῥοθίῳ σχεδὴν ὑπάγοντι τὴν ναῦν ἀντιπαρεξάγοντας. Οἱ δὲ στρατιῶται τοῖς βασιλικοῖς χρήμασιν ἐποφθαλμήσαντες, ὡς οὐχ ὅσων ἠξίουν ἔτυχον, ὠργί-

ζοντο μὲν ἀδήλως διὰ τοῦτο, καὶ χαλεπῶς εἶχον πρὸς τὸν Αἰμίλιον, αἰτιώμενοι δὲ φανερῶς, ὅτι βαρὺς γένοιτο καὶ δεσποτικὸς αὐτοῖς ἄρχων, οὐ πάνυ προθύμως ἐπὶ τὴν ὑπὲρ τοῦ θριάμβου σπουδὴν ἀπήντησαν. Αἰσθόμενος δὲ τοῦτο Σέρβιος Γάλβας, ἐχθρὸς Αἰμιλίου, γεγονὼς δὲ τῶν ὑπ' αὐτὸν χιλιάρχων, ἐθάρρησεν ἀναφανδὸν εἰπεῖν, ὡς οὐ δοτέον εἴη τὸν θρίαμβον. Ἐνεὶς δὲ πολλὰς τῷ στρατιωτικῷ πλήθει διαβολὰς κατὰ τοῦ στρατηγοῦ, καὶ τὴν οὖσαν ὀργὴν ἔτι μᾶλλον ἐξερεθίσας, ᾐτεῖτο παρὰ τῶν δημάρχων ἄλλην ἡμέραν· ἐκείνην γὰρ οὐκ ἐξαρκεῖν τῇ κατηγορίᾳ, τέσσαρας ἔτι λοιπὰς ὥρας ἔχουσαν. Τῶν δὲ δημάρχων λέγειν αὐτὸν, εἴ τι βούλεται, κελευόντων, ἀρξάμενος μακρῷ καὶ βλασφημίας ἔχοντι παντοδαπὰς χρῆσθαι λόγῳ, τὸν χρόνον ἀνήλωσε τῆς ἡμέρας· καὶ γενομένου σκότους, οἱ μὲν δήμαρχοι τὴν ἐκκλησίαν ἀφῆκαν, πρὸς δὲ τὸν Γάλβαν οἱ στρατιῶται συνέδραμον θρασύτεροι γεγονότες· καὶ συγκροτήσαντες αὐτοὺς, περὶ τὸν ὄρθρον αὖθις καταλαμβάνονται τὸ Καπιτώλιον. Ἐκεῖ γὰρ οἱ δήμαρχοι τὴν ἐκκλησίαν ἔμελλον ἄξειν.

ΛΑ. Ἅμα δ' ἡμέρᾳ τῆς ψήφου δοθείσης, ἥ τε πρώτη φυλὴ τὸν θρίαμβον ἀπεψηφίζετο, καὶ τοῦ πράγματος αἴσθησις εἰς τὸν ἄλλον δῆμον καὶ τὴν σύγκλητον κατῄει. Καὶ τὸ μὲν πλῆθος, ὑπεραλγοῦν τῷ προπηλακίζεσθαι τὸν Αἰμίλιον, ἐν φωναῖς ἦν ἀπράκτοις· οἱ δὲ γνωριμώτατοι τῶν ἀπὸ βουλῆς, δεινὸν εἶναι τὸ γινόμενον βοῶντες, ἀλλήλους παρεκάλουν ἐπιλαβέσθαι τῆς τῶν στρατιωτῶν ἀσελγείας καὶ θρασύτητος, ἐπὶ πᾶν ἀφιξομένης ἄνομον ἔργον καὶ βίαιον, εἰ μηδὲν ἐμποδὼν αὐτοῖς γένοιτο, Παῦλον Αἰμίλιον ἀφελέσθαι τῶν ἐπινικίων τιμῶν. Ὡσάμενοι δὲ τὸν ὄχλον καὶ ἀναβάντες ἀθρόοι, τοῖς δημάρχοις ἔλεγον ἐπισχεῖν τὴν ψηφοφορίαν, ἄχρις ἂν διέλθωσιν, ἃ βούλονται, πρὸς τὸ πλῆθος. Ἐπισχόντων δὲ πάντων, καὶ γενομένης σιωπῆς, ἀνελθὼν ἀνὴρ ὑπατικὸς καὶ πολεμίους εἴκοσι καὶ τρεῖς ἐκ προκλήσεως ἀνῃρηκὼς,

Μάρκος Σερβίλιος, Αἰμίλιον μὲν ἔφη Παῦλον, ἡλίκος αὐτοκράτωρ γένοιτο, τὸ νῦν μάλιστα γινώσκειν, ὁρῶν, ὅσης ἀπειθίας γέμοντι καὶ κακίας στρατεύματι χρώμενος, οὕτω καλὰς κατώρθωσε καὶ μεγάλας πράξεις· θαυμάζειν δὲ τὸν δῆμον, εἰ τοῖς ἀπ' Ἰλλυριῶν καὶ Λιγύων ἀγαλλόμενος θριάμβοις, αὐτῷ φθονεῖ τὸν Μακεδόνων βασιλέα ζῶντα καὶ τὴν Ἀλεξάνδρου καὶ Φιλίππου δόξαν ἐπιδεῖν ὑπὸ τοῖς Ῥωμαίων ὅπλοις ἀγομένην αἰχμάλωτον. Πῶς γὰρ οὐ δεινόν, εἶπεν, εἰ, φήμης περὶ νίκης ἀβεβαίου πρότερον εἰς τὴν πόλιν ἐμπεσούσης, ἐθύσατε τοῖς θεοῖς, εὐχόμενοι τοῦ λόγου τούτου ταχέως ἀπολαβεῖν τὴν ὄψιν· ἥκοντος δὲ τοῦ στρατηγοῦ μετὰ τῆς ἀληθινῆς νίκης, ἀφαιρεῖσθε τῶν μὲν θεῶν τὴν τιμήν, αὐτῶν δὲ τὴν χαράν, ὡς φοβούμενοι θεάσασθαι τὸ μέγεθος τῶν κατορθωμάτων, ἢ φειδόμενοι πολεμίου βασιλέως; καίτοι κρεῖττον ἦν, τῷ πρὸς ἐκεῖνον ἐλέῳ, μὴ τῷ πρὸς αὐτοκράτορα φθόνῳ λυθῆναι τὸν θρίαμβον. Ἀλλ' εἰς τοσαύτην, ἔφη, τὸ κακόηθες ἐξουσίαν προάγεται δ' ὑμῶν, ὥς ἐστι περὶ στρατηγίας καὶ θριάμβου τολμᾷ λέγειν ἄνθρωπος ἄτρωτος, καὶ τῷ σώματι χίλβων ὑπὸ λειότητος καὶ σκιατραφίας, πρὸς ἡμᾶς τοὺς τοσούτοις τραύμασι πεπαιδευμένους ἀρετὰς καὶ κακίας κρίνειν στρατηγῶν. Ἅμα δὲ τῆς ἐσθῆτος διασχὼν, ἐξέφηνε κατὰ τῶν στέρνων ὠτειλὰς ἀπίστους τὸ πλῆθος. Εἶτα μεταστραφείς, ἕνια τῶν οὐκ εὐπρεπῶς ἐν ὄχλῳ γυμνοῦσθαι δοκούντων τοῦ σώματος ἀνεκάλυψε· καὶ πρὸς τὸν Γάλβαν ἐπιστρέψας· Σὺ μέν, ἔφη, γελᾷς ἐπὶ τούτοις, ἐγὼ δὲ σεμνύνομαι πρὸς τοὺς πολίτας· ὑπὲρ τούτων γὰρ ἡμέραν καὶ νύκτα συνεχῶς ἱππασάμενος, ταῦτ' ἔσχον. Ἀλλ' ἄγε λαβὼν αὐτοὺς ἐπὶ τὴν ψῆφον· ἐγὼ δὲ καταβὰς παρακολουθήσω πᾶσι, καὶ γνώσομαι τοὺς κακοὺς καὶ ἀχαρίστους, καὶ δημαγωγεῖσθαι μᾶλλον ἐν τοῖς πολέμοις, ἢ στρατηγεῖσθαι, βουλομένους.

ΑΒ. Οὕτω φασὶν ὑπὸ τῶν λόγων τούτων ἀνακοπῆναι καὶ μεταβαλεῖν τὸ στρατιωτικὸν, ὥστε πάσαις ταῖς φυλαῖς ἐπιτιμῶ-

θῆναι τῷ Αἰμιλίῳ τὸν θρίαμβον. Πεμφθῆναι δ' αὐτὸν οὕτω λέγουσιν. Ὁ μὲν δῆμος, ἔν τε τοῖς ἱππικοῖς θεάτροις, ἃ Κίρκους καλοῦσιν, περί τε τὴν ἀγορὰν ἱκρία πηξάμενοι, καὶ τἄλλα τῆς πόλεως μέρη καταλαβόντες, ὡς ἕκαστα παρεῖχε τῆς πομπῆς ἔποψιν, ἐθεῶντο καθαραῖς ἐσθῆσι κεκοσμημένοι. Πᾶς δὲ ναὸς ἀνέῳκτο, καὶ στεφάνων καὶ θυμιαμάτων ἦν πλήρης. Ὑπηρέται τε πολλοὶ καὶ ῥαβδονόμοι τοὺς ἀτάκτως συῤῥέοντας εἰς τὸ μέσον καὶ διαθέοντας ἐξείργοντες, ἀναπεπταμένας τὰς ὁδοὺς καὶ καθαρὰς παρεῖχον. Τῆς δὲ πομπῆς εἰς ἡμέρας τρεῖς νενεμημένης, ἡ μὲν πρώτη, μόλις ἐξαρκέσασα τοῖς αἰχμαλώτοις ἀνδριάσι καὶ γραφαῖς καὶ κολοσσοῖς ἐπὶ ζευγῶν πεντήκοντα καὶ διακοσίων κομιζομένοις, τούτων ἔσχε θέαν. Τῇ δ' ὑσεραίᾳ τὰ κάλλιστα καὶ πολυτελέστατα τῶν Μακεδονικῶν ὅπλων ἐπέμπετο πολλαῖς ἁμάξαις, αὐτὰ τεμαρμαίροντα χαλκῷ νεοσμήκτῳ καὶ σιδήρῳ· τήν τε θέσιν ἐκ τέχνης καὶ συναρμογῆς, ὡς ἂν μάλιστα συμπεφορημένοις χύδην καὶ αὐτομάτως ἐῴκει πεποιημένα· κράνη πρὸς ἀσπίσι, καὶ θώρακες ἐπὶ κνημῖσι, καὶ Κρητικαὶ πέλται, καὶ Θρᾴκια γέρρα, καὶ φαρέτραι μεθ' ἱππικῶν ἀναμεμιγμέναι χαλινῶν, καὶ ξίφη γυμνὰ διὰ τούτων παρανίσχοντα, καὶ σάρισσαι παραπεπηγυῖαι, σύμμετρον ἐχόντων χάλασμα τὸν ὅπλων, ὥσε τὴν πρὸς ἄλληλα κροῦσιν ἐν τῷ διαφέρεσθαι τραχὺ καὶ φοβερὸν ὑπηχεῖν, καὶ μηδὲ νενικημένων ἄφοβον εἶναι τὴν ὄψιν. Μετὰ δὲ τὰς ὁπλοφόρους ἁμάξας ἄνδρες ἐπεπορεύοντο τρισχίλιοι, νόμισμα φέροντες ἀργυροῦν ἐν ἀγγείοις ἑπτακοσίοις πεντήκοντα τριταλάντοις, ὧν ἕκαστον ἀνὰ τέσσαρες ἐκόμιζον· ἄλλοι δὲ κρατῆρας ἀργυροῦς, καὶ κέρατα, καὶ φιάλας, καὶ κύλικας, εὖ διακεκοσμημένα πρὸς θέαν ἕκαστα, περιττὰ τῷ μεγέθει καὶ τῇ παχύτητι τῆς τορείας.

ΛΓ. Τῆς δὲ τρίτης ἡμέρας ἕωθεν μὲν εὐθὺς ἐπορεύοντο σαλπιγκταὶ, μέλος οὐ προσόδιον καὶ πομπικὸν, ἀλλ' οἷῳ μαχομένους ἐποτρύνουσιν αὐτοὺς Ῥωμαῖοι, προσεγκελευόμενοι. Μετὰ δὲ

τούτους ἤγοντο χρυσόκερω τροφίαι βοῦς, ἑκατὸν εἴκοσι, μίτραις ἠσκημένοι καὶ σέμμασιν. Οἱ δ' ἄγοντες αὐτοὺς νεανίσκοι, περιζώμασιν εὐπαρύφοις ἐσαλμένοι πρὸς ἱερουργίαν, ἐχώρουν, καὶ παῖδες ἀργυρᾶ λοιβεῖα καὶ χρυσᾶ κομίζοντες. Εἶτα μετὰ τούτους οἱ τὸ χρυσοῦν νόμισμα φέροντες, εἰς ἀγγεῖα τριταλαντιαῖα μεμερισμένον ὁμοίως τῷ ἀργυρῷ. Τὸ δὲ πλῆθος ἦν τῶν ἀγγείων ὀγδοήκοντα, τριῶν δέοντα. Τούτοις ἐπέβαλλον οἵ τε τὴν ἱερὰν φιάλην ἀνέχοντες, ἣν ὁ Αἰμίλιος ἐκ χρυσοῦ δεκατάλαντον διάλιθον κατεσκεύασεν· οἵ τε τὰς Ἀντιγονίδας καὶ Σελευκίδας καὶ Θηρικλείους, καὶ ὅσα περὶ δεῖπνον χρυσώματα τοῦ Περσέως, ἐπιδεικνύμενοι. Τούτοις ἐπέβαλλε τὸ ἅρμα τοῦ Περσέως, καὶ τὰ ὅπλα, καὶ τὸ διάδημα τοῖς ὅπλοις ἐπικείμενον. Εἶτα, μικροῦ διαλείμματος ὄντος ἤδη, τὰ τέκνα τοῦ βασιλέως ἦγοντο δοῦλα, καὶ σὺν αὐτοῖς τροφέων καὶ διδασκάλων καὶ παιδαγωγῶν δεδακρυμένων ὄχλος· αὐτῶν τε τὰς χεῖρας ὀρεγόντων εἰς τοὺς θεατὰς, καὶ τὰ παιδία δεῖσθαι καὶ λιτανεύειν διδασκόντων. Ἦν δ' ἄῤῥενα μὲν δύο, θῆλυ δὲ ἓν, οὐ πάνυ συμφρονοῦντα τῶν κακῶν τὸ μέγεθος διὰ τὴν ἡλικίαν· ἢ καὶ μᾶλλον ἐλεεινὰ πρὸς τὴν μεταβολὴν τῆς ἀναισθησίας ἦν· ὥστε μικροῦ τὸν Περσέα βαδίζειν πικρώμενον. Οὕτως ὑπ' οἴκτου τοῖς νηπίοις προσεῖχον τὰς ὄψεις οἱ Ῥωμαῖοι, καὶ δάκρυα πολλοῖς ἐκβάλλειν συνέβη· πᾶσι δὲ, μεμιγμένην ἀλγηδόνι καὶ χάριτι τὴν θέαν εἶναι, μέχρις οὗ τὰ παιδία παρῆλθεν.

ΛΔ. Αὐτὸς δὲ τῶν τέκνων ὁ Περσεὺς, καὶ τῆς περὶ αὐτὰ θεραπείας, κατόπιν ἐπορεύετο, φαιὸν μὲν ἱμάτιον ἀμπεχόμενος, καὶ κρηπῖδας ἔχων ἐπιχωρίους, ὑπὸ δὲ μεγέθους τῶν κακῶν πάντα θαμβοῦντι καὶ παραπεπληγμένῳ μάλιστα τὸν λογισμὸν εἰκώς. Καὶ τούτῳ δ' εἵπετο χορὸς φίλων καὶ συνήθων, βεβαρημένων τὰ πρόσωπα πένθει, καὶ τῷ πρὸς Περσέα βλέπειν ἀεὶ καὶ δακρύειν, ἔννοιαν παριστάντων τοῖς θεωμένοις, ὅτι τὴν

ἐκείνου τύχην ὀλοφύρονται, τῶν καθ' ἑαυτοὺς ἐλάχιστα φροντίζοντες. Καίτοι προσέπεμψε τῷ Αἰμιλίῳ, δεόμενος, μὴ πομπευθῆναι, καὶ παραιτούμενος τὸν θριαμβον. Ὁ δὲ, τῆς ἀνανδρίας αὐτοῦ καὶ φιλοψυχίας, ὡς ἔοικε, καταγελῶν· Ἀλλὰ τοῦτό γ', εἶπε, καὶ πρότερον ἦν ἐπ' αὐτῷ, καὶ νῦν ἐστιν, ἂν βούληται· δηλῶν τὸν πρὸ αἰσχύνης θάνατον, ὃν οὐχ ὑπομείνας ὁ δειλαιος, ἀλλ' ὑπ' ἐλπίδων τινῶν ἀπομαλακισθεὶς, ἐγεγόνει μέρος τῶν αὐτοῦ λαφύρων. Ἐφεξῆς δὲ τούτοις ἐκομίζοντο χρυσοῖ στέφανοι τετρακόσιοι τὸ πλῆθος, οὓς αἱ πόλεις ἀριστεῖα τῆς νίκης τῷ Αἰμιλίῳ μετὰ πρεσβειῶν ἔπεμψαν. Εἶτ' αὐτὸς ἐπέβαλεν, ἅρματι κεκοσμημένῳ διαπρεπῶς ἐπιβεβηκώς, ἀνὴρ καὶ δίχα τοσαύτης ἐξουσίας ἀξιοθέατος, ἁλουργίδα χρυσόπαστον ἀμπεχόμενος, καὶ δάφνης κλῶνα τῇ δεξιᾷ προτείνων. Ἐδαφνηφόρει δὲ καὶ σύμπας ὁ στρατὸς, τῷ μὲν ἅρματι τοῦ στρατηγοῦ κατὰ λόχους καὶ τάξεις ἑπόμενος, ᾄδων δὲ τὰ μὲν ᾠδάς τινας πατρίους ἀναμεμιγμένας γέλωτι, τὰ δὲ παιᾶνας ἐπινικίους, καὶ τῶν διαπεπραγμένων ἐπαίνους εἰς τὸν Αἰμίλιον, περίβλεπτον ὄντα καὶ ζηλωτὸν ὑπὸ πάντων, οὐδενὶ δὲ τῶν ἀγαθῶν ἐπίφθονον· πλὴν εἴτι δαιμόνιον ἄρα τῶν μεγάλων καὶ ὑπερόγκων εἴληχεν εὐτυχιῶν ἀπαρύτειν, καὶ μιγνύναι τὸν ἀνθρώπινον βίον, ὅπως μηδενὶ κακῶν ἄκρατος εἴη καὶ καθαρὸς, ἀλλὰ, καθ' Ὅμηρον, ἄρισα δοκῶσι πράττειν, οἷς αἱ τύχαι τροπὴν ἐπ' ἀμφότερα τῶν πραγμάτων ἔχουσιν.

ΛΕ. Ἦσαν γὰρ αὐτῷ τέσσαρες υἱοὶ, δύο μὲν εἰς ἑτέρας ἀποκισμένοι συγγενείας, ὡς ἤδη λέλεκται, Σκιπίων καὶ Φάβιος, δύο δὲ, παῖδες ἔτι τὴν ἡλικίαν, οὓς ἐπὶ τῆς οἰκίας εἶχε τῆς ἑαυτοῦ, γεγονότας ἐξ ἑτέρας γυναικός. Ὧν ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριαμβεύειν τὸν Αἰμίλιον ἐτελεύτησε τεσσαρεσκαιδεκέτης, ὁ δὲ δωδεκέτης μετὰ τρεῖς ἡμέρας θριαμβεύσαντος ἐπαπέθανεν· ὥστε μηδένα γενέσθαι Ῥωμαίων τοῦ πάθους ἀνάλγη-

τον, ἀλλὰ φρίξαι τὴν ὠμότητα τῆς τύχης ἅπαντας, ὡς οὐκ ἠδέσατο πένθος τοσοῦτον εἰς τὴν οἰκίαν, ζήλου καὶ χαρᾶς καὶ θυσιῶν γέμουσαν, εἰσάγουσα, καὶ καταμιγνύουσα θρήνους καὶ δάκρυα παιᾶσιν ἐπινικίοις καὶ θριάμβοις.

Λ΄. Οὐ μὴν ἀλλ' ὁ Αἰμίλιος, ὀρθῶς λογιζόμενος, ἀνδρίας καὶ θαρραλεότητος ἀνθρώποις οὐ πρὸς ὅπλα καὶ σαρίσσας χρῆσιν εἶναι μόνον, ἀλλὰ πρὸς πᾶσαν ὁμαλῶς τύχης ἀντίσασιν, οὕτως ἡρμόσατο καὶ κατεκόσμησε τὴν τῶν παρόντων σύγκρασιν, ὥσε τοῖς ἀγαθοῖς τὰ φλαῦρα, καὶ τὰ οἰκεῖα τῆς δημοσίοις ἐναφανισθέντα, μὴ ταπεινῶσαι τὸ μέγεθος, μηδὲ καθυβρίσαι τὸ ἀξίωμα τῆς νίκης. Τὸν μέν γε πρότερον τῶν παίδων ἀποθανόντα θάψας, εὐθὺς ἐθριάμβευσεν, ὡς λέλεκται· τοῦ δὲ δευτέρου μετὰ τὸν θρίαμβον τελευτήσαντος, συναγαγὼν εἰς ἐκκλησίαν τὸν Ῥωμαίων δῆμον, ἐχρήσατο λόγοις ἀνδρὸς οὐδενὸς παραμυθίας, ἀλλὰ παραμυθουμένου τοὺς πολίτας δυσπαθοῦντας ἐφ' οἷς ἐκεῖνος ἐδυσύχησεν. Ἔφη γὰρ, ὅτι τῶν ἀνθρωπίνων οὐδὲν οὐδέποτε δείσας, τῶν δὲ θείων, ὡς ἀπιστότατον καὶ ποικιλώτατον πρᾶγμα, τὴν τύχην ἀεὶ φοβηθείς, μάλιστα παρὰ τοῦτον αὐτῆς τὸν πόλεμον, ὥσπερ πνεύματος λαμπροῦ, ταῖς πράξεσι παρούσης διατελοίη μεταβολήν τινα καὶ παλίρροιαν προσδεχόμενος. « Μιᾷ μὲν γὰρ (εἶπεν) ἡμέρᾳ τὸν Ἰόνιον ἀπὸ Βρεντεσίου περάσας, εἰς Κέρκυραν κατήχθην· πεμπταῖος δ' ἐκεῖθεν ἐν Δελφοῖς τῷ θεῷ θύσας, ἑτέραις αὖθις αὖ πέντε τὴν δύναμιν ἐν Μακεδονίᾳ παρέλαβον, καὶ τὸν εἰωθότα συντελέσας καθαρμὸν αὐτῆς, καὶ τῶν πράξεων εὐθὺς ἐναρξάμενος, ἐν ἡμέραις ἄλλαις πεντεκαίδεκα τὸ κάλλιστον ἐπέθηκα τῷ πολέμῳ τέλος. Ἀπιστῶν δὲ τῇ τύχῃ διὰ τὴν εὐροιαν τῶν πραγμάτων, ὡς ἄδεια πολλὴ, καὶ κίνδυνος οὐδεὶς ἦν ἀπὸ τῶν πολεμίων, μάλιστα κατὰ πλοῦν ἐδεδίειν τὴν μεταβολὴν τοῦ δαίμονος, ἐπ' εὐτυχίᾳ τοσοῦτον στρατὸν νενικηκότα, καὶ λάφυρα καὶ βασιλεῖς αἰχμαλώτους κομίζων. Οὐ μὴν ἀλλὰ καὶ σωθεὶς

πρὸς ὑμᾶς, καὶ τὴν πόλιν ὁρῶν εὐπροσύνης καὶ ζήλου καὶ θυσιῶν γέμουσαν, ἔτι τὴν τύχην δι' ὑποψίας εἶχον, εἰδὼς οὐδὲν εἰλικρινὲς, οὐδ' ἀνεμέσητον ἀνθρώποις τῶν μεγάλων χαριζομένην. Καὶ τοῦτον οὐ πρότερον ἡ ψυχὴ τὸν φόβον, ὠδίνουσα καὶ περισκοπουμένη τὸ μέλλον ὑπὲρ τῆς πόλεως, ἀφῆκεν, ἢ τηλικαύτῃ μὲ προσπταῖσαι δυσχερείᾳ περὶ τὸν οἶκον, υἱῶν ἀρίστων, οὓς ἐμαυτῷ μόνους ἐλιπόμην διαδόχους, ταφὰς ἐπαλλήλους ἐν ἡμέραις ἱεραῖς μεταχειρισάμενον. Νῦν οὖν ἀκίνδυνός εἰμι τὰ μέγιστα, καὶ θαῤῥῶ καὶ νομίζω τὴν τύχην ὑμῖν παραμενεῖν ἀβλαβῆ καὶ βέβαιον. Ἱκανῶς γὰρ ἐμοὶ καὶ τοῖς ἐμοῖς κακοῖς εἰς τὴν τῶν κατορθωμένων ἀποκέχρηται νέμεσιν, οὐκ ἀφανέστερον ἔχουσα παράδειγμα τῆς ἀνθρωπίνης ἀσθενείας τοῦ θριαμβευομένου τὸν θριαμβεύοντα· πλὴν ὅτι Περσεὺς μὲν ἔχει καὶ νενικημένος τοὺς παῖδας, Αἰμίλιος δὲ τοὺς αὐτοῦ νικήσας ἀπέβαλεν.»

ΛΖ. Οὕτω μὲν εὐγενεῖς καὶ μεγάλους λόγους τὸν Αἰμίλιον ἐξ ἁπλάστου καὶ ἀληθινοῦ φρονήματος ἐν τῷ δήμῳ διαλεχθῆναι λέγουσι. Τῷ δὲ Περσεῖ, καίπερ οἰκτείρας τὴν μεταβολὴν, καὶ μάλα βοηθῆσαι προθυμηθείς, οὐδὲν εὕρετο, πλὴν μεταστάσεως ἐκ τοῦ καλουμένου Κάρκερε παρ' αὐτοῖς, εἰς τόπον καθαρὸν καὶ φιλανθρωποτέραν δίαιταν. Ὅπου φρουρούμενος, ὡς μὲν οἱ πλεῖστοι γεγράφασιν, ἀπεκαρτέρησεν· ἔνιοι δὲ τῆς τελευτῆς ἰδιόν τινα καὶ παρηλλαγμένον τρόπον ἱστοροῦσι. Μεμψαμένους γάρ τι καὶ θυμωθέντας αὐτῷ τοὺς περὶ τὸ σῶμα στρατιώτας, ὡς ἕτερον οὐδὲν ἠδύναντο λυπεῖν καὶ κακοῦν αὐτὸν, ἐξείργειν τῶν ὕπνων, καὶ προσέχοντας ἀκριβῶς ἐνίσασθαι ταῖς καταφοραῖς, καὶ συνέχειν ἐγρηγορότα πάσῃ μηχανῇ, μέχρις οὗ τοῦτον τὸν τρόπον ἐκπονηθεὶς ἐτελεύτησεν. Ἐτελεύτησε δὲ καὶ τῶν παιδίων τὰ δύο. Τὸν δὲ τρίτον, Ἀλέξανδρον, εὐφυᾶ μὲν ἐν τῷ τορεύειν καὶ λεπτουργεῖν γενέσθαι φασίν· ἐκμαθόντα δὲ τὰ Ῥωμαϊκὰ γράμματα καὶ τὴν

διάλεκτον, ὑπογραμματεύειν τοῖς ἄρχουσιν, ἐπιδέξιον καὶ χαρίεντα περὶ ταύτην τὴν ὑπηρεσίαν ἐξεταζόμενον.

ΑΗ. Ταῖς δὲ Μακεδονικαῖς πράξεσι τοῦ Αἰμιλίου δημοτικωτάτην προσγράφουσι χάριν ὑπὲρ τῶν πολλῶν, ὡς τοσούτων εἰς τὸ δημόσιον τότε χρημάτων ὑπ' αὐτοῦ τεθέντων, ὥσε μηκέτι δεῆσαι τὸν δῆμον εἰσενεγκεῖν, ἄχρι τῶν Ἱρτίου καὶ Πάνσα χρόνων, οἳ περὶ τὸν πρῶτον Ἀντωνίου καὶ Καίσαρος πόλεμον ὑπάτευσαν. Κἀκεῖνο δ' ἴδιον καὶ περιττὸν τοῦ Αἰμιλίου, τὸ, σπουδαζόμενον ὑπὸ τοῦ δήμου καὶ τιμώμενον διαφερόντως, ἐπὶ τῆς ἀριστοκρατικῆς μεῖναι προαιρέσεως, καὶ μηδὲν εἰπεῖν, μηδὲ πρᾶξαι χάριτι τῶν πολλῶν, ἀλλὰ τοῖς πρώτοις καὶ κρατίστοις ἀεὶ συνεξετάζεσθαι περὶ τὴν πολιτείαν. Ὃ καὶ χρόνοις ὕστερον Ἄππιος ὠνείδισεν Ἀφρικανῷ Σκιπίωνι. Μέγιστοι γὰρ ὄντες ἐν τῇ πόλει τότε, τὴν τιμητικὴν ἀρχὴν μετήεσαν, ὁμὲν τὴν βουλὴν ἔχων καὶ τοὺς ἀρίστους περὶ αὐτὸν (αὕτη γὰρ Ἀππίοις ἡ πολιτεία πάτριος), ὁ δὲ, μέγας μὲν ὢν ἐφ' ἑαυτοῦ, μεγάλη δ' ἀεὶ τῇ παρὰ τοῦ δήμου χάριτι καὶ σπουδῇ κεχρημένος. Ὡς οὖν, ἐμβαλόντος εἰς ἀγορὰν τοῦ Σκιπίωνος, κατεῖδε παρὰ πλευρὰν ὁ Ἄππιος ἀνθρώπους ἀγεννεῖς, καὶ δεδουλευκότας, ἀγοραίους δὲ καὶ δυναμένους ὄχλον συναγαγεῖν, καὶ σπουδαρχίᾳ καὶ κραυγῇ πάντα πράγματα βιάσασθαι, μέγα βοήσας· Ὦ Παῦλε, εἶπεν, Αἰμίλιε, ςέναξον ὑπὸ γῆς, αἰσθόμενος, ὅτι σου τὸν υἱὸν Αἰμίλιος ὁ κήρυξ καὶ Λικίννιος (καὶ) Φιλόνεικος, ἐπὶ τιμητίαν κατάγουσιν. Ἀλλὰ Σκιπίων μὲν, αὔξων τὰ πλεῖςα τὸν δῆμον, εὔνουν εἶχεν· Αἰμίλιος δὲ, καίπερ ὢν ἀριστοκρατικὸς, οὐδὲν ἧττον ὑπὸ τῶν πολλῶν ἠγαπᾶτο τοῦ μάλιςα δημαγωγεῖν καὶ πρὸς χάριν ὁμιλεῖν τοῖς πολλοῖς δοκοῦντος. Ἐδήλωσαν δὲ, μετὰ τῶν ἄλλων καλῶν καὶ τιμητίας αὐτὸν ἀξιώσαντες, ἥτις ἐςὶν ἀρχὴ πασῶν ἱερωτάτη, καὶ δυναμένη μέγα πρός τε τἆλλα καὶ πρὸς ἐξέτασιν βίων. Ἐκβαλεῖν τε γὰρ ἔξεσι συγκλήτου τὸν ἀπρεπῶς ζῶντα τοῖς τιμηταῖς, καὶ προγράψαι τὸν ἄριςον,

ἵππου τ' ἀφαιρέσει τῶν νέων ἀτιμάσαι τὸν ἀκολασταίνοντα. Καὶ τῶν οὐσιῶν οὗτοι τὰ τιμήματα καὶ τὰς ἀπογραφὰς ἐπισκοποῦσιν. Ἀπεγράψαντο μὲν οὖν κατ' αὐτὸν μυριάδες ἀνθρώπων τριάκοντα τρεῖς, ἔτι δ' ἑπτακισχίλιοι τετρακόσιοι πεντήκοντα δύο. Τῆς δὲ βουλῆς προέγραψε μὲν Μάρκον Αἰμίλιον Λέπιδον, ἤδη τετράκις καρπούμενον ταύτην τὴν προεδρίαν, ἐξέβαλε δὲ τρεῖς συγκλητικοὺς οὐ τῶν ἐπιφανῶν, καὶ περὶ τὴν τῶν ἱππέων ἐξέτασιν ὁμοίως ἐμετρίασεν αὐτός τε καὶ Μάρκιος Φίλιππος ὁ συνάρχων αὐτῷ.

ΛΘ. Διῳκημένων δὲ τῶν πλείστων καὶ μεγίστων, ἐνόσησε νόσον ἐν ἀρχῇ μὲν ἐπισφαλῆ, χρόνῳ δὲ ἀκίνδυνον, ἐργώδη δὲ καὶ δυσαπάλλακτον γενομένην. Ἐπεὶ δὲ πεισθεὶς ὑπὸ τῶν ἰατρῶν ἔπλευσεν εἰς Ἐλέαν τῆς Ἰταλίας, καὶ διέτριβεν αὐτόθι πλείω χρόνον ἐν παραλίοις ἀγροῖς καὶ πολλὴν ἡσυχίαν ἔχουσιν, ἐπόθησαν οἱ Ῥωμαῖοι, καὶ φωνὰς πολλάκις ἐν θεάτροις, οἷον εὐχόμενοι, καὶ σπεύδοντες ἰδεῖν, ἀφῆκαν. Οὔσης δέ τινος ἱερουργίας, ἤδη δὲ καὶ δοκοῦντος ἱκανῶς ἔχειν αὐτῷ τοῦ σώματος, ἐπανῆλθεν εἰς Ῥώμην. Κἀκείνην μὲν ἔθυσε μετὰ τῶν ἄλλων τὴν θυσίαν ἱερέων, ἐπιφανῶς τοῦ δήμου περικεχυμένου καὶ χαίροντος· τῇ δ' ὑστεραίᾳ πάλιν ἔθυσεν αὐτὸς ὑπὲρ αὐτοῦ σωτήρια τοῖς θεοῖς. Καὶ συμπεραναθείσης *ὡς προείρηται* τῆς θυσίας, ὑποσρέψας οἴκαδε καὶ κατακλιθείς, πρὶν αἰσθέσθαι καὶ νοῆσαι τὴν μεταβολήν, ἐνέκρασε καὶ παραφορᾷ τῆς διανοίας γενόμενος, τριταῖος ἐτελεύτησεν, οὐδενὸς ἐνδεής, οὐδ' ἀτελής, τῶν πρὸς εὐδαιμονίαν νενομισμένων γενόμενος. Καὶ γὰρ ἡ περὶ τὴν ἐκφορὰν πομπὴ θαυμασμὸν ἔσχε, καὶ ζῆλον ἐπικοσμοῦντα τὴν ἀρετὴν τοῦ ἀνδρὸς τοῖς ἀρίστοις καὶ μακαριωτάτοις ἐνταφίοις. Ταῦτα δ' ἦν οὐ χρυσὸς, οὐδ' ἐλέφας, οὐδ' ἡ λοιπὴ πολυτέλεια καὶ φιλοτιμία τῆς παρασκευῆς, ἀλλ' εὔνοια καὶ τιμὴ, καὶ χάρις, οὐ μόνον παρὰ τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν πολεμίων. Ὅσοι γοῦν κατὰ τύχην παρῆσαν Ἰβήρων καὶ Αἰγύων καὶ Μακεδόνων, οἱ μὲν ἰσχυροὶ τὰ σώματα καὶ νέοι

διαλαβόντες τὸ λέχος ὑπέδυσαν καὶ παρεκόμιζον· οἱ δὲ πρεσβύτεροι συνηκολούθουν, ἀνακαλούμενοι τὸν Αἰμίλιον εὐεργέτην καὶ σωτῆρα τῶν πατρίδων. Οὐ γὰρ μόνον, ἐν οἷς ἐκράτησε καιροῖς, ἡπίως πᾶσι καὶ φιλανθρώπως ἀπηλλάγη χρησάμενος, ἀλλὰ καὶ παρὰ πάντα τὸν λοιπὸν βίον, ἀεί τι πράττων ἀγαθὸν αὐτοῖς, καὶ κηδόμενος, ὥσπερ οἰκείων καὶ συγγενῶν, διετέλεσε. Τὴν δ' οὐσίαν αὐτοῦ μόλις ἑπτὰ καὶ τριάκοντα μυριάδων γενέσθαι λέγουσιν, ἧς αὐτὸς μὲν ἀμφοτέρους τοὺς υἱοὺς ἀπέλιπε κληρονόμους, ὁ δὲ νεώτερος Σκιπίων τῷ ἀδελφῷ πᾶσαν ἔχειν συνεχώρησεν, αὐτὸς εἰς οἶκον εὐπορώτερον τὸν Ἀφρικανοῦ δεδομένος. Οὗτος μὲν ὁ Παύλου Αἰμιλίου τρόπος καὶ βίος λέγεται γενέσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΤΙΜΟΛ. ΚΑΙ ΠΑΥΛ. ΑΙΜΙΛ.

ΣΥΓΚΡΙΣΙΣ.

Τοιούτων δὲ τῶν κατὰ τὴν ἱστορίαν ὄντων, δῆλον, ὡς οὐκ ἔχει πολλὰς διαφορὰς, οὐδὲ ἀνομοιότητας, ἡ σύγκρισις. Οἵ τε γὰρ πόλεμοι πρὸς ἐνδόξους γεγόνασιν ἀμφοτέροις ἀνταγωνισὰς, τῷ μὲν Μακεδόνας, τῷ δὲ Καρχηδονίους· αἵ τε νίκαι περιβόητοι, τοῦ μὲν ἑλόντος Μακεδονίαν, καὶ τὴν ἀπ' Ἀντιγόνου διαδοχὴν ἑβδόμῳ βασιλεῖ καταπαύσαντος· τοῦ δὲ τὰς τυραννίδας πάσας ἀνελόντος ἐκ Σικελίας, καὶ τὴν νῆσον ἐλευθερώσαντος. Εἰ μὴ νὴ Δία βούλοιτό τις παρεγχειρεῖν, ὡς Αἰμίλιος μὲν ἐρρωμένῳ Περσεῖ καὶ Ῥωμαίους νενικηκότι, Τιμολέων δὲ Διονυσίῳ παντάπασιν ἀπειρηκότι καὶ κατατετριμμένῳ συνέπεσε· καὶ πάλιν ὑπὲρ Τιμολέοντος, ὅτι πολλοὺς μὲν τυράννους, μεγάλην δὲ τὴν Καρχηδονίων δύναμιν, ἀπὸ τῆς τυχούσης στρατιᾶς ἐνίκησεν, οὐχ, ὥσπερ Αἰμίλιος, ἀνδράσιν ἐμπειροπολέμοις καὶ μεμαθηκόσιν ἄρχεσθαι χρώμενος, ἀλλὰ μισθοφόροις οὖσι καὶ στρατιώταις ἀτάκτοις, πρὸς ἡδονὴν εἰθισμένοις στρατεύεσθαι. Τὰ γὰρ ἀπ' οὐκ ἴσης παρασκευῆς ἴσα κατορθώματα τῷ στρατηγῷ τὴν αἰτίαν περιτίθησιν.

Β. Καθαρῶν οὖν καὶ δικαίων ἐν τοῖς πράγμασιν ἀμφοτέρων γεγονότων, Αἰμίλιος μὲν ὑπὸ τῶν νόμων καὶ τῆς πατρίδος οὕτως ἔοικεν εὐθὺς ἀφικέσθαι παρεσκευασμένος· Τιμολέων δὲ τοιοῦτον αὐτὸς ἑαυτὸν παρέσχε. Τούτου τεκμήριον, ὅτι Ῥωμαῖοι μὲν ὁμαλῶς ἐν τῷ τότε χρόνῳ πάντες ἦσαν εὔτακτοι, καὶ ὑποχείριοι τοῖς ἐθισμοῖς, καὶ τοὺς νόμους δεδιότες καὶ τοὺς πολίτας· Ἑλλήνων

λήνων δ' οὐδεὶς ἡγεμών ἐστιν, οὐδὲ στρατηγὸς, ὃς οὐ διεφθάρη τότε Σικελίας ἁψάμενος, ἔξω Δίωνος. Καίτοι (καὶ) Δίωνα πολλοὶ μοναρχίας ὀρέγεσθαι καὶ βασιλείαν τινὰ Λακωνικὴν ὀνειροπολεῖν ὑπενόουν. Τίμαιος δὲ καὶ Γύλιππον ἀκλεῶς φησι καὶ ἀτίμως ἀποπέμψαι Συρακουσίους, φιλοπλουτίαν αὐτοῦ καὶ ἀπληστίαν ἐν τῇ στρατηγίᾳ κατεγνωκότας. Ἀ δὲ Φάραξ ὁ Σπαρτιάτης καὶ Κάλλιππος ὁ Ἀθηναῖος, ἐλπίσαντες ἄρξειν Σικελίας, παρενόμησαν καὶ παρεσπόνδησαν, ὑπὸ πολλῶν ἀναγέγραπται. Καίτοι τίνες, ἢ πηλίκων κύριοι πραγμάτων ὄντες οὗτοι, τοιαῦτα ἤλπισαν; ὧν ὁ μὲν ἐκπεπτωκότα Συρακουσῶν ἐθεράπευε Διονύσιον, Κάλλιππος δὲ εἷς ἦν τῶν περὶ Δίωνα ξεναγῶν. Ἀλλὰ Τιμολέων αἰτησαμένοις καὶ δεηθεῖσιν αὐτοκράτωρ πεμφθεὶς Συρακουσίοις, καὶ δύναμιν οὐ ζητεῖν, ἀλλ' ἔχειν ὀφείλων, ἣν ἔλαβε βουλομένων καὶ διδόντων, πέρας ἐποιήσατο τῆς αὐτοῦ στρατηγίας καὶ ἀρχῆς τὴν τῶν παρανόμων ἀρχόντων κατάλυσιν. Ἐκεῖνο μέντοι τοῦ Αἰμιλίου θαυμαστὸν, ὅτι τηλικαύτην βασιλείαν καταστρεψάμενος, οὐδὲ δραχμῇ μείζονα τὴν οὐσίαν ἐποίησεν· οὐδ' εἶδεν, οὐδ' ἥψατο τῶν χρημάτων, καίτοι πολλὰ δοὺς ἑτέροις καὶ δωρησάμενος. Οὐ λέγω δὲ, ὅτι Τιμολέων μεμπτός ἐστιν, οἰκίαν τε καλὴν λαβὼν καὶ χωρίον. Οὐ γὰρ τὸ λαβεῖν ἐκ τοιούτων αἰσχρὸν, ἀλλὰ τὸ μὴ λαβεῖν κρεῖττον· καὶ περιουσία τις ἀρετῆς, ἐν οἷς ἔξεσιν, ἐπιδεικνυμένης τὸ μὴ δεόμενον. Ἐπεὶ δὲ, ὡς σώματος ῥῖγος, ἢ θάλπος, φέρειν δυναμένου, τὸ πρὸς ἀμφοτέρας εὖ πεφυκὸς ὁμοῦ τὰς μεταβολὰς ῥωμαλεώτερον, οὕτω ψυχῆς ἄκρατος εὐρωστία καὶ ἰσχὺς, ἣν οὔτε τὸ εὐτυχεῖν ὕβρει θρύπτει καὶ ἀνίησιν, οὔτε συμφοραὶ ταπεινοῦσι· φαίνεται τελειότερος ὁ Αἰμίλιος, ἐν χαλεπῇ τύχῃ καὶ πάθει μεγάλῳ, τῷ περὶ τοὺς παῖδας, οὐδέν τι μικρότερος, οὐδ' ἀσεμνότερος, ἢ διὰ τῶν εὐτυχημάτων ὁραθείς. Τιμολέων δὲ γενναῖα πράξας περὶ τὸν ἀδελφὸν, οὐκ ἀντέσχε τῷ λογισμῷ πρὸς τὸ πάθος, ἀλλὰ μετανοίᾳ καὶ λύπῃ ταπεινωθεὶς, ἐτῶν εἴκοσι τὸ

βῆμα καὶ τὴν ἀγορὰν ἰδεῖν οὐχ ὑπέμεινε. Δεῖ δὲ τὰ αἰσχρὰ φεύγειν καὶ αἰδεῖσθαι· τὸ δὲ πρὸς πᾶσαν ἀδοξίαν εὐλαβὲς, ἐπιεικοῦς μὲν ἤθους καὶ ἁπλοῦ, μέγεθος δ' οὐκ ἔχοντος.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΛΟΠΙΔΑΣ.

Κάτων ὁ πρεσβύτατος, πρός τινας ἐπαινοῦντας ἄνθρωπον ἀλογίστως παράβολον καὶ τολμηρὸν ἐν τοῖς πολεμικοῖς, διαφέρειν ἔφη τοῦ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν· ὀρθῶς ἀποφαινόμενος. Ὅ γ' οὖν παρ' Ἀντιγόνῳ στρατευόμενος ἰταμὸς, φαῦλος δὲ τὴν ἕξιν καὶ τὸ σῶμα διεφθορὼς, ἐρομένου τοῦ βασιλέως τὴν αἰτίαν τῆς ὠχρότητος, ὡμολόγησε τινὰ νόσον τῶν ἀπορρήτων. Ἐπεὶ δὲ φιλοτιμηθεὶς ὁ βασιλεὺς προσέταξε τοῖς ἰατροῖς, ἐάντις ἡ βοήθεια, μηδὲν ἐλλιπεῖν τῆς ἄκρας ἐπιμελείας, οὕτω θεραπευθεὶς ὁ γενναῖος ἐκεῖνος, οὐκέτ' ἦν φιλοκίνδυνος, οὐδὲ ῥαγδαῖος ἐν τοῖς ἀγῶσιν· ὥστε καὶ τὸν Ἀντίγονον ἐγκαλεῖν καὶ θαυμάζειν τὴν μεταβολήν. Οὐ μὴν ὁ ἄνθρωπος ἀπεκρύψατο τὸ αἴτιον, ἀλλ' εἶπεν· « Ὦ βασιλεῦ, σύ με πεποίηκας ἀτολμότερον, ἀπαλλάξας ἐκείνων τῶν κακῶν, δι' ἃ τοῦ ζῆν ὠλιγώρουν ». Πρὸς τοῦτο δὲ φαίνεται καὶ Συβαρίτης ἀνὴρ εἰπεῖν περὶ τῶν Σπαρτιατῶν, ὡς οὐ μέγα ποιοῦσι θανατῶντες ἐν τοῖς πολέμοις, ὑπὲρ τοῦ τοσούτους πόνους καὶ τοιαύτην ἀποφυγεῖν δίαιταν. Ἀλλὰ Συβαρίταις μὲν, ἐκτετηκόσιν ὑπὸ τρυφῆς καὶ μαλακίας, διὰ τὴν πρὸς τὸ καλὸν ὁρμὴν καὶ φιλοτιμίαν, εἰκότως ἐφαίνοντο μισεῖν τὸν βίον, οἱ μὴ φοβούμενοι τὸν θάνατον· Λακεδαιμονίοις δὲ καὶ ζῆν ἡδέως, καὶ θνήσκειν, ἀμφότερα ἀρετὴ παρεῖχεν, ὡς δηλοῖ τὸ ἐπικήδειον·

Οἱ θάνον, οὐ τὸ ζῆν θέμενοι καλὸν, οὐδὲ τὸ θνήσκειν,
Ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.

Οὔτε γὰρ φυγὴ θανάτου μεμπτὸν, ἂν ὀρέγηταί τις τοῦ βίου μὴ αἰσχρῶς· οὔτε ὑπομονὴ καλὸν, εἰ μετ' ὀλιγωρίας γίνοιτο τοῦ ζῆν. Ὅθεν Ὅμηρος μὲν ἀεὶ τοὺς θαῤῥαλεωτάτους καὶ μαχιμω-

τάτους ἄνδρας εὖ καὶ καλῶς ὡπλισμένους ἐξάγει πρὸς τοὺς ἀγῶνας· οἱ δὲ τῶν Ἑλλήνων νομοθέται τὸν ῥίψασπιν κολάζουσιν, οὐ τὸν ξίφος, οὐδὲ λόγχην προέμενον, διδάσκοντες, ὅτι τοῦ μὴ παθεῖν κακῶς πρότερον, ἢ τοῦ ποιῆσαι τοὺς πολεμίους, ἑκάστῳ μέλειν προσήκει, μάλιστα δ' ἄρχοντι πόλεως, ἢ στρατεύματος.

Β. Εἰ γὰρ, ὡς Ἰφικράτης διήρει, χερσὶ μὲν ἐοίκασιν οἱ ψιλοὶ, ποσὶ δὲ τὸ ἱππικὸν, αὐτὴ δὲ ἡ φάλαγξ στέρνῳ καὶ θώρακι, κεφαλῇ δὲ ὁ στρατηγὸς, οὐχ αὑτοῦ δόξειεν ἂν ἀποκινδυνεύων παραμελεῖν καὶ θρασυνόμενος, ἀλλ' ἁπάντων, οἷς ἡ σωτηρία γίνεται δι' αὐτοῦ· καὶ τοὐναντίον. Ὅθεν ὁ Καλλικρατίδας, καίπερ ὢν τἄλλα μέγας, οὐκ εὖ πρὸς τὸν μάντιν εἶπεν· δεομένου γὰρ αὐτοῦ φυλάττεσθαι θάνατον, ὡς τῶν ἱερῶν προδηλούντων, ἔφη, μὴ παρ' ΕΝΑ εἶναι τὴν Σπάρταν. Μαχόμενος γὰρ ΕΙΣ ἦν, καὶ πλέων, καὶ στρατευόμενος, ὁ Καλλικρατίδας· στρατηγῶν δὲ, τὴν ἁπάντων εἶχε συλλαβὼν ἐν αὑτῷ δύναμιν, ὥς' οὐκ ἦν εἷς, ᾧ τοσαῦτα συναπώλλυτο. Βέλτιον δ' Ἀντίγονος ὁ γέρων, ὅτε ναυμαχεῖν περὶ Ἄνδρον ἔμελλεν, εἰπόντος τινός· ὡς πολὺ πλείους αἱ τῶν πολεμίων νῆες εἶεν· Ἐμὲ δ' αὐτὸν, ἔφη, πρὸς πόσας ἀντιστήσεις; μέγα τὸ τῆς ἀρχῆς, ὥσπερ ἐστὶν, ἀξίωμα ποιῶν, μετ' ἐμπειρίας καὶ ἀρετῆς τασσόμενον· ἧς πρῶτον ἔργον ἐστὶ, σώζειν τὸν ἅπαντα τἄλλα σώζοντα. Διὸ καλῶς ὁ Τιμόθεος, ἐπιδεικνυμένου ποτὲ τοῖς Ἀθηναίοις τοῦ Χάρητος ὠτειλάς τινας ἐν τῷ σώματι, καὶ τὴν ἀσπίδα λόγχῃ διακεκομμένην· « Ἐγὼ δ', (εἶπεν) ὡς λίαν ἠτύχηθην, ὅτι μου, πολιορκοῦντος Σάμον, ἐγγὺς ἔπεσε βέλος, ὡς μειρακιωδέστερον ἐμαυτῷ χρώμενος, ἢ κατὰ στρατηγὸν καὶ ἡγεμόνα δυνάμεως τοσαύτης. » Ὅπου μὲν γὰρ εἰς τὰ ὅλα μεγάλην φέρει ῥοπὴν ὁ τοῦ στρατηγοῦ κίνδυνος, ἐνταῦθα καὶ χειρὶ καὶ σώματι χρηστέον ἀφειδῶς, χαίρειν φράσαντα τοῖς λέγουσιν, ὡς χρὴ τὸν ἀγαθὸν στρατηγὸν, μάλιστα μὲν ὑπὸ γήρως, εἰ δὲ μὴ, γέροντα θνήσκειν· ὅπου δὲ μικρὸν τὸ περιγινόμενον ἐκ τοῦ κατορθώματος, τὸ δὲ

πᾶν συναπόλλυται σφαλέντος, οὐδεὶς ἀπαιτεῖ στρατιώτου πρᾶξιν κινδύνῳ πραττομένην στρατηγοῦ. Ταῦτα δέμοι παρέστω προαναφωνῆσαι γράφοντι τὸν Πελοπίδου βίον καὶ τὸν Μαρκέλλου, μεγάλων ἀνδρῶν, παραλόγως πεσόντων. Καὶ γὰρ χειρὶ χρῆσθαι μαχιμώτατοι γενόμενοι, καὶ στρατηγίαις ἐπιφανεσάταις κοσμήσαντες ἀμφότεροι τὰς πατρίδας, ἔτι δὲ τῶν βαρυτάτων ἀνταγωνιστῶν ὁ μὲν Ἀννίβαν ἀήττητον ὄντα πρῶτος, ὡς λέγεται, τρεψάμενος, ὁ δὲ γῆς καὶ θαλάττης ἄρχοντας Λακεδαιμονίους ἐκ παρατάξεως νικήσας, ἠφείδησαν ἑαυτῶν, σὺν οὐδενὶ λογισμῷ προέμενοι τὸν βίον, ὁπηνίκα μάλιστα τοιούτων καιρὸς ἦν ἀνδρῶν σωζομένων καὶ ἀρχόντων. Διόπερ ἡμεῖς, ἑπόμενοι ταῖς ὁμοιότησι, παραλλήλους ἀνεγράψαμεν αὐτῶν τοὺς βίους.

Γ. Πελοπίδᾳ τῷ Ἱππόκλου γένος μὲν ἦν εὐδόκιμον ἐν Θήβαις, ὥσπερ Ἐπαμινώνδᾳ· τραφεὶς δ' ἐν οὐσίᾳ μεγάλῃ, καὶ παραλαβὼν ἔτι νέος λαμπρὸν οἶκον, ὥρμησε τῶν δεομένων τοῖς ἀξίοις βοηθεῖν, ἵνα κύριος ἀληθῶς φαίνοιτο χρημάτων γεγονώς, ἀλλὰ μὴ δοῦλος. Τῶν γὰρ πολλῶν, ὡς Ἀριστοτέλης φησὶν, οἱ μὲν οὐ χρῶνται τῷ πλούτῳ, διὰ μικρολογίαν, οἱ δὲ παραχρῶνται, δι' ἀσωτίαν· καὶ δουλεύοντες οὗτοι μὲν ἀεὶ ταῖς ἡδοναῖς, ἐκεῖνοι δὲ ταῖς ἀσχολίαις, διατελοῦσιν. Οἱ μὲν οὖν ἄλλοι, τῷ Πελοπίδᾳ χάριν ἔχοντες, ἐχρῶντο τῇ πρὸς αὐτοὺς ἐλευθεριότητι καὶ φιλανθρωπίᾳ, μόνον δὲ τῶν φίλων τὸν Ἐπαμινώνδαν οὐκ ἔπειθε τοῦ πλούτου μεταλαμβάνειν· αὐτὸς μέντοι μετεῖχε τῆς ἐκείνου πενίας, ἐσθῆτος ἀφελείᾳ καὶ τραπέζης λιτότητι, καὶ τῷ πρὸς τοὺς πόνους ἀόκνῳ, καὶ κατὰ τὰς στρατείας ἀβόλῳ καλλωπιζόμενος, ὥσπερ ὁ Εὐριπίδου Καπανεὺς, ᾧ βίος μὲν ἦν πολὺς, ἧκισα δὲ δι' ὄλβον γαῦρος ἦν· αἰσχυνόμενος, εἰ φανεῖται πλείοσι χρώμενος εἰς τὸ σῶμα, τοῦ τὰ ἐλάχιστα κεκτημένου Θηβαίων. Ἐπαμινώνδας μὲν οὖν συνήθη καὶ πατρῴαν οὖσαν αὐτῷ τὴν πενίαν, ἔτι μᾶλλον εὔζωνον καὶ κοῦφον ἐποίησε φιλοσοφῶν, καὶ μονότροπον βίον

ἀπ' ἀρχῆς ἑλόμενος· Πελοπίδᾳ δ' ἦν μὲν γάμος λαμπρὸς, ἐγέ-
νοντο δὲ καὶ παῖδες, ἀλλ' οὐδὲν ἧττον ἀμελῶν τοῦ χρηματίζεσθαι,
καὶ σχολάζων τῇ πόλει τὸν ἅπαντα χρόνον, ἠλάττωσε τὴν οὐσίαν.
Τῶν δὲ φίλων νουθετούντων, καὶ λεγόντων, ὡς ἀναγκαίου πράγ-
ματος ὀλιγωρεῖ, τοῦ χρήματα ἔχειν· Ἀναγκαίου, νὴ Δία, Νι-
κοδήμῳ (εἶπε) τούτῳ, δείξας τινὰ χωλὸν καὶ τυφλόν.

Δ. Ἦσαν δὲ καὶ πρὸς πᾶσαν ἀρετὴν πεφυκότες ὁμοίως, πλὴν
ὅτι τῷ γυμνάζεσθαι μᾶλλον ἔχαιρε Πελοπίδας, τῷ δὲ μανθάνειν
Ἐπαμινώνδας· καὶ τὰς διατριβὰς ἐν τῷ σχολάζειν, ὁ μὲν περὶ
παλαίστρας καὶ κυνηγέσια, ὁ δ' ἀκούων τι καὶ φιλοσοφῶν ἐποι-
εῖτο. Πολλῶν δὲ καὶ καλῶν ὑπαρχόντων ἀμφοτέροις πρὸς δόξαν,
οὐδὲν οἱ νοῦν ἔχοντες ἡγοῦνται τηλικοῦτον, ἡλίκον τὴν διὰ τοσού-
των ἀγώνων καὶ στρατηγιῶν καὶ πολιτειῶν ἀνεξέλεγκτον εὔνοιαν
καὶ φιλίαν, ἀπ' ἀρχῆς μέχρι τέλους ἐμμείναταν. Εἰ γάρ τις ἀ-
ποβλέψας εἰς τὴν Ἀριστείδου, καὶ Θεμιστοκλέους, καὶ Κίμωνος,
καὶ Περικλέους, καὶ Νικίου, καὶ Ἀλκιβιάδου πολιτείαν, ὅσων
γέγονε μετὰ διαφορῶν καὶ φθόνων καὶ ζηλοτυπιῶν πρὸς ἀλλή-
λους, σκέψαιτο πάλιν τὴν Πελοπίδου πρὸς Ἐπαμινώνδαν εὐμέ-
νειαν καὶ τιμὴν, τούτους ἂν ὀρθῶς καὶ δικαίως προσαγορεύσειε
συνάρχοντας καὶ συστρατήγους, ἢ ἐκείνους, οἳ μᾶλλον ἀλλήλων,
ἢ τῶν πολεμίων, ἀγωνιζόμενοι περιεῖναι διετέλεσαν. Αἰτία δ'
ἀληθινὴ μὲν ἦν ἡ ἀρετὴ, δι' ἣν οὐ δόξαν, οὐ πλοῦτον ἀπὸ τῶν
πράξεων μετιόντες, οἷς ὁ χαλεπὸς καὶ δύσερις ἐμφύεται φθόνος,
ἀλλ' ἔρωτα θεῖον ἀπ' ἀρχῆς ἐρασθέντες ἀμφότεροι τοῦ τὴν πα-
τρίδα λαμπροτάτην καὶ μεγίστην ἐφ' ἑαυτῶν ἰδεῖν γενομένην,
ὥσπερ ἰδίοις ἐπὶ τοῦτο τοῖς αὑτῶν ἐχρῶντο κατορθώμασιν. Οὐ
μὴν ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν, αὐτοῖς τὴν σφοδρὰν φιλίαν
ἀπὸ τῆς ἐν Μαντινείᾳ γενέσθαι στρατείας, ἣν συνεστρατεύσαντο
Λακεδαιμονίοις, ἔτι φίλοις καὶ συμμάχοις οὖσι, πεμφθείσης ἐκ
Θηβῶν βοηθείας. Τεταγμένοι γὰρ ἐν τοῖς ὁπλίταις μετ' ἀλλήλων,

καὶ μαχόμενοι πρὸς τοὺς Ἀρκάδας, ὡς ἐνέδωκε τὸ κατ' αὐτοὺς κέρας τῶν Λακεδαιμονίων, καὶ τροπὴ τῶν πολλῶν ἐγεγόνει, συνασπίσαντες ἠμύναντο τοὺς ἐπιφερομένους. Καὶ Πελοπίδας μὲν, ἑπτὰ τραύματα λαβὼν ἐναντία, πολλοῖς ἐπικατερρύη νεκροῖς ὁμοῦ φίλοις καὶ πολεμίοις· Ἐπαμινώνδας δὲ, καίπερ ἀβιώτως ἔχειν αὐτὸν ἡγούμενος, ὑπὲρ τοῦ σώματος καὶ τῶν ὅπλων ἔσῃ προελθών, καὶ διεκινδύνευσε πρὸς πολλοὺς μόνος, ἐγνωκὼς ἀποθανεῖν μᾶλλον, ἢ Πελοπίδαν ἀπολιπεῖν κείμενον. Ἤδη δὲ καὶ τούτου κακῶς ἔχοντος, καὶ λόγχῃ μὲν εἰς τὸ στῆθος, ξίφει δ' εἰς τὸν βραχίονα τετρωμένου, προσεβοήθησεν ἀπὸ θατέρου κέρως Ἀγησίπολις, ὁ βασιλεὺς τῶν Σπαρτιατῶν, καὶ περιεποίησεν ἀνελπίστως αὐτοὺς ἀμφοτέρους.

Ε. Μετὰ δὲ ταῦτα, τῶν Σπαρτιατῶν λόγῳ μὲν ὡς φίλοις καὶ συμμάχοις προσφερομένων τοῖς Θηβαίοις, ἔργῳ δὲ τὸ φρόνημα τῆς πόλεως καὶ τὴν δύναμιν ὑφορωμένων, καὶ μάλιστα τὴν Ἰσμηνίου καὶ Ἀνδροκλείδου μισούντων ἑταιρείαν, ἧς μετεῖχεν ὁ Πελοπίδας, φιλελεύθερον ἅμα καὶ δημοτικὴν εἶναι δοκοῦσαν· Ἀρχίας καὶ Λεοντίδας καὶ Φίλιππος, ἄνδρες ὀλιγαρχικοὶ καὶ πλούσιοι, καὶ μέτριον οὐδὲν φρονοῦντες, ἀναπείθουσι Φοιβίδαν, τὸν Λάκωνα, μετὰ στρατιᾶς διαπορευόμενον, ἐξαίφνης καταλαβεῖν τὴν Καδμείαν, καὶ τοὺς ὑπεναντιουμένους αὐτοῖς ἐκβαλόντα, πρὸς τὸ Λακεδαιμονίων ὑπήκοον ἁρμόσασθαι δι' ὀλίγων τὴν πολιτείαν. Πεισθέντος δ' ἐκείνου, καὶ μὴ προσδοκῶσι τοῖς Θηβαίοις ἐπιθεμένου, Θεσμοφορίων ὄντων, καὶ τῆς ἄκρας κυριεύσαντος, Ἰσμηνίας μὲν συναρπασθεὶς καὶ κομισθεὶς εἰς Λακεδαίμονα, μετ' οὐ πολὺν χρόνον ἀνῃρέθη· Πελοπίδας δὲ καὶ Φερένικος καὶ Ἀνδροκλείδας, μετὰ συχνῶν ἄλλων φεύγοντες ἐξεκηρύχθησαν· Ἐπαμινώνδας δὲ κατὰ χώραν ἔμεινε, τῷ καταφρονηθῆναι, διὰ μὲν φιλοσοφίαν, ὡς ἀπράγμων, διὰ δὲ πενίαν, ὡς ἀδύνατος.

ς. Ἐπεὶ δὲ Λακεδαιμόνιοι Φοιβίδαν μὲν ἀφείλοντο τῆς ἀρχῆς,

καὶ δέκα δραχμῶν μυριάσιν ἐζημίωσαν, τὴν δὲ Καδμείαν οὐδὲν ἧττον φρουρᾷ κατέσχον, οἱμὲν ἄλλοι πάντες Ἕλληνες ἐθαύμαζον τὴν ἀτοπίαν, εἰ τὸν μὲν πράξαντα κολάζουσι, τὴν δὲ πρᾶξιν δοκιμάζουσι· τοῖς δὲ Θηβαίοις τὴν πάτριον ἀποβεβληκόσι πολιτείαν, καὶ καταδεδουλωμένοις ὑπὸ τὸν περὶ Ἀρχίαν καὶ Λεοντίδαν, οὐδ' ἐλπίσαι περιῆν ἀπαλλαγήν τινα τῆς τυραννίδος, ἣν ἑώρων τῇ Σπαρτιατῶν δορυφορουμένην ἡγεμονίᾳ, καὶ καταλυθῆναι μὴ δυναμένην, εἰ μή τις ἄρα παύσειε κἀκείνους γῆς καὶ θαλάττης ἄρχοντας. Οὐ μὴν ἀλλ' οἱ περὶ Λεοντίδαν, πυνθανόμενοι τοὺς φυγάδας Ἀθήνῃσι διατρίβειν, τῷ τε πλήθει προσφιλεῖς ὄντας, καὶ τιμὴν ἔχοντας ὑπὸ τῶν καλῶν καὶ ἀγαθῶν, ἐπεβούλευον αὐτοῖς κρύφα· καὶ πέμψαντες ἀνθρώπους ἀγνῶτας, Ἀνδροκλείδαν μὲν ἀποκτιννύουσι δόλῳ, τῶν δ' ἄλλων διαμαρτάνουσιν. Ἦκε δὲ καὶ παρὰ Λακεδαιμονίων γράμματα τοῖς Ἀθηναίοις, προστάσσοντα μὴ δέχεσθαι, μηδὲ παρακινεῖν, ἀλλ' ἐξελαύνειν τοὺς φυγάδας, ὡς κοινοὺς πολεμίους ὑπὸ τῶν συμμάχων ἀποδεδειγμένους. Οἱ μὲν οὖν Ἀθηναῖοι, πρὸς τῷ πάτριον αὐτοῖς καὶ σύμφυτον εἶναι τὸ φιλάνθρωπον, ἀμειβόμενοι τοὺς Θηβαίους, μάλιστα συναιτίους γενομένους τῷ δήμῳ τοῦ κατελθεῖν, καὶ ψηφισαμένους, "Ἐάν τις Ἀθηναίων ἐπὶ τοὺς τυράννους ὅπλα διὰ τῆς Βοιωτίας κομίζῃ, μηδένα Βοιωτὸν ἀκούειν, μηδὲ ὁρᾷν," οὐδὲν ἠδίκησαν τοὺς Θηβαίους.

Ζ. Ὁ δὲ Πελοπίδας, καίπερ ἐν τοῖς νεοτάτοις ὢν, ἰδίᾳ τε καθ' ἕκαστον ἐξώρμα τῶν φυγάδων, καὶ πρὸς τὸ πλῆθος ἐποιήσατο λόγους, ὡς οὔτε καλὸν, οὔτε ὅσιον εἴη δουλεύουσαν τὴν πατρίδα καὶ φρουρουμένην περιορᾷν, αὐτοὺς δὲ, μόνον τὸ σώζεσθαι καὶ διαζῆν ἀγαπῶντας, ἐκκρέμασθαι τῶν Ἀθήνῃσι ψηφισμάτων, καὶ θεραπεύειν, ὑποπεπτωκότας ἀεὶ τοῖς λέγειν δυναμένοις καὶ πείθειν τὸν ὄχλον· ἀλλὰ καὶ κινδυνευτέον ὑπὲρ τῶν μεγίστων, παράδειγμα θεμένους τὴν Θρασυβούλου τόλμαν καὶ

ἀρετήν· ἵνα, ὡς ἐκεῖνος ἐκ Θηβῶν πρότερον ὁρμηθεὶς κατέλυσε τοὺς ἐν Ἀθήναις τυράννους, οὕτως αὐτοὶ πάλιν ἐξ Ἀθηνῶν προελθόντες, ἐλευθερώσωσι τὰς Θήβας. Ὡς οὖν ἔπεισε ταῦτα λέγων, πέμπουσιν εἰς Θήβας κρύφα πρὸς τοὺς ὑπολελειμμένους τῶν φίλων, τὰ δεδογμένα φράζοντες. Οἱ δὲ συνεπήνουν, καὶ Χάρων μὲν, ὅσπερ ἦν ἐπιφανέστατος, ὡμολόγησε τὴν οἰκίαν παρέξειν· Φυλλίδας δὲ διεπράξατο τῶν περὶ Ἀρχίαν καὶ Φίλιππον γραμματεὺς γενέσθαι πολεμαρχούντων. Ἐπαμινώνδας δὲ τοὺς νέους πάλαι φρονήματος ἦν ἐμπεπλησμένους· ἐκέλευε γὰρ ἐν τοῖς γυμνασίοις ἐπιλαμβάνεσθαι τῶν Λακεδαιμονίων καὶ παλαίειν· εἶτα, ὁρῶν ἐπὶ τῷ κρατεῖν καὶ περιεῖναι γαυρουμένους, ἐπέπληττεν, ὡς αἰσχύνεσθαι μᾶλλον αὐτοῖς προσῆκον, εἰ δουλεύουσι δὶ ἀνανδρίαν, ὧν τοσοῦτον ταῖς ῥώμαις διαφέρουσιν.

Η. Ἡμέρας δὲ πρὸς τὴν πρᾶξιν ὁρισθείσης, ἔδοξε τοῖς φυγάσι, τοὺς μὲν ἄλλους συναγαγόντα Φερένικον ἐν τῷ Θριασίῳ περιμένειν, ὀλίγους δὲ τῶν νεωτάτων παραβαλέσθαι προεισελθεῖν εἰς τὴν πόλιν· ἐὰν δέ τι πάθωσιν ὑπὸ τῶν πολεμίων οὗτοι, τοὺς ἄλλους ἐπιμελεῖσθαι πάντας, ὅπως μήτε παῖδες αὐτῶν, μήτε γονεῖς ἐνδεεῖς ἔσονται τῶν ἀναγκαίων. Ὑφίσταται δὲ τὴν πρᾶξιν Πελοπίδας πρῶτος, εἶτα Μέλων καὶ Δαμοκλείδας καὶ Θεόπομπος, ἄνδρες οἰκεῖοντε πρώτων, καὶ πρὸς ἀλλήλους τἆλλα μὲν φιλικῶς καὶ πιστικῶς, ὑπὲρ δὲ δόξης καὶ ἀνδρείας ἀεὶ φιλονείκως ἔχοντες. Γενόμενοι δ' οἱ σύμπαντες δώδεκα, καὶ τοὺς ἀπολειπομένους ἀσπασάμενοι, καὶ προπέμψαντες ἄγγελον τῷ Χάρωνι, προῆγον ἐν χλαμυδίοις, σκύλακάς τε θηρευτικὰς καὶ ῥάβδους ἔχοντες, ὡς μηδὲ εἷς ὑποπτεύοι τῶν ἐντυγχανόντων καθ' ὁδὸν, ἀλλ' ἀλύοντες ἄλλως πλανᾶσθαι καὶ κυνηγεῖν δοκοῖεν. Ἐπεὶ δ' ὁ πεμφθεὶς παρ' αὐτῶν ἄγγελος ἦκε πρὸς τὸν Χάρωνα, καὶ καθ' ὁδὸν ὄντας ἔφραζεν, αὐτὸς μὲν ὁ Χάρων οὐδὲ ὑπὸ τοῦ δεινοῦ πλησιάζοντος ἔτρεψέ τι τῆς γνώμης, ἀλλ' ἀνὴρ ἀγαθὸς ἦν, καὶ

παρεῖχε τὴν οἰκίαν. Ἱπποσθενίδας δέ τις, οὐ πονηρὸς μὲν, ἀλλὰ καὶ φιλόπατρις, καὶ τοῖς φυγάσιν εὔνους ἄνθρωπος, ἐνδεὴς δὲ τόλμης τοσαύτης, ὅσης ὅ τε καιρὸς, ὀξὺς ὢν, αἵ τε ὑποκείμεναι πράξεις ἀπήτουν, ὥσπερ ἰλιγγιάσας πρὸς τὸ μέγεθος τοῦ ἀγῶνος ἐν χερσὶ γενομένου, καὶ μόλις ποτὲ τῷ λογισμῷ συμφρονήσας, ὅτι τρόπον τινὰ τὴν τῶν Λακεδαιμονίων σαλεύουσιν ἀρχὴν, καὶ τῆς ἐκεῖθεν δυνάμεως ὑποβάλλονται κατάλυσιν, πιστεύσαντες ἀπόροις καὶ φυγαδικαῖς ἐλπίσιν· ἀπελθὼν οἰκαδε σιωπῇ, πέμπει τινὰ τῶν φίλων πρὸς Μέλωνα καὶ Πελοπίδαν, ἀναβαλέσθαι κελεύων ἐν τῷ παρόντι, καὶ περιμένειν βελτίονα καιρὸν, αὖθις ἀπαλλαγέντας εἰς Ἀθήνας. Χλίδων ἦν ὄνομα τῷ πεμφθέντι, καὶ κατὰ σπουδὴν οἴκαδε πρὸς αὐτὸν τρεπόμενος, καὶ τὸν ἵππον ἐξαγαγὼν, ἤτει τὸν χαλινόν. Ἀπορουμένης δὲ τῆς γυναικὸς, ὡς οὐκ εἶχε, (καὶ) δοῦναί τινι τῶν συνήθων λεγούσης, λοιδοριαι τὸ πρῶτον ἦσαν, εἶτα δυσφημίαι, τῆς γυναικὸς ἐπαρωμένης αὐτῷ τε κακὰς ὁδοὺς ἐκείνῳ καὶ τοῖς πέμπουσιν· ὥστε καὶ τὸν Χλίδωνα πολὺ τῆς ἡμέρας ἀναλώσαντα πρὸς τούτοις, δι' ὀργὴν, ἅμα δὲ καὶ τὸ συμβεβηκὸς οἰωνισάμενον, ἀφεῖναι τὴν ὁδὸν ὅλως, καὶ πρὸς ἄλλο τι τραπέσθαι· παρὰ τοσοῦτον μὲν ἦλθον αἱ μέγισται καὶ κάλλισται τῶν πράξεων εὐθὺς ἐν ἀρχῇ διαφυγεῖν τὸν καιρόν.

Θ. Οἱ δὲ περὶ τὸν Πελοπίδαν, ἐσθῆτας γεωργῶν μεταλαβόντες, καὶ διελόντες αὑτοὺς, ἄλλοι κατ' ἄλλα μέρη τῆς πόλεως παρεισῆλθον, ἔτι ἡμέρας οὔσης. Ἦν δέ τι πνεῦμα καὶ νιφετὸς, ἀρχομένου τρέπεσθαι τοῦ ἀέρος, καὶ μᾶλλον ἔλαθον, καταπεφευγότων ἤδη διὰ τὸν χειμῶνα τῶν πλείστων εἰς τὰς οἰκίας. Οἷς δ' ἦν ἐπιμελὲς τὰ πραττόμενα γινώσκειν, ἀνελάμβανον τοὺς προσερχομένους, καὶ καθίζων εὐθὺς εἰς τὴν οἰκίαν τοῦ Χάρωνος. Ἐγένοντο δὲ σὺν τοῖς φυγάσι πεντήκοντα, δυοῖν δέοντες. Τὰ δὲ περὶ τοὺς τυράννους οὕτως εἶχε· Φυλλίδας ὁ γραμματεὺς συνέπραττε μὲν, ὥσπερ εἴρηται, πάντα, καὶ συνήδει τοῖς φυγάσιν·

εἰς δὲ τὴν ἡμέραν ἐκείνην ἐκ παλαιοῦ κατηγγελκὼς τοῖς περὶ τὸν Ἀρχίαν πότον τινὰ καὶ συνουσίαν, καὶ γύναια τῶν ὑπάνδρων, ἔπραττεν ὅτι μάλιστα ταῖς ἡδοναῖς ἐκλελυμένους καὶ κατοίνους μεταχειρίσασθαι παρέξειν τοῖς ἐπιτιθεμένοις. Οὕπω δὲ πάνυ πόρρω μέθης οὖσιν αὐτοῖς προσέπεσέ τις οὐ ψευδὴς μὲν, ἀβέβαιος δὲ καὶ πολλὴν ἀσάφειαν ἔχουσα περὶ τῶν φυγάδων μήνυσις, ὡς ἐν τῇ πόλει κρυπτομένων. Τοῦ δὲ Φιλλίδου παραφέροντος τὸν λόγον, ὅμως Ἀρχίας ἔπεμψέ τινα τῶν ὑπηρετῶν πρὸς τὸν Χάρωνα, προστάξων εὐθὺς ἥκειν αὐτόν· ἦν δ' ἑσπέρα, καὶ συνέταττον ἔνδον αὐτοὺς οἱ περὶ τὸν Πελοπίδαν, ἤδη τεθωρακισμένοι καὶ τὰς μαχαίρας ἀνειληφότες. Ἐξαίφνης δὲ κοπτομένης τῆς θύρας προσδραμών τις, καὶ πυθόμενος τοῦ ὑπηρέτου Χάρωνα μετιέναι παρὰ τῶν πολεμάρχων φάσκοντος, ἀπήγγελλεν εἴσω τεθορυβημένος· καὶ πᾶσιν εὐθὺς παρέστη, τήν τε πρᾶξιν ἐκμεμηνύσθαι, καὶ σφᾶς ἅπαντας ἀπολωλέναι, μηδὲ δράσαντάς τι τῆς ἀρετῆς ἄξιον. Οὐ μὴν ἀλλ' ἔδοξεν ὑπακοῦσαι τὸν Χάρωνα, καὶ παρασχεῖν ἑαυτὸν δὴ ἀνυπόπτως τοῖς ἄρχουσιν, ἄλλως μὲν ἀνδρώδη καὶ βαρὺν ὄντα τῷ θαρρεῖν παρὰ τὰ δεινὰ, τότε δὲ δι' ἐκείνους ἐκπεπληγμένον καὶ περιπαθοῦντα, μή τις ὑποψία προδοσίας ἐπ' αὐτὸν ἔλθῃ, τοσούτων ἅμα καὶ τοιούτων πολιτῶν ἀπολλυμένων. Ὡς οὖν ἔμελλεν ἀπιέναι, παραλαβὼν ἐκ τῆς γυναικωνίτιδος τὸν υἱὸν, ἔτι μὲν ὄντα παῖδα, κάλλει δὲ καὶ ῥώμῃ σώματος πρωτεύοντα τῶν καθ' ἡλικίαν, ἐνεχείριζε τοῖς περὶ Πελοπίδαν, εἴ τινα δόλον καὶ προδοσίαν αὐτοῦ καταγνοῖεν, ὡς πολεμίῳ χρῆσθαι κελεύων ἐκείνῳ, καὶ μὴ φείδεσθαι. Πολλοῖς μὲν οὖν αὐτῶν δάκρυα πρὸς τὸ πάθος καὶ τὸ φρόνημα τοῦ Χάρωνος ἐξέπεσε· πάντες δ' ἠγανάκτουν, εἰ δειλὸν οὕτως εἶναι τινὰ δοκεῖ καὶ διεφθαρμένον ὑπὸ τοῦ παρόντος, ὥστε ὑπονοεῖν ἐκεῖνον, ἢ ὅλως αἰτιᾶσθαι· καὶ τὸν υἱὸν ἐδέοντο μὴ καταμιγνύναι αὐτοῖς, ἀλλ' ἐκ ποδῶν θέσθαι τοῦ μέλλοντος, ὅπως αὐτός γε τῇ πόλει

καὶ τοῖς φίλοις τιμωρὸς ὑποτρέφοιτο, περισωθεὶς καὶ διαφυγὼν τοὺς τυράννους. Ὁ δὲ Χάρων τὸν μὲν υἱὸν ἀπαλλάξειν οὐκ ἔφη· ποῖον γὰρ αὐτῷ βίον ὁρᾷν, ἢ τίνα σωτηρίαν καλλίονα τῆς ὁμοῦ μετὰ πατρὸς καὶ φίλων τοσούτων ἀνυβρίστου τελευτῆς; Ἐπευξάμενος δὲ τοῖς θεοῖς, καὶ πάντας ἀσπασάμενος καὶ παραθαρρύνας ἀπῄει, προσέχων ἑαυτῷ, καὶ ῥυθμίζων σχήματι προσώπου, καὶ τόνῳ φωνῆς, ἀνομοιότατος οἷς ἔπραττε φανῆναι.

1. Γενομένου δ' ἐπὶ ταῖς θύραις αὐτοῦ, προῆλθεν ὁ Ἀρχίας, καὶ Φυλλίδας, καὶ εἶπον· Ὦ Χάρων, τινὰς ἀκήκοα παρεληλυθέναι, καὶ ἐν τῇ πόλει κρύπτεσθαι, καὶ συμπράττειν αὐτοῖς ἐνίους τῶν πολιτῶν. Καὶ ὁ Χάρων διαταραχθεὶς τὸ πρῶτον, εἶτ' ἐρωτήσας, τίνες εἰσὶν οἱ παρεληλυθότες, καὶ τίνες οἱ κρύπτοντες αὐτούς, ὡς οὐδὲν ἑώρα σαφὲς εἰπεῖν ἔχοντα τὸν Ἀρχίαν, ὑπονοήσας ἀπ' οὐδενὸς τῶν ἐπισταμένων γεγονέναι τὴν μήνυσιν· Ὁρᾶτε τοίνυν, ἔφη, μὴ κενός τις ὑμᾶς διαταράττοι λόγος. Οὐ μὴν ἀλλὰ καὶ σκέψομαι· δεῖ γὰρ ὡς μηδενὸς καταφρονεῖν. Ταῦτα καὶ Φυλλίδας παρὼν ἐπῄνει, καὶ τὸν Ἀρχίαν ἀπαγαγὼν αὖθις εἰς ἄκρατον πολὺν κατέβαλε, καὶ ταῖς περὶ τῶν γυναικῶν ἐλπίσι διεπαιδαγώγει τὸν πότον. Ὡς δ' ἐπανῆλθεν ὁ Χάρων οἴκαδε, καὶ διεσκευασμένους τοὺς ἄνδρας εὗρεν, οὐχ ὡς ἄν τινα νίκην, ἢ σωτηρίαν, ἐλπίζοντας, ἀλλ' ὡς ἀποθανουμένους λαμπρῶς καὶ μετὰ φόνου πολλοῦ τῶν πολεμίων, τὸ μὲν ἀληθὲς αὐτοῖς ἔφραζε τοῖς περὶ τὸν Πελοπίδαν· πρὸς δὲ τοὺς ἄλλους ἐψεύσατο, λόγους τινὰς τοῦ Ἀρχίου περὶ πραγμάτων ἑτέρων πλασάμενος. Ἔτι δὲ τοῦ πρώτου παραφερομένου, δεύτερον ἐπῆγεν ἡ τύχη χειμῶνα τοῖς ἀνδράσιν. Ἦκε γάρ τις ἐξ Ἀθηνῶν παρ' Ἀρχίου, τοῦ ἱεροφάντου, πρὸς Ἀρχίαν τὸν ὁμώνυμον, ξένον ὄντα καὶ φίλον, ἐπιστολὴν κομίζων, οὐ κενὴν ἔχουσαν, οὐδὲ πεπλασμένην ὑπόνοιαν, ἀλλὰ σαφῶς ἕκαστα περὶ τῶν πρασσομένων φάσκουσαν, ὡς ὕστερον ἐπεγνώσθη. Τότε δὲ μεθύοντι τῷ Ἀρχίᾳ προσαχθεὶς ὁ γραμ-

ματαφόρος, καὶ τὴν ἐπιστολὴν ἐπιδούς· Ὁ ταύτην, ἔφη, πέμψας, ἐκέλευσεν εὐθὺς ἀναγνῶναι· περὶ σπουδαίων γάρ τινων γεγράφθαι. Καὶ ὁ Ἀρχίας μειδιάσας· Οὐκοῦν εἰς αὔριον, ἔφη τὰ σπουδαῖα. Καὶ τὴν ἐπιστολὴν δεξάμενος, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν, αὐτὸς δὲ πάλιν τῷ Φυλλίδᾳ, περὶ ὧν ἐτύγχανον διαλεγόμενοι, προσεῖχεν. Ὁ μὲν οὖν λόγος οὗτος, ἐν παροιμίας τάξει περιφερόμενος, μέχρι νῦν διασώζεται παρὰ τοῖς Ἕλλησι.

ΙΑ. Τῆς δὲ πράξεως δοκούσης ἔχειν ἤδη τὸν οἰκεῖον καιρὸν, ἐξώρμων δίχα διελόντες αὐτοὺς, οἱ μὲν περὶ Πελοπίδαν καὶ Δαμοκλείδαν ἐπὶ τὸν Λεοντίδαν καὶ Ὑπάτην ἐγγὺς ἀλλήλων οἰκοῦντας· Χάρων δὲ καὶ Μέλων ἐπὶ τὸν Ἀρχίαν καὶ Φίλιππον, ἐσθῆτας ἐπενδεδυμένοι γυναικείας τοῖς θώραξι, καὶ δασεῖς σεφάνους ἐλάτης τε καὶ πεύκης περικείμενοι, κατασκιάζοντας τὰ πρόσωπα. Διὸ καὶ ταῖς θύραις τοῦ συμποσίου τὸ πρῶτον ἐπιστάντων, κρότον ἐποίησαν καὶ θόρυβον, οἰομένων, ὡς πάλαι προσεδόκων, γυναῖκας ἥκειν. Ἐπεὶ δὲ περιβλέψαντες ἐν κύκλῳ τὸ συμπόσιον, καὶ τῶν κατακεκλιμένων ἕκαστον ἀκριβῶς καταμαθόντες, ἐσπάσαντο τὰς μαχαίρας, καὶ φερόμενοι διὰ τῶν τραπεζῶν ἐπὶ τὸν Ἀρχίαν καὶ Φίλιππον, ἐφάνησαν, οἵπερ ἦσαν· ὀλίγους μὲν ὁ Φυλλίδας τῶν κατακειμένων ἔπεισεν ἡσυχίαν ἄγειν, τοὺς δ' ἄλλους ἀμύνεσθαι μετὰ τῶν πολεμάρχων ἐπιχειροῦντας καὶ συνεξανισαμένους, διὰ τὴν μέθην οὐ πάνυ χαλεπῶς ἀπέκτειναν. Τοῖς δὲ περὶ τὸν Πελοπίδαν ἐργωδέστερον ἁπάντα τὸ πρᾶγμα· καὶ γὰρ ἐπὶ νήφοντα καὶ δεινὸν ἄνδρα τὸν Λεοντίδαν ἐχώρουν. Καὶ κεκλεισμένην τὴν οἰκίαν εὗρον ἤδη καθεύδοντος· καὶ πολὺν χρόνον κόπτουσιν αὐτοῖς ὑπήκουεν οὐδείς. Μόλις δέ ποτε τοῦ θεράποντος αἰσθομένου προϊόντος ἔνδοθεν, καὶ τὸν μοχλὸν ἀφαιροῦντος, ἅμα τῷ πρῶτον ἐνδοῦναι καὶ χαλάσαι τὰς θύρας, ἐπιπεσόντες ἀθρόοι, καὶ τὸν οἰκέτην ἀνατρέψαντες, ἐπὶ τὸν θάλαμον ὥρμησαν. Ὁ δὲ Λεοντίδας αὐτῷ τεκμαιρόμενος τῷ κτύπῳ

καὶ δρόμῳ τὸ γιγνόμενον, ἐσπάσατο μὲν τὸ ἐγχειρίδιον ἐξαναγὰς, ἔλαθε δὲ αὐτὸν καταβαλεῖν τὰ λύχνα, καὶ διὰ σκότους αὐτοὺς ἑαυτοῖς περιπετεῖς ποιῆσαι τοὺς ἄνδρας. Ἐν δὲ φωτὶ πολλῷ καθορώμενος, ὑπήντα πρὸς τὰς θύρας αὐτοῖς τοῦ θαλάμου, καὶ τὸν πρῶτον εἰσιόντα Κηφισόδωρον πατάξας κατέβαλε. Πεσόντος δὲ τούτου, δευτέρῳ συνεπλέκετο τῷ Πελοπίδᾳ· καὶ τὴν μάχην χαλεπὴν ἐποίει καὶ δύσεργον ἡσενότης τῶν θυρῶν, καὶ κείμενος ἐμποδὼν ἤδη νεκρὸς ὁ Κηφισόδωρος. Ἐκράτησε δ' οὖν ὁ Πελοπίδας, καὶ κατεργασάμενος τὸν Λεοντίδαν, ἐπὶ τὸν Ὑπάτην εὐθὺς ἐχώρει μετὰ τῶν σὺν αὐτῷ. Καὶ παρεισέπεσον μὲν εἰς τὴν οἰκίαν ὁμοίως, αἰσθόμενον δὲ ταχέως καὶ καταφυγόντα πρὸς τοὺς γείτονας, ἐκ ποδῶν διώξαντες, εἷλον καὶ διέφθειραν.

IB. διαπραξάμενοι δὲ ταῦτα, καὶ τοῖς περὶ Μέλωνα συμβαλόντες, ἔπεμψαν μὲν εἰς τὴν Ἀττικὴν ἐπὶ τοὺς ὑπολελειμμένους ἐκεῖ τῶν φυγάδων, ἐκάλουν δὲ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν, καὶ τοὺς προσιόντας ὡπλιζον, ἀφαιροῦντες ἀπὸ τῶν ξοῶν τὰ περικείμενα σκῦλα, καὶ τὰ περὶ τὴν οἰκίαν ἐργαστήρια δορυξόων καὶ μαχαιροποιῶν ἀναῤῥηγνύντες. Ἦκον δὲ βοηθοῦντες αὐτοῖς μετὰ τῶν ὅπλων οἱ περὶ Ἐπαμινώνδαν καὶ Γοργίδαν, συνειλοχότες οὐκ ὀλίγους τῶν νέων καὶ τῶν πρεσβυτέρων τοὺς βελτίστους. Ἡ δὲ πόλις ἤδη μὲν ἀνεπτόητο πᾶσα, καὶ πολὺς θόρυβος ἦν, καὶ φῶτα περὶ τὰς οἰκίας, καὶ διαδρομαὶ πρὸς ἀλλήλους. Οὔπω δὲ συνειστήκει τὸ πλῆθος· ἀλλ' ἐκπεπληγμένοι πρὸς τὰ γινόμενα, καὶ σαφὲς οὐδὲν εἰδότες, ἡμέραν περιέμενον. Ὅθεν ἁμαρτεῖν οἱ τῶν Λακεδαιμονίων ἄρχοντες ἔδοξαν, εὐθὺς οὐκ ἐπιδραμόντες, οὐδὲ συμβαλόντες· αὐτὴ μὲν ἡ φρουρὰ περὶ χιλίους πεντακοσίους ὄντες, ἐκ δὲ τῆς πόλεως πρὸς αὐτοὺς πολλῶν συντρεχόντων. Ἀλλὰ τὴν βοὴν, καὶ τὰ πυρὰ, καὶ τὸν ὄχλον χωροῦντα παντα-χόθεν πολὺν, φοβηθέντες, ἡσύχαζον αὐτὴν τὴν Καδμείαν κατ-έχοντες. Ἅμα δ' ἡμέρᾳ παρῆσαν μὲν ἐκτῆς Ἀττικῆς οἱ φυγάδες

ὡπλισμένοι, συνήθροιζο δὲ εἰς τὴν ἐκκλησίαν ὁ δῆμος. Εἰσῆγον δὲ τοὺς περὶ Πελοπίδαν Ἐπαμινώνδας καὶ Γοργίδας, ὑπὸ τῶν ἱερέων περιεχομένους, σέμματα προτεινόντων καὶ παρακαλούντων τοὺς πολίτας τῇ πατρίδι καὶ τοῖς θεοῖς βοηθεῖν. Ἡ δ' ἐκκλησία ὀρθὴ πρὸς τὴν ὄψιν μετὰ κρότου καὶ βοῆς ἐξανέστη, δεχομένων τοὺς ἄνδρας, ὡς εὐεργέτας καὶ σωτῆρας.

ΙΓ. Ἐκ δὲ τούτου Βοιωτάρχης αἱρεθεὶς μετὰ Μέλωνος καὶ Χάρωνος ὁ Πελοπίδας, εὐθὺς ἀπετείχιζε τὴν ἀκρόπολιν, καὶ προσβολὰς ἐποιεῖτο πανταχόθεν, ἐξελεῖν σπουδάζων τοὺς Λακεδαιμονίους, καὶ τὴν Καδμείαν ἐλευθερῶσαι, πρὶν ἐκ Σπάρτης στρατὸν ἐπελθεῖν. Καὶ παρὰ τοσοῦτον ἔφθασεν, ἀφεὶς ὑποσπόνδους τοὺς ἄνδρας, ὅσον ἐν Μεγάροις οὖσιν αὐτοῖς ἀπαντῆσαι Κλεόμβροτον ἐπὶ τὰς Θήβας ἐλαύνοντα μετὰ μεγάλης δυνάμεως. Οἱ δὲ Σπαρτιᾶται, τριῶν ἁρμοσῶν γενομένων ἐν Θήβαις, Ἱππίδαν μὲν καὶ Ἄρχεσον ἀπέκτειναν κρίναντες· ὁ δὲ τρίτος Λυσανορίδας, χρήμασι πολλοῖς ζημιωθείς, αὐτὸν ἐκ τῆς Πελοποννήσου μετέστησε. Ταύτην τὴν πρᾶξιν ἀρεταῖς μὲν ἀνδρῶν καὶ κινδύνοις καὶ ἀγῶσι παραπλησίαν τῇ Θρασυβούλου γενομένην, καὶ βραβευθεῖσαν ὁμοίως ὑπὸ τῆς τύχης, ἀδελφὴν ἐκείνης προσηγόρευον οἱ Ἕλληνες. Οὐ γὰρ ἐσι ῥᾴδιως ἑτέρους εἰπεῖν, οἳ πλειόνων ἐλάττους, καὶ δυνατωτέρων ἐρημότεροι, τόλμῃ καὶ δεινότητι κρατήσαντες, αἴτιοι μειζόνων ἀγαθῶν ταῖς πατρίσι κατέστησαν. Ἐνδοξοτέραν δὲ ταύτην ἐποίησεν ἡ μεταβολὴ τῶν πραγμάτων. Ὁ γὰρ καταλύσας τὸ τῆς Σπάρτης ἀξίωμα, καὶ παύσας ἄρχοντας αὐτοὺς γῆς τε καὶ θαλάττης πόλεμος, ἐξ ἐκείνης ἐγένετο τῆς νυκτὸς, ἐν ᾗ Πελοπίδας, οὐ φρούριον, οὐ τεῖχος, οὐκ ἀκρόπολιν καταλαβὼν, ἀλλ' εἰς οἰλίαν δωδέκατος κατελθὼν, εἰ δεῖ μεταφορᾷ τὸ ἀληθὲς εἰπεῖν, ἔλυσε καὶ διέκοψε τοὺς δεσμοὺς τῆς Λακεδαιμονίων ἡγεμονίας, ἀλύτους καὶ ἀῤῥήκτους εἶναι δοκοῦντας.

ΙΔ. Ἐπεὶ τοίνυν, στρατῷ μεγάλῳ Λακεδαιμονίων εἰς τὴν

Βοιωτίαν ἐμβαλόντων, οἱ Ἀθηναῖοι περίφοβοι γενόμενοι, τήν τε συμμαχίαν ἀπείπαντο τοῖς Θηβαίοις, καὶ τῶν βοιωτιαζόντων, εἰς τὸ δικαστήριον παραγαγόντες, τοὺς μὲν ἀπέκτειναν, τοὺς δ' ἐφυγάδευσαν, τοὺς δὲ χρήμασιν ἐζημίωσαν· ἐδόκει δὲ κακῶς ἔχειν τὰ τῶν Θηβαίων πράγματα, μηδενὸς αὐτοῖς βοηθοῦντος· ἔτυχε μὲν ὁ Πελοπίδας μετὰ Γοργίδου βοιωταρχῶν, ἐπιβουλεύοντες δὲ συγκροῦσαι πάλιν τοὺς Ἀθηναίους τοῖς Λακεδαιμονίοις, τοιόνδέ τι μηχανῶνται. Σφοδρίας, ἀνὴρ Σπαρτιάτης, εὐδόκιμος μὲν ἐν τοῖς πολεμικοῖς καὶ λαμπρὸς, ὑπόκουρος δὲ τὴν γνώμην, καὶ κενῶν ἐλπίδων καὶ φιλοτιμίας ἀνοήτου μεστὸς, ἀπελείφθη περὶ Θεσπιὰς μετὰ δυνάμεως, τοὺς ἀφισαμένους τῶν Θηβαίων δέχεσθαι καὶ βοηθεῖν. Πρὸς τοῦτον ὑποπέμπουσιν οἱ περὶ τὸν Πελοπίδαν ἰδίᾳ ἔμπορόν τινα τῶν φίλων, χρήματα κομίζοντα, καὶ λόγους, οἳ τῶν χρημάτων μᾶλλον ἀνέπεισαν αὐτὸν, ὡς χρὴ πραγμάτων *μᾶλλον* ἄψασθαι μεγάλων, καὶ τὸν Πειραιᾶ καταλαβεῖν ἀπροσδόκητον ἐπιπεσόντα μὴ φυλαττομένοις τοῖς Ἀθηναίοις· Λακεδαιμονίοις τε γὰρ οὐδὲν οὕτως ἔσεσθαι κεχαρισμένον, ὡς λαβεῖν τὰς Ἀθήνας, Θηβαίους τε, χαλεπῶς ἔχοντας αὐτοῖς, καὶ προδότας νομίζοντας, οὐκ ἐπιβοηθήσειν. Τέλος δὲ συμπεισθεὶς ὁ Σφοδρίας, καὶ τοὺς στρατιώτας ἀναλαβὼν, νυκτὸς εἰς τὴν Ἀττικὴν ἐνέβαλε. Καὶ μέχρι μὲν Ἐλευσῖνος προῆλθεν· ἐκεῖ δὲ τῶν στρατιωτῶν ἀποδειλιασάντων, φανερὸς γενόμενος καὶ συνταράξας οὐ φαῦλον, οὐδὲ ῥᾴδιον τοῖς Σπαρτιάταις πόλεμον, ἀνεχώρησεν εἰς Θεσπιάς.

ΙΕ. Ἐκ τούτου πάλιν προθυμότατα Ἀθηναῖοι τοῖς Θηβαίοις συνεμάχουν, καὶ τῆς θαλάσσης ἀντελαμβάνοντο, καὶ περιιόντες ἐδέχοντο καὶ προσήγοντο τοὺς ἀποστατικῶς τῶν Ἑλλήνων ἔχοντας. Οἱ δὲ Θηβαῖοι καθ' αὑτοὺς ἐν τῇ Βοιωτίᾳ συμπλεκόμενοι τοῖς Δακεδαιμονίοις ἑκάστοτε, καὶ μαχόμενοι μάχας, αὐτὰς μὲν οὐ μεγάλας, μεγάλην δὲ τὴν μελέτην ἐχούσας καὶ τὴν ἄσκησιν, ἐξερριπίζοντο

ἐξερρίπίζοντο τοῖς θυμοῖς, καὶ διεπονοῦντο τοῖς σώμασιν, ἐμπειρίαν ἅμα τῇ συνηθείᾳ καὶ φρόνημα προσλαμβάνοντες ἐκ τῶν ἀγώνων. Διὸ καί φασιν Ἀνταλκίδαν τὸν Σπαρτιάτην, ὡς Ἀγησίλαος ἐπανῆλθεν ἐκ Βοιωτίας τετρωμένος, εἰπεῖν πρὸς αὐτόν· Ἢ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς πολεμεῖν καὶ μάχεσθαι διδάξας. Ἦν δ' ὡς ἀληθῶς διδάσκαλος, οὐκ Ἀγησίλαος, ἀλλ' οἱ σὺν καιρῷ καὶ μετὰ λογισμοῦ τοὺς Θηβαίους, ὥσπερ σκύλακας, ἐμπείρως προσβάλλοντες τοῖς πολεμίοις, εἶτα γευσαμένους νίκης καὶ φρονήματος ἀσφαλῶς ἀπάγοντες. Ὧν μεγίστην δόξαν εἶχενὁ Πελοπίδας. Ἀφ' ἧς γὰρ εἵλοντο πρῶτον ἡγεμόνα τῶν ὅπλων, οὐκ ἀνεπαύσαντο καθ' ἕκαστον ἐνιαυτὸν ἄρχοντα χειροτονοῦντες· ἀλλ' ἢ τὸν ἱερὸν λόχον ἄγων, ἢ τὰ πλεῖστα βοιωταρχῶν ἄχρι τῆς τελευτῆς ἔπραττεν. Ἐγένοντο μὲν οὖν καὶ περὶ Πλαταιὰς καὶ Θεσπιὰς ἧτται καὶ φυγαὶ τῶν Λακεδαιμονίων, ὅπου καὶ Φοιβίδας, ὁ τὴν Καδμείαν καταλαβών, ἀπέθανε. Πολλοὺς δὲ καὶ πρὸς Τανάγρᾳ τρεψάμενος αὐτῶν, καὶ Πανθοίδην τὸν ἁρμοστὴν, ἀνεῖλεν. Ἀλλ' οὗτοι μὲν οἱ ἀγῶνες ὥσπερ τοὺς κρατοῦντας εἰς φρόνημα καὶ θάρσος προῆγον, οὕτως τῶν ἡσσωμένων οὐ παντάπασιν ἐδουλοῦντο τὴν γνώμην. Οὐ γὰρ ἐκ παρατάξεως ἦσαν, οὐδὲ μάχης ἐμφανῆ κατάσασιν ἐχούσης καὶ νόμιμον· ἐκδρομὰς δὲ προσκαίρους τιθέμενοι, καὶ φυγὰς, ἢ διώξεις, ἐπιχειροῦντες αὐτοῖς καὶ συμπλεκόμενοι κατώρθουν.

Ις. Ὁ δὲ περὶ Τεγύρας, τρόπον τινὰ τοῦ Λευκτρικοῦ προαγὼν γενόμενος, μέγαν ἦρεν ἐν δόξῃ τὸν Πελοπίδαν, οὔτε πρὸς κατόρθωμα τοῖς συστρατήγοις ἀμφισβήτησιν, οὔτε τῆς ἥττης πρόφασιν τοῖς πολεμίοις ἀπολιπών. Τῇ γὰρ Ὀρχομενίων πόλει, τὰ Σπαρτιατῶν ἑλομένῃ, καὶ δύο δεδεγμένῃ μόρας αὐτῶν ὑπὲρ ἀσφαλείας, ἐπεβούλευε μὲν ἀεί, καὶ παρεφύλαττε καιρόν· ὡς δ' ἤκουσε τοῖς φρουροῖς εἰς τὴν Λοκρίδα γεγενῆσθαι στρατείαν,

ἐλπίσας ἔρημον αἱρήσειν τὸν Ὀρχομενὸν, ἐστράτευσεν ἔχων μεθ' ἑαυτοῦ τὸν ἱερὸν λόχον, καὶ τῶν ἱππέων οὐ πολλούς. Ἐπεὶ δὲ πρὸς τὴν πόλιν προσαγαγὼν, εὗρεν ἥκουσαν ἐκ Σπάρτης διαδοχὴν τῆς φρουρᾶς, ἀπῆγεν ὀπίσω τὸ στράτευμα πάλιν διὰ Τεγυρῶν, ᾗ μόνῃ βάσιμον ἦν κύκλῳ παρὰ τὴν ὑπώρειαν. Τὴν γὰρ διὰ μέσου πᾶσαν ὁ Μέλας ποταμὸς, εὐθὺς ἐκ πηγῶν εἰς ἕλη πλωτὰ καὶ λίμνας διασπειρόμενος, ἄπορον ἐποίει. Μικρὸν δὲ ὑπὸ τὰ ἕλη νεώς ἐστιν Ἀπόλλωνος Τεγυραίου, καὶ μαντεῖον ἐκλελειμμένον οὐ πάνυ πολὺν χρόνον· ἀλλ' ἄχρι τῶν Μηδικῶν ἤκμαζε, τὴν προφητείαν Ἐχεκράτους ἔχοντος. Ἐνταῦθα μυθολογοῦσι τὸν θεὸν γενέσθαι. Καὶ τὸ μὲν πλησίον ὄρος Δῆλος καλεῖται, καὶ πρὸς αὐτὸ καταλήγουσιν αἱ τοῦ Μέλανος διαχύσεις. Ὀπίσω δὲ τοῦ νεοῦ δύο ῥέουσι πηγαὶ, γλυκύτητι καὶ πλήθει καὶ ψυχρότητι θαυμαστοῦ νάματος, ὧν τὸ μὲν Φοίνικα, τὸ δὲ Ἐλαίαν ἄχρι νῦν ὀνομάζομεν, οὐ φυτῶν μεταξὺ δυεῖν, ἀλλὰ ῥείθρων, τῆς θεοῦ λοχευθείσης. Καὶ γὰρ τὸ Πτῶον ἐγγὺς, ὅθεν αὐτὴν ἀναπτοηθῆναι, προφανέντος ἐξαίφνης κάπρου, λέγουσι· καὶ τὰ περὶ Ὑάθωνα καὶ Τιτυὸν ὡσαύτως οἱ τόποι τῇ γενέσει τοῦ θεοῦ συνοικειοῦσι. Τὰ γὰρ πλεῖστα παραλείπω τῶν τεκμηρίων. Οὐ γὰρ ἐν τοῖς ἐκ μεταβολῆς ἀθανάτοις γενομένοις γεννητοῖς ὁ πάτριος λόγος τὸν θεὸν τοῦτον ἀπολείπει δαίμοσι, ὥσπερ Ἡρακλέα καὶ Διόνυσον, *ἐκ μεταβολῆς* ἀρετῇ τὸ θνητὸν καὶ παθητὸν ἀποβαλόντας· ἀλλὰ τῶν ἀϊδίων καὶ ἀγεννήτων εἷς ἐστιν, εἰ δεῖ τοῖς ὑπὸ τῶν φρονιμωτάτων καὶ παλαιοτάτων λεγομένοις τεκμαίρεσθαι περὶ τῶν τηλικούτων.

ΙΖ. Εἰς γοῦν Τεγύρας οἱ Θηβαῖοι, κατὰ τὸν αὐτὸν χρόνον ἐκ τῆς Ὀρχομενίας ἀπιόντες, καὶ οἱ Λακεδαιμόνιοι συνέπιπτον, ἐξ ἐναντίας αὐτοῖς ἐκ τῆς Λοκρίδος ἀναζευγνύντες. Ὡς δὲ πρῶτον ὤφθησαν τὰ ξενὰ διεκβάλλοντες, καί τις εἶπε τῷ Πελοπίδᾳ προσδραμών· Ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους· Τί μᾶλλον,

εἶπεν, ἦλθες ἡμᾶς ἐκεῖνοι; Καὶ τὴν μὲν ἵππον εὐθὺς ἐκέλευσε παρελαύνειν ἀπ' οὐρᾶς, ὡς προεμβαλοῦσαν· αὐτὸς δὲ τοὺς ὁπλίτας τριακοσίους ὄντας εἰς ὀλίγον συνήγαγεν, ἐλπίζων, καθ' ὃ προσβάλοι, μάλιστα διακόψειν ὑπερβάλλοντας πλήθει τοὺς πολεμίους. Ἦσαν δὲ δύο μόραι Λακεδαιμονίων. Τὴν δὲ μόραν Ἔφορος μὲν ἄνδρας εἶναι πεντακοσίους φησί, Καλλισθένης δ' ἑπτακοσίους, ἄλλοι δέ τινες ἐννακοσίους, ὧν Πολύβιός ἐστι. Καὶ θαρρούντων οἱ πολέμαρχοι τῶν Σπαρτιατῶν, Γοργολέων καὶ Θεόπομπος, ὥρμησαν ἐπὶ τοὺς Θηβαίους. Γενομένης δέ πως μάλιστα τῆς ἐφόδου κατ' αὐτοὺς τοὺς ἄρχοντας ἀπ' ἀμφοτέρων μετὰ θυμοῦ καὶ βίας, πρῶτον μὲν οἱ πολέμαρχοι τῶν Λακεδαιμονίων τῷ Πελοπίδᾳ συρράξαντες ἔπεσον· ἔπειτα, τῶν περὶ ἐκείνους παιομένων καὶ ἀποθνησκόντων, ἅπαν εἰς φόβον κατέστη τὸ στράτευμα· καὶ διέσχεμεν ἐπ' ἀμφότερα τοῖς Θηβαίοις, ὡς διεκπεσεῖν εἰς τοὔμπροσθεν καὶ διεκθεῖν βουλομένοις. Ἐπεὶ δὲ τὴν δεδραμένην ἐάσας ὁ Πελοπίδας ἤγειτο πρὸς τοὺς συνεσῶτας, καὶ διεξῄει φονεύων, οὕτω πάντες προτροπάδην ἔφυγον. Ἐγένετο δ' οὐκ ἐπὶ πολὺν τόπον ἡ δίωξις· ἐφοβοῦντο γὰρ ἐγγὺς ὄντας οἱ Θηβαῖοι τοὺς Ὀρχομενίους, καὶ τὴν διαδοχὴν τῶν Λακεδαιμονίων. Ὅσον δὲ νικῆσαι κατὰ κράτος, καὶ διεξελθεῖν διὰ παντὸς ἠσσωμένου τοῦ στρατεύματος, ἐξεβιάσαντο· καὶ στήσαντες τρόπαιον, καὶ νεκροὺς σκυλεύσαντες, ἀνεχώρησαν ἐπ' οἶκου μέγα φρονοῦντες. Ἐν γὰρ τοσούτοις, ὡς ἔοικε, πολέμοις Ἑλληνικοῖς καὶ βαρβαρικοῖς πρότερον οὐδέποτε Λακεδαιμόνιοι πλείονες ὄντες ὑπ' ἐλαττόνων ἐκρατήθησαν, ἀλλ' οὐδ' ἴσοι πρὸς ἴσους ἐκ παρατάξεως συμβαλόντες. Ὅθεν ἦσαν ἀνυπόστατοι τὰ φρονήματα, καὶ τῇ δόξῃ καταπλησσόμενοι τοὺς ἀντιτασσομένους, οὐδ' αὐτοὺς ἀξιοῦντας ἀπ' ἴσης δυνάμεως τὸ ἴσον φέρεσθαι Σπαρτιάταις, εἰς χεῖρας συνέσησαν. Ἐκείνη δ' ἡ μάχη πρώτη καὶ τοὺς ἄλλους ἐδίδαξεν Ἕλληνας, ὡς οὐχ ὁ Εὐρώτας, οὐδ' ὁ μεταξὺ Βαβύκας καὶ Κνακίωνος τόπος ἄνδρας ἐκφέρει μαχητὰ

καὶ πολεμικοὺς, ἀλλὰ παρ' οἷς ἂν αἰσχύνεσθαι τὰ αἰσχρὰ, καὶ τολμᾷν ἐπὶ τοῖς καλοῖς ἐθέλοντες ἐγγένωνται νέοι, καὶ τοὺς ψόγους τῶν κινδύνων μᾶλλον φεύγοντες, οὗτοι φοβερώτατοι τοῖς ἐναντίοις εἰσίν.

III. Τὸν δ' ἱερὸν λόχον, ὥς φασι, συνετάξατο Γοργίδας πρῶτος, ἐξ ἀνδρῶν ἐπιλέκτων τριακοσίων, οἷς ἡ πόλις οἴκησιν καὶ δίαιταν ἐν τῇ Καδμείᾳ στρατοπεδευομένοις παρεῖχε, καὶ διὰ τοῦτο ὁ ἐκ πόλεως λόχος ἐκαλοῦντο. Τὰς γὰρ ἀκροπόλεις ἐπικῶς οἱ τότε πόλεις ὠνόμαζον. Ἔνιοι δέ φασιν, ἐξ ἐραστῶν καὶ ἐρωμένων γενέσθαι τὸ σύνταγμα τοῦτο. Καὶ Παμμένους ἀπομνημονεύεταί τι μετὰ παιδιᾶς εἰρημένον· οὐ γὰρ ἔφη τακτικὸν εἶναι τὸν Ὁμήρου Νέστορα, κελεύοντα κατὰ φῦλα καὶ φρήτρας συλλοχίζεσθαι τοὺς Ἕλληνας,

Ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ φῦλα δὲ φύλοις,

δέον ἐραστὴν παρ' ἐρώμενον τάττειν. Φυλέτας μὲν γὰρ φυλετῶν καὶ φράτορας φρατόρων οὐ πολὺν λόγον ἔχειν ἐν τοῖς δεινοῖς· τὸ δ' ἐξ ἐρωτικῆς φιλίας συνηρμοσμένον σίφος ἀδιάλυτον εἶναι καὶ ἄῤῥηκτον, ὅταν οἱ μὲν ἀγαπῶντες τοὺς ἐρωμένους, οἱ δ' αἰσχυνόμενοι τοὺς ἐρῶντας, ἐμμένωσι τοῖς δεινοῖς ὑπὲρ ἀλλήλων. Καὶ τοῦτο θαυμαστὸν οὐκ ἔστιν· εἴγε δὴ καὶ μὴ παρόντας αἰδοῦνται μᾶλλον ἑτέρων παρόντων, ὡς ἐκεῖνος ὁ τοῦ πολεμίου, κείμενον αὐτὸν ἐπισφάττειν μέλλοντος, δεόμενος καὶ ἀντιβολῶν διὰ τοῦ στέρνου διεῖναι τὸ ξίφος· « Ὅπως (ἔφη) μή με νεκρὸν ὁ ἐρώμενος ὁρῶν κατὰ νώτου τετρωμένον αἰσχυνθῇ. » Λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα, κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Ἀριστοτέλης δὲ καὶ καθ' αὑτὸν ἔτι φησὶν ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς. Εἰκὸς οὖν καὶ τὸν λόχον ἱερὸν προσαγορεύεσθαι, καθότι καὶ Πλάτων ἔνθεον φίλον τὸν ἐραστὴν προσεῖπε. Λέγεται δὲ διαμεῖναι μέχρι τῆς ἐν Χαιρωνείᾳ μάχης ἀήττητον·

ὡς δὲ μετὰ τὴν μάχην ἐφορῶν τοὺς νεκροὺς ὁ Φίλιππος ἔστη κατὰ τοῦτο τὸ χωρίον, ἐν ᾧ συνετύγχανε κεῖσθαι τοὺς τριακοσίους ἐναντίους ἀπηντηκότας ταῖς σαρίσσαις ἅπαντας τοῖς στέρνοις, ἐν ὅπλοις μετ' ἀλλήλων ἀναμεμιγμένους, θαυμάσαντα, καὶ πυθόμενον, ὡς ὁ τῶν ἐραστῶν καὶ τῶν ἐρωμένων οὗτος εἴη λόχος, δακρύσαι, καὶ εἰπεῖν· « Ἀπόλοιντο κακῶς οἱ τούτους τι ποιεῖν, ἢ πάσχειν αἰσχρὸν ὑπονοοῦντες. »

ΙΘ. Ὅλως δὲ τῆς περὶ τοὺς ἐραστὰς συνηθείας, οὐχ, ὥσπερ οἱ ποιηταὶ λέγουσι, Θηβαίοις τὸ Λαΐου πάθος ἀρχὴν παρέσχεν· ἀλλ' οἱ νομοθέται, τὸ φύσει θυμοειδὲς αὐτῶν καὶ ἄκρατον ἀνιέναι καὶ ἀνυγραίνειν εὐθὺς ἐκ παίδων βουλόμενοι, πολὺν μὲν ἀνεμίξαντο καὶ σπουδῇ καὶ παιδιᾷ πάσῃ τὸν αὐλὸν, εἰς τιμὴν καὶ προεδρίαν ἄγοντες, λαμπρὸν δὲ τὸν ἔρωτα ταῖς παλαίστραις ἐνεθρέψαντο, συγκεραννύντες τὰ ἤθη τῶν νέων. Ὀρθῶς δὲ πρὸς τοῦτο καὶ τὴν ἐξ Ἄρεως καὶ Ἀφροδίτης γεγονέναι λεγομένην θεὸν τῇ πόλει συνῳκείωσαν, ὡς, ὅπου τὸ μαχητικὸν καὶ πολεμικὸν μάλιστα τῷ μετέχοντι πειθοῦς καὶ χαρίτων ὁμιλεῖ καὶ σύνεσιν, εἰς τὴν ἐμμελεστάτην καὶ κοσμιωτάτην πολιτείαν δι' ἁρμονίας καθισταμένων ἁπάντων. Τὸν οὖν ἱερὸν λόχον τοῦτον ὁ μὲν Γοργίδας διαιρῶν εἰς τὰ πρῶτα ζυγὰ, καὶ παρ' ὅλην τὴν φάλαγγα τῶν ὁπλιτῶν προβαλλόμενος, ἐπίδηλον οὐκ ἐποίει τὴν ἀρετὴν τῶν ἀνδρῶν, οὐδ' ἐχρῆτο τῇ δυνάμει πρὸς κοινὸν ἔργον, ἅτε δὴ διαλελυμένων, καὶ παρὰ πολὺ μεμιγμένων τῷ φαυλοτέρῳ· ὁ δὲ Πελοπίδας, ὡς ἐξέλαμψεν αὐτῶν ἡ ἀρετὴ περὶ Τεγύρας, καθαρῶ καὶ περὶ αὑτῶν ἀγωνισαμένων, οὐκ ἔτι διεῖλεν, οὐδὲ διέσπασεν, ἀλλ' ὥσπερ σώματι χρώμενος ὅλῳ, προεκινδύνευε τοῖς μεγίστοις ἀγῶσιν. Ὥσπερ γὰρ οἱ ἵπποι θᾶσσον ὑπὸ τοῖς ἅρμασιν, ἢ καθ' αὑτοὺς, ἐλαυνόμενοι θέουσιν, οὐχ ὅτι μᾶλλον ἐμπίπτοντες ἐκβιάζονται τὸν ἀέρα τῷ πλήθει ῥηγνύμενον, ἀλλ' ὅτι συνεκκαίει τὸν θυμὸν ἡ μετ' ἀλλήλων ἅμιλλα καὶ τὸ φιλόνεικον· οὕτως ὤετο

τοὺς ἀγαθοὺς, ζῆλον ἀλλήλοις καλῶν ἔργων ἐνιέντας, ὠφελιμωτάτους εἰς κοινὸν ἔργον εἶναι καὶ προθυμοτάτους.

Κ. Ἐπεὶ δὲ Λακεδαιμόνιοι, πᾶσι τοῖς Ἕλλησιν εἰρήνην συνθέμενοι, πρὸς μόνους Θηβαίους ἐξήνεγκαν τὸν πόλεμον, ἐνεβεβλήκει δὲ Κλεόμβροτος ὁ βασιλεὺς, ἄγων ὁπλίτας μυρίους, ἱππεῖς δὲ χιλίους· ὁ δὲ κίνδυνος οὐ περὶ ὧν πρότερον ἦν Θηβαίοις, ἀλλ' ἄντικρυς ἀπειλὴ καὶ καταγγελία διοικισμοῦ, καὶ φόβος, οἷος οὔπω τὴν Βοιωτίαν κατεῖχεν· ἐξιὼν μὲν ἐκ τῆς οἰκίας ὁ Πελοπίδας, καὶ τῆς γυναικὸς ἐν τῷ προπέμπειν δακρυούσης, καὶ παρακαλούσης σώζειν ἑαυτόν· Ταῦτα, εἶπεν, ὦ γύναι, τοῖς ἰδιώταις χρὴ παραινεῖν, τοῖς δ' ἄρχουσιν, ὅπως τοὺς ἄλλους σώζωσιν. Ἐλθὼν δ' εἰς τὸ στρατόπεδον, καὶ τοὺς Βοιωτάρχας καταλαβὼν οὐχ ὁμογνωμονοῦντας, πρῶτος Ἐπαμινώνδας προσέθετο γνώμην, ψηφιζομένῳ διὰ μάχης ἰέναι τοῖς πολεμίοις, Βοιωτάρχης μὲν οὐκ ἀποδεδειγμένος, ἄρχων δὲ τοῦ ἱεροῦ λόχου, καὶ πιστεύμενος, ὡς ἦν δίκαιον ἄνδρα τηλικαῦτα δεδωκότα τῇ πατρίδι σύμβολα εἰς τὴν ἐλευθερίαν. Ὡς οὖν ἐδέδοκτο διακινδυνεύειν, καὶ περὶ τὰ Λεῦκτρα τοῖς Λακεδαιμονίοις ἀντεστρατοπέδευον, ὄψιν εἶδε κατὰ τοὺς ὕπνους ὁ Πελοπίδας, εὖ μάλα διαταράξασαν αὐτόν. Ἔστι γὰρ ἐν τῷ Λευκτρικῷ πεδίῳ τὰ σήματα τῶν τοῦ Σκεδάσου θυγατέρων, ἃς Λευκτρίδας καλοῦσι διὰ τὸν τόπον· ἐκεῖ γὰρ αὐταῖς ὑπὸ ξένων Σπαρτιατῶν βιασθείσαις συνέβη ταφῆναι. Γενομένης δὲ χαλεπῆς οὕτω καὶ παρανόμου πράξεως, ὁ μὲν πατὴρ, ὡς οὐκ ἔτυχεν ἐν Λακεδαίμονι δίκης, ἀρὰς κατὰ τῶν Σπαρτιατῶν ἀρασάμενος, ἔσφαξεν ἑαυτὸν ἐπὶ τοῖς τάφοις τῶν παρθένων. Χρησμοὶ δὲ καὶ λόγια τοῖς Σπαρτιάταις ἀεὶ προὔφαινον, εὐλαβεῖσθαι καὶ φυλάττεσθαι τὸ Λευκτρικὸν μήνιμα, μὴ πάνυ τῶν πολλῶν συνιέντων, ἀλλ' ἀμφιγνοούντων τὸν τόπον· ἐπεὶ καὶ τῆς Λακωνικῆς πολίχνιον πρὸς τῇ θαλάσσῃ Λεῦκτρον ὀνομάζεται, καὶ πρὸς Μεγάλῃ πόλει τῆς

Ἀρκαδίας τόπος ἐστὶν ὁμώνυμος. Τὸ μὲν οὖν πάθος τοῦτο πολὺ τῶν Λευκτρικῶν ἦν παλαιότερον.

ΚΑ. Ὁ δὲ Πελοπίδας, ἐν τῷ στρατοπέδῳ κατακοιμηθείς, ἔδοξε τάς τε παῖδας ὁρᾶν περὶ τὰ μνήματα θρηνούσας, καὶ καταρωμένας τοῖς Σπαρτιάταις, τόν τε Σκέδασον κελεύοντα ταῖς κόραις σφαγιάσαι παρθένον ξανθήν, εἰ βούλοιτο τῶν πολεμίων ἐπικρατῆσαι. Δεινοῦ δὲ καὶ παρανόμου τοῦ προστάγματος αὐτῷ φανέντος, ἐξαναστὰς ἐκοινοῦτο τοῖς τε μάντεσι καὶ τοῖς ἄρχουσιν. Ὧν οἱ μὲν οὐκ εἴων παραμελεῖν, οὐδ' ἀπειθεῖν, τῶν μὲν παλαιῶν προφέροντες Μενοικέα τον Κρέοντος, καὶ Μακαρίαν τὴν Ἡρακλέους· τῶν δ' ὕστερον Φερεκύδην τε τὸν σοφὸν, ὑπὸ Λακεδαιμονίων ἀναιρεθέντα, καὶ τὴν δορὰν αὐτοῦ κατά τι λόγιον ὑπὸ τῶν βασιλέων φρουρουμένην· Λεωνίδαντε τῷ χρησμῷ τρόπον τινὰ προθυσάμενον ἑαυτὸν ὑπὲρ τῆς Ἑλλάδος· ἔτι δὲ τοὺς ὑπὸ Θεμιστοκλέους σφαγιασθέντας ὠμηστῇ Διονύσῳ πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας· ἐκείνοις γὰρ ἐπιμαρτυρῆσαι τὰ κατορθώματα. Τοῦτο δὲ, ὡς Ἀγησίλαον, ἀπὸ τῶν αὐτῶν Ἀγαμέμνονι τόπων ἐπὶ τοὺς αὐτοὺς στρατευόμενον πολεμίους, ἤτησε μὲν ἡ θεὸς τὴν θυγατέρα σφάγιον, καὶ ταύτην εἶδε τὴν ὄψιν ἐν Αὐλίδι κοιμώμενος· ὁ δ' οὐκ ἔδωκεν, ἀλλ' ἀπομαλθακωθεὶς κατέλυσε τὴν στρατείαν ἄδοξον καὶ ἀτελῆ γενομένην. Οἱ δὲ τοὐναντίον ἀπηγόρευον, ὡς οὐδενὶ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ἀρεστὴν οὖσαν οὕτω βάρβαρον καὶ παράνομον θυσίαν· οὐ γὰρ τοὺς Τυρῶνας ἐκείνους, οὐδὲ τοὺς Γίγαντας ἄρχειν, ἀλλὰ τὸν πάντων πατέρα θεῶν καὶ ἀνθρώπων· δαίμονας δὲ χαίροντας ἀνθρώπων αἵματι καὶ φόνῳ πιστεύειν μὲν ἴσως ἐστὶν ἀβέλτερον· ὄντων δὲ τοιούτων, ἀμελητέον ὡς ἀδυνάτων· ἀσθενείᾳ γὰρ καὶ μοχθηρίᾳ ψυχῆς ἐμφύεσθαι καὶ παραμένειν τὰς ἀτόπους καὶ χαλεπὰς ἐπιθυμίας.

ΚΒ. Ἐν τοιούτοις οὖν διαλόγοις τῶν πρώτων ὄντων, καὶ μάλιστα τοῦ Πελοπίδου διαποροῦντος, ἵππος ἐξ ἀγέλης καὶ πῶλος

ἀποφυγοῦσα, καὶ φερομένη διὰ τῶν ὅπλων, ὡς ἦν θέουσα κατ' αὐτοὺς ἐκείνους ἐπέσχη, καὶ τοῖς μὲν ἄλλοις θέαν παρεῖχεν ἥ τε χρόα σίλβουσα τῆς χαίτης πυρσότατον, ἥ τε γαυρότης καὶ τὸ σοβαρὸν καὶ τεθαρρηκὸς τῆς φωνῆς· Θεόκριτος δὲ ὁ μάντις συμφρονήσας ἀνεβόησε πρὸς τὸν Πελοπίδαν· « Ἥκει σοι τὸ ἱερεῖον, ὦ δαιμόνιε· καὶ παρθένον ἄλλην μὴ περιμένωμεν, ἀλλὰ χρῶ δεξάμενος, ἣν ὁ θεὸς δίδωσι. » Ἐκ τούτου λαβόντες τὴν ἵππον, ἐπὶ τοὺς τάφους ἦγον τῶν παρθένων, καὶ κατευξάμενοι καὶ κατασ-ψαντες, ἐνέτεμνον αὐτοί τε χαίροντες, καὶ λόγον εἰς τὸ στρατόπεδον περὶ τῆς ὄψεως τοῦ Πελοπίδου καὶ τῆς θυσίας διδόντες.

ΚΓ. Ἐν δὲ τῇ μάχῃ, τοῦ Ἐπαμινώνδου τὴν φάλαγγα λοξὴν ἐπὶ τὸ εὐώνυμον ἔλκοντος, ὅπως τῶν ἄλλων Ἑλλήνων ἀπωτάτω γένηται τὸ δεξιὸν τῶν Σπαρτιατῶν, καὶ τὸν Κλεόμβροτον ἐξώσῃ προσπεσών ἀθρόως κατὰ κέρας, καὶ διασάμενος, οἱ μὲν πολέμιοι, καταμαθόντες τὸ γινόμενον, ἤρξαντο μετακινεῖν τῇ τάξει σφᾶς αὐτούς, καὶ τὸ δεξιὸν ἀνέπτυσσον καὶ περιῆγον, ὡς κυκλωσόμενοι καὶ περιβαλοῦντες ὑπὸ πλήθους τὸν Ἐπαμινώνδαν. Ὁ δὲ Πελοπίδας ἐν τούτῳ προεξέδραμε, καὶ συστρέψας τοὺς τριακοσίους, δρόμῳ φθάνει, πρὶν ἀνατεῖναι τὸν Κλεόμβροτον τὸ κέρας, ἢ συναγαγεῖν πάλιν εἰς τὸ αὐτό, καὶ συγκλεῖσαι τὴν τάξιν, οὐ καθεσῶσιν, ἀλλὰ θορυβουμένοις δι' ἀλλήλων τοῖς Λακεδαιμονίοις ἐπιβαλών. Καίτοι πάντων ἄκροι τεχνῖται καὶ σοφισταὶ τῶν πολεμικῶν ὄντες οἱ Σπαρτιᾶται, πρὸς οὐδὲν οὕτως ἐπαίδευον αὐτοὺς καὶ συνείθιζον, ὡς τὸ μὴ πλανᾶσθαι, μηδὲ ταράττεσθαι, τάξεως διαλυθείσης, ἀλλὰ χρώμενοι πᾶσι πάντες ἐπισάταις καὶ ζευγίταις, ὅποι ποτὲ συνίσησιν ὁ κίνδυνος καὶ καταλαμβάνοι, καὶ συναρμόττειν καὶ μάχεσθαι παραπλησίως. Τότε δὴ ἡ τοῦ Ἐπαμινώνδου φάλαγξ ἐπιφερομένη μόνοις ἐκείνοις, καὶ παραλλάττουσα τοὺς ἄλλους, ὅ τε Πελοπίδας μετὰ τάχους ἀπίστου καὶ τόλμης ἐν τοῖς ὅπλοις γενόμενος, συνέχεον τά τε φρονήματα καὶ τὰς ἐπιστήμας

αὐτῶν οὕτως, ὥσε φυγὴν καὶ φόνον Σπαρτιατῶν, ὅσον οὔπω πρότερον, γενέσθαι. Διὸ τῷ Ἐπαμινώνδᾳ βοιωταρχοῦντι μὴ βοιωταρχῶν, καὶ πάσης ἡγουμένῳ τῆς δυνάμεως, μικροῦ μέρους ἄρχων, ἴσον ἠνέγκατο δόξης τῆς νίκης ἐκείνης καὶ τοῦ κατορθώματος.

ΚΔ. Εἰς μέντοι Πελοπόννησον ἀμφότεροι βοιωταρχοῦντες ἐνέβαλον, καὶ τῶν ἐθνῶν τὰ πλεῖστα προσήγοντο, Λακεδαιμονίων ἀποσήσαντες Ἦλιν, Ἄργος, Ἀρκαδίαν σύμπασαν, αὐτῆς τῆς Λακωνικῆς τὰ πλεῖστα. Καίτοι χειμῶνος μὲν ἦσαν αἱ περὶ τροπὰς ἀκμαί· μηνὸς δὲ τοῦ τελευταίου φθίνοντος ὀλίγαι περιῆσαν ἡμέραι, καὶ τὴν ἀρχὴν ἔδει παραλαμβάνειν ἑτέρους εὐθὺς ἰσαμένου τοῦ πρώτου μηνός, ἢ θνήσκειν τοὺς μὴ παραδιδόντας. Οἱ δ' ἄλλοι Βοιωτάρχαι καὶ τὸν νόμον δεδιότες τοῦτον, καὶ τὸν χειμῶνα φεύγοντες, ἀπάγειν ἔσπευδον ἐπ' οἴκου τὸ στράτευμα. Πελοπίδας δὲ πρῶτος, Ἐπαμινώνδᾳ γενόμενος σύμψηφος, καὶ συμπαρορμήσας τοὺς πολίτας, ἦγεν ἐπὶ τὴν Σπάρτην, καὶ διεβίβαζε τὸν Εὐρώταν· καὶ πολλὰς μὲν ᾕρει πόλεις αὐτῶν, πᾶσαν δὲ τὴν χώραν ἐπόρθει μέχρι θαλάσσης, ἡγούμενος ἑπτὰ μυριάδων Ἑλληνικῆς στρατείας, ἧς ἔλαττον ἢ δωδέκατον ἦσαν αὐτοὶ Θηβαῖοι μέρος. Ἀλλ' ἡ δόξα τῶν ἀνδρῶν, ἄνευ δόγματος κοινοῦ καὶ ψηφίσματος, ἐποίει τοὺς συμμάχους ἕπεσθαι σιωπῇ πάντας ἡγουμένοις ἐκείνοις. Ὁ γὰρ πρῶτος, ὡς ἔοικε, καὶ κυριώτατος νόμος τῷ σώζεσθαι δεομένῳ τὸν σώζειν δυνάμενον ἄρχοντα κατὰ φύσιν ἀποδίδωσι· κἂν, ὥσπερ οἱ πλέοντες εὐδίας οὔσης, ἢ παρ' ἀκτὴν ὁρμοῦντες, ἀσελγῶς προσενεχθῶσι τοῖς κυβερνήταις καὶ θρασέως, ἅμα τῷ χειμῶνα καὶ κίνδυνον καταλαμβάνειν, πρὸς ἐκείνους ἀποβλέπουσι, καὶ τὰς ἐλπίδας ἐν ἐκείνοις ἔχουσι. Καὶ γὰρ Ἀργεῖοι, καὶ Ἠλεῖοι, καὶ Ἀρκάδες, ἐν τοῖς συνεδρίοις ἐρίζοντες καὶ διαφερόμενοι πρὸς τοὺς Θηβαίους ὑπὲρ ἡγεμονίας, ἐπ' αὐτῶν τῶν ἀγώνων καὶ παρὰ τὰ δεινὰ τοῖς

ἐκείνων αὐθαιρέτως πειθόμενοι στρατηγοῖς ἠκολούθουν. Ἐν ἐκείνῃ τῇ στρατείᾳ πᾶσαν μὲν Ἀκαρδίαν εἰς μίαν δύναμιν συνέστησαν, τὴν δὲ Μεσσηνίαν χώραν νεμομένων Σπαρτιατῶν ἀποτεμόμενοι, τοὺς παλαιοὺς Μεσσηνίους ἐκάλουν καὶ κατῆγον, Ἰθώμην συνοικίσαντες· ἀπιόντες δ' ἐπ' οἴκου διὰ Κεγχρειῶν, Ἀθηναίους ἐνίκων ἐπιχειροῦντας ἀψιμαχεῖν περὶ τὰ ζενὰ, καὶ κωλύειν τὴν πορείαν.

ΚΕ. Ἐπὶ δὲ τούτοις οἱ μὲν ἄλλοι πάντες ὑπερηγάπων τὴν ἀρετὴν, καὶ τὴν τύχην ἐθαύμαζον ὁ δὲ συγγενὴς καὶ πολιτικὸς φθόνος, ἅμα τῇ δόξῃ τῶν ἀνδρῶν συναυξόμενος, οὐ καλὰς, οὐδὲ πρεπούσας ὑποδοχὰς παρεσκεύαζεν αὐτοῖς. Θανάτου γὰρ ἀμφότεροι δίκας ἔφυγον ἐπανελθόντες, ὅτι, τοῦ νόμου κελεύοντος ἐν τῷ πρώτῳ μηνὶ παραδοῦναι τὴν Βοιωταρχίαν ἑτέροις, ὃν Βουκάτιον ὀνομάζουσι, τέτταρας ὅλους προσεπεβάλοντο μῆνας, ἐν οἷς τὰ περὶ Μεσσήνην καὶ Ἀρκαδίαν καὶ τὴν Λακωνικὴν διώκησαν. Εἰσήχθη μὲν οὖν πρότερος εἰς τὸ δικαστήριον Πελοπίδας· διὸ καὶ μᾶλλον ἐκινδύνευσεν· ἀμφότεροι δ' ἀπελύθησαν. Τὸ δὲ συκοφάντημα καὶ τὴν πεῖραν Ἐπαμινώνδας ἤνεγκε πράως, μέγα μέρος ἀνδρείας καὶ μεγαλοψυχίας τὴν ἐν τοῖς πολιτικοῖς ἀνεξικακίαν ποιούμενος. Πελοπίδας δὲ, καὶ φύσει θυμοειδέστερος ὢν, καὶ παροξυνόμενος ὑπὸ τῶν φίλων ἀμύνασθαι τοὺς ἐχθροὺς, ἐπελάβετο τοιαύτης αἰτίας. Μενεκλείδας ὁ ῥήτωρ ἦν μὲν εἷς τῶν μετὰ Πελοπίδου καὶ Μέλωνος εἰς τὴν Χάρωνος οἰκίαν συνελθόντων· ἐπεὶ δὲ τῶν ἴσων οὐκ ἠξιοῦτο παρὰ τοῖς Θηβαίοις, δεινότατος μὲν ὢν λέγειν, ἀκόλαστος δὲ καὶ κακοήθης τὸν τρόπον, ἐχρῆτο τῇ φύσει πρὸς τὸ συκοφαντεῖν καὶ διαβάλλειν τοὺς κρείττονας, οὐδὲ μετὰ δίκην ἐκείνην παυσάμενος. Ἐπαμινώνδαν μὲν οὖν ἐξέκρουσε τῆς βοιωταρχίας, καὶ κατεπολιτεύσατο πολὺν χρόνον· Πελοπίδαν δὲ πρὸς μὲν τὸν δῆμον οὐκ ἴσχυσε διαβαλεῖν, ἐπεχείρει δὲ συγκροῦσαι τῷ Χάρωνι· καὶ,

κοινήν τινα τοῦ φθόνου παραμυθίαν ἔχοντος, ἂν ὧν αὐτοὶ μὴ δύνωνται βελτίους φανῆναι, τούτους ἀμωσγέπως ἑτέρων ἀποδείξωσι κακίους, πολὺς ἦν πρὸς τὸν δῆμον αὔξων τὰ τοῦ Χάρωνος ἔργα, καὶ τὰς στρατηγίας τὰς ἐκεῖ συν καὶ τὰς νίκας ἐγκωμιάζων. Τῆς δὲ πρὸς Πλαταιὰς ἱππομαχίας, ἣν πρὸ τῶν Λευκτρικῶν ἐνίκησαν, ἡγουμένου Χάρωνος, ἐπεχείρησεν ἀνάθεμα τοιόνδε ποιῆται. Ἀνδροκύδης ὁ Κυζικηνὸς, ἐκλαβὼν παρὰ τῆς πόλεως πίνακα γράψαι μάχης ἑτέρας, ἐπετέλει τὸ ἔργον ἐν Θήβαις. Γενομένης δὲ τῆς ἀποστάσεως, καὶ τοῦ πολέμου συμπεσόντος, οὐ πολὺ τοῦ τέλος ἔχειν ἐλλείποντα τὸν πίνακα παρ' ἑαυτοῖς οἱ Θηβαῖοι κατέσχον. Τοῦτον οὖν ὁ Μενεκλείδας ἔπεισεν ἀναθέντας ἐπιγράψαι τοὔνομα τοῦ Χάρωνος, ὡς ἀμαυρώσων τὴν Πελοπίδου καὶ Ἐπαμινώνδου δόξαν. Ἦν δ' ἀβέλτερος ἡ φιλοτιμία, παρὰ τοσούτους καὶ τηλικούτους ἀγῶνας ἑνὸς ἔργου καὶ μιᾶς νίκης ἀγαπωμένης, ἐν ᾗ Περάνδαν τινὰ τῶν ἀσήμων Σπαρτιατῶν, καὶ τεσσαράκοντα μετ' αὐτοῦ πεσεῖν, ἄλλο δ' οὐδὲν μέγα πραχθῆναι λέγουσι. Τοῦτο τὸ ψήφισμα γράφεται Πελοπίδας παρανόμων, ἰσχυριζόμενος, ὅτι Θηβαίοις οὐ πάτριον ἦν ἰδίᾳ κατ' ἄνδρα τιμᾶν, ἀλλὰ τῇ πατρίδι κοινῶς τὸ τῆς νίκης ὄνομα σώζειν. Καὶ τὸν μὲν Χάρωνα παρὰ πᾶσαν τὴν δίκην ἐγκωμιάζων ἀφθόνως διετέλε-ε· τὸν δὲ Μενεκλείδαν βάσκανον καὶ πονηρὸν ἐξελέγχων, καὶ τοὺς Θηβαίους ἐρωτῶν, εἰ μηδὲν αὐτοῖς καλὸν πέπρακται. (Καὶ) ὁ Μενεκλείδας ζημιοῦται χρήμασιν, ἃ μὴ δυνάμενος ἐκτίσαι διὰ πλῆθος, ὕστερον ἐπεχείρησε κινῆσαι καὶ μεταστῆσαι τὴν πολιτείαν. Ταῦτα μὲν οὖν ἔχει τινὰ καὶ τοῦ βίου ἀποθεώρησιν.

Κς. Ἐπεὶ δ' Ἀλεξάνδρου, τοῦ Φερῶν τυράννου, πολεμοῦντος μὲν ἐκ προδήλου πολλοῖς Θεσσαλῶν, ἐπιβουλεύοντος δὲ πᾶσιν, ἐπρέσβευσαν εἰς Θήβας αἱ πόλεις στρατηγὸν αἰτούμεναι καὶ δύναμιν, ὁρῶν ὁ Πελοπίδας τὸν Ἐπαμινώνδαν τὰς ἐν Πελοποννήσῳ

σῳ πράξεις διοικοῦντα, αὐτὸς ἑαυτὸν ἐπέδωκε καὶ προσένειμε τοῖς Θετταλοῖς, μήτε τὴν ἰδίαν ἐπιστήμην καὶ δύναμιν ἀργοῦσαν περιορᾶν ὑπομένων, μήτε, ὅπου πάρεστιν Ἐπαμινώνδας, ἑτέρου δεῖσθαι στρατηγοῦ νομίζων. Ὡς οὖν ἐστράτευσεν ἐπὶ Θεσσαλίαν μετὰ δυνάμεως, τήν τε Λάρισσαν εὐθὺς παρέλαβε, καὶ τὸν Ἀλέξανδρον ἐλθόντα καὶ δεόμενον διαλλάττειν ἐπειρᾶτο, καὶ ποιεῖν ἐκ τυράννου πρᾶον ἄρχοντα τοῖς Θεσσαλοῖς καὶ νόμιμον. Ὡς δ' ἦν ἀνήκεστος καὶ θηριώδης, καὶ πολλὴ μὲν ὠμότης αὐτοῦ, πολλὴ δ' ἀσέλγεια καὶ πλεονεξία κατηγορεῖτο, τραχυνομένου τοῦ Πελοπίδου πρὸς αὐτὸν καὶ χαλεπαίνοντος ἀποδρὰς ᾤχετο μετὰ τῶν δορυφόρων. Ὁ δὲ Πελοπίδας ἄδειάν τε πολλὴν ἀπὸ τοῦ τυραννοῦντος Θεσσαλοῖς ἀπολιπὼν, καὶ πρὸς ἀλλήλους ὁμόνοιαν, αὐτὸς εἰς Μακεδονίαν ἀπῆρε, Πτολεμαίου μὲν Ἀλεξάνδρῳ τῷ βασιλεύοντι τῶν Μακεδόνων πολεμοῦντος, ἀμφοτέρων δὲ μεταπεμπομένων ἐκεῖνον, ὡς διαλλακτὴν καὶ δικαστὴν καὶ σύμμαχον καὶ βοηθὸν τοῦ δοκοῦντος ἀδικεῖσθαι γενησόμενον. Ἐλθὼν δὲ καὶ διαλύσας τὰς διαφορὰς, καὶ καταγαγὼν τοὺς φεύγοντας, ὅμηρον ἔλαβε τὸν ἀδελφὸν τοῦ βασιλέως, Φίλιππον, καὶ τριάκοντα παῖδας ἄλλους τῶν ἐπιφανεστάτων· καὶ κατέστησεν εἰς Θήβας, ἐπιδειξάμενος τοῖς Ἕλλησιν, ὡς πόρρω διήκει τὰ Θηβαίων πράγματα τῇ δόξῃ τῆς δυνάμεως, καὶ τῇ πίστει τῆς δικαιοσύνης. Οὗτος ἦν Φίλιππος ὁ τοῖς Ἕλλησιν ὕστερον πολεμήσας ὑπὲρ τῆς ἐλευθερίας· τότε δὲ παῖς ὢν ἐν Θήβαις παρὰ Παμμένει δίαιταν εἶχεν. Ἐκ δὲ τούτου καὶ ζηλωτὴς γεγονέναι ἔδοξεν Ἐπαμινώνδου, τὸ περὶ τοὺς πολέμους καὶ τὰς στρατηγίας δραστήριον ἴσως κατανοήσας, ὃ μικρὸν ἦν τῆς τοῦ ἀνδρὸς ἀρετῆς μόριον· ἐγκρατείας δὲ καὶ δικαιοσύνης καὶ μεγαλοψυχίας καὶ πραότητος, οἷς ἦν ἀληθῶς μέγας ἐκεῖνος, οὐδὲν οὔτε φύσει Φίλιππος, οὔτε μιμήσει μετέσχε.

ΚΖ. Μετὰ δὲ ταῦτα πάλιν τῶν Θετταλῶν αἰτιωμένων τὸν

Φεραῖον Ἀλέξανδρον, ὡς διαταράττοντα τὰς πόλεις, ἀπεστάλη μετ' Ἰσμηνίου πρεσβεύων ὁ Πελοπίδας· καὶ παρῆν οὔτ' οἴκοθεν ἄγων δύναμιν, οὔτε πόλεμον προσδοκήσας, αὐτοῖς δὲ τοῖς Θετταλοῖς χρῆσθαι πρὸς τὸ κατεπεῖγον τῶν πραγμάτων ἀναγκαζόμενος. Ἐν τούτῳ δὲ πάλιν τῶν κατὰ Μακεδονίαν ταραττομένων (ὁ γὰρ Πτολεμαῖος ἀνῃρήκει τὸν βασιλέα, καὶ τὴν ἀρχὴν κατέσχεν, οἱ δὲ φίλοι τοῦ τεθνηκότος ἐκάλουν τὸν Πελοπίδαν), βουλόμενος μὲν ἐπιφανῆναι τοῖς πράγμασιν, ἰδίους δὲ στρατιώτας οὐκ ἔχων, μισθοφόρους τινὰς αὐτόθεν προσλαβόμενος, μετὰ τούτων εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Πτολεμαῖον. Ὡς δ' ἐγγὺς ἀλλήλων ἐγένοντο, τοὺς μὲν μισθοφόρους Πτολεμαῖος χρήμασι διαφθείρας ἔπεισεν ὡς αὐτὸν μεταστῆναι· τοῦ δὲ Πελοπίδου τὴν δόξαν αὐτὴν καὶ τοὔνομα δεδοικώς, ἀπήντησεν ὡς κρείσσονι, καὶ δεξιωσάμενος καὶ δεηθείς, ὡμολόγησε τὴν μὲν ἀρχὴν τοῖς τοῦ τεθνηκότος ἀδελφοῖς διαφυλάξειν, Θηβαίοις δὲ τὸν αὐτὸν ἐχθρὸν ἔξειν καὶ φίλον· ὁμήρους δ' ἐπὶ τούτοις τὸν υἱὸν Φιλόξενον ἔδωκε, καὶ πεντήκοντα τῶν ἑταίρων. Τούτους μὲν οὖν ἀπέστειλεν εἰς Θήβας ὁ Πελοπίδας· αὐτὸς δὲ βαρέως φέρων τὴν τῶν μισθοφόρων προδοσίαν, καὶ πυνθανόμενος τὰ πλεῖστα τῶν χρημάτων αὐτοῖς, καὶ παῖδας καὶ γυναῖκας, ἀποκεῖσθαι περὶ Φάρσαλον, ὥστε, τούτων κρατήσας, ἱκανὴν δίκην, ἣν καθύβριστο, λήψεσθαι, συναγαγὼν τῶν Θεσσαλῶν τινὰς, ἦγεν εἰς Φάρσαλον. Ἀρτίως δ' αὐτοῦ παρεληλυθότος, Ἀλέξανδρος ὁ τύραννος ἐπεφαίνετο μετὰ τῆς δυνάμεως. Καὶ νομίσαντες οἱ περὶ τὸν Πελοπίδαν, ἀπολογησόμενον ἥκειν, ἐβάδιζον αὐτοὶ πρὸς αὐτὸν, ἐξώλη μὲν ὄντα καὶ μιαιφόνον εἰδότες, διὰ δὲ τὰς Θήβας καὶ τὸ περὶ αὐτοὺς ἀξίωμα καὶ δόξαν οὐδὲν ἂν παθεῖν προσδοκήσαντες. Ὁ δ', ὡς εἶδεν ἀνόπλους καὶ μόνους προσιόντας, ἐκείνους μὲν εὐθὺς συνέλαβε, τὴν δὲ Φάρσαλον κατέσχε. Φρίκην δὲ καὶ φόβον ἐνειργάσατο τοῖς ὑπηκόοις πᾶσιν, ὡς μετὰ τηλικαύτην ἀδικίαν καὶ τόλμαν,

ἀφειδήσων ἁπάντων, καὶ χρησόμενος οὕτω τοῖς παραπίπτουσιν ἀνθρώποις καὶ πράγμασιν, ὡς τότε γε κομιδῇ τὸν ἑαυτοῦ βίον ἀπεγνωκώς.

ΚΗ. Οἱ μὲν οὖν Θηβαῖοι ταῦτ' ἀκούσαντες, ἔφερόν τε βαρέως, καὶ στρατιὰν ἐξέπεμπον εὐθύς, δι' ὀργήν τινα πρὸς τὸν Ἐπαμινώνδαν, ἑτέρους ἀποδείξαντες ἄρχοντας. Τὸν δὲ Πελοπίδαν εἰς τὰς Φερὰς ἀπαγαγὼν ὁ τύραννος, τὸ μὲν πρῶτον εἴα τοὺς βουλομένους αὐτῷ διαλέγεσθαι, νομίζων ἐλεεινὸν γεγονέναι καὶ ταπεινὸν ὑπὸ τῆς συμφορᾶς. Ἐπεὶ δὲ τοὺς μὲν Φεραίους ὁ Πελοπίδας ὀδυρομένους παρεκάλει θαρρεῖν, ὡς νῦν μάλιστα δώσοντος τοῦ τυράννου δίκην, πρὸς δ' αὐτὸν ἐκεῖνον ἀποστείλας, ἔλεγεν, ὡς ἄτοπός ἐστι τοὺς μὲν ἀθλίους πολίτας καὶ μηδὲν ἀδικοῦντας ὁσημέραι σφάττων καὶ φονεύων, αὐτοῦ δὲ φειδόμενος, ὃν μάλιστα γινώσκει τιμωρησόμενον αὐτὸν, ἄνπερ διαφύγῃ· θαυμάστας τὸ φρόνημα καὶ τὴν ἄδειαν αὐτοῦ· Τί δὲ, φησὶ, σπεύδει Πελοπίδας ἀποθανεῖν; Κἀκεῖνος ἀκούσας· Ὅπως, εἶπε, σὺ τάχιον ἀπολῇ, μᾶλλον, ἢ νῦν, θεομισὴς γενόμενος. Ἐκ τούτου διεκώλυσεν ἐντυγχάνειν αὐτῷ τοὺς ἐκτός. Ἡ δὲ Θήβη, θυγάτηρ μὲν Ἰάσονος οὖσα, γυνὴ δ' Ἀλεξάνδρου, πυνθανομένη παρὰ τῶν φυλαττόντων Πελοπίδαν τὸ θαρραλέον αὐτοῦ καὶ γενναῖον, ἐπεθύμησεν ἰδεῖν τὸν ἄνδρα καὶ προσειπεῖν. Ὡς δ' ἦλθε πρὸς αὐτὸν, καὶ ἅτε δὴ γυνὴ, τὸ μὲν μέγεθος τοῦ ἤθους οὐκ εὐθὺς ἐν τοσαύτῃ συμφορᾷ κατεῖδε, κουρᾷ δὲ καὶ σολῇ καὶ διαίτῃ τεκμαιρομένη λυπρὰ καὶ μὴ πρέποντα τῇ δόξῃ πάσχειν αὐτὸν, ἀπεδάκρυσε. τὸ μὲν πρῶτον ἀγνοῶν ὁ Πελοπίδας, τίς εἴη γυναικῶν, ἐθαύμαζεν. Ὡς δ' ἔγνω, προσηγόρευσεν αὐτὴν πατρόθεν· ἦν γὰρ τῷ Ἰάσονι συνήθης καὶ φίλος. Εἰπούσης δὲ ἐκείνης· Ἐλεῶ σου τὴν γυναῖκα· Καὶ γὰρ ἐγώσε, εἶπεν, ὅτι ἄδετος οὖσα ὑπομένεις Ἀλέξανδρον. Οὕτος ἔθιγέ πως ὁ λόγος τῆς γυναικός· ἐβαρύνετο γὰρ τὴν ὠμότητα καὶ τὴν ὕβριν τοῦ τυράννου, μετὰ τῆς ἄλλης

ἀσελγείας καὶ τὸν νεώτατον αὐτῆς τῶν ἀδελφῶν παιδικὰ πεποιημένου. Διὸ καὶ συνεχῶς φοιτῶσα πρὸς τὸν Πελοπίδαν, καὶ παῤῥησιαζομένη περὶ ὧν ἔπασχεν, ὑπεπίμπλατο θυμοῦ καὶ φρονήματος καὶ δυσμενείας πρὸς τὸν Ἀλέξανδρον.

ΚΘ. Ἐπεὶ δ' οἱ στρατηγοὶ τῶν Θηβαίων εἰς τὴν Θετταλίαν ἐμβαλόντες ἔπραξαν οὐδὲν, ἀλλὰ δι' ἀπειρίαν, ἢ δυσχυίαν, αἰσχρῶς ἀνεχώρησαν, ἐκείνων μὲν ἕκαστον ἡ πόλις μυρίαις δραχμαῖς ἐζημίωσεν, Ἐπαμινώνδαν δὲ μετὰ δυνάμεως ἀπέστειλεν. Εὐθὺς οὖν κίνησίς τε μεγάλη Θετταλῶν ἦν, ἐπαιρομένων πρὸς τὴν δόξαν τοῦ στρατηγοῦ, καὶ τὰ πράγματα τοῦ τυράννου ῥοπῆς ἐδεῖτο μικρᾶς ἀπολωλέναι· τοσοῦτος ἐνεπεπτώκει φόβος τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις, τοσαύτη δὲ τοὺς ὑπηκόους ὁρμὴ πρὸς ἀπόστασιν εἶχε, καὶ χαρὰ τοῦ μέλλοντος, ὡς νῦν ἐποψομένους δίκην διδόντα τὸν τύραννον. Οὐ μὴν ἀλλ' Ἐπαμινώνδας τὴν αὐτοῦ δόξαν ἐν ὑστέρῳ τῆς Πελοπίδου σωτηρίας τιθέμενος, καὶ δεδοικὼς μὴ, τῶν πραγμάτων ταραχθέντων, ἀπογνοὺς ἑαυτὸν Ἀλέξανδρος, ὥσπερ θηρίον, τράπηται πρὸς ἐκεῖνον, ἐπῃωρεῖτο τῷ πολέμῳ, καὶ κύκλῳ περιιὼν, τῇ παρασκευῇ καὶ τῇ μελλήσει κατεσκεύαζε καὶ συνέσελλε τὸν τύραννον, ὡς μήτε ἀνεῖναι τὸ αὔθαδες αὐτοῦ καὶ θρασυνόμενον, μήτε τὸ πικρὸν καὶ θυμοειδὲς ἐξερεθίσαι· πυνθανόμενος τὴν ὠμότητα καὶ τὴν ὀλιγωρίαν τῶν καλῶν καὶ δικαίων, ὃς ζῶντας μὲν ἀνθρώπους κατώρυττεν, ἑτέροις δὲ δέρματα συῶν ἀγρίων καὶ ἄρκτων περιτιθεὶς, καὶ τοὺς θηρευτικοὺς ἐπάγων κύνας, διέσπα καὶ κατηκόντιζε, παιδιᾷ ταύτῃ χρώμενος· Μελιβοίᾳ δὲ καὶ Σκοτούσσῃ, πόλεσιν ἐνσπόνδοις καὶ φίλαις, ἐκκλησιαζούσαις περισχὼν ἅμα τοὺς δορυφόρους, ἠβηδὸν ἀπέσφαξε. Τὴν δὲ λόγχην, ἣ Πολύφρονα τὸν θεῖον ἀπέκτεινε, καθιερώσας καὶ καταστέψας, ἔθυεν ὥσπερ θεῷ, καὶ Τύχωνα προσηγόρευεν. Τραγῳδὸν δέ ποτε θεώμενος Εὐριπίδου Τρῳάδας ὑποκρινόμενον, ᾤχετο ἀπιὼν ἐκ τοῦ θεά-

τρου, καὶ πέμψας πρὸς αὐτὸν ἐκέλευε θαῤῥεῖν, καὶ μηδὲν ἀγωνίζεσθαι διὰ τοῦτο χεῖρον· οὐ γὰρ ἐκείνου καταφρονῶν ἀπελθεῖν, ἀλλ' αἰσχυνόμενος τοὺς πολίτας, εἰ μηδένα πώποτε τῶν ὑπ' αὐτοῦ φονευομένων ἠλεηκὼς, ἐπὶ τοῖς Ἑκάβης καὶ Ἀνδρομάχης κακοῖς ὀφθήσεται δακρύων. Οὗτος μέντοι τὴν δόξαν αὐτὴν καὶ τοὔνομα καὶ τὸ πρόσχημα τῆς Ἐπαμινώνδου στρατηγίας καταπλαγεὶς,

Ἔπτηξ' ἀλέκτωρ δοῦλον ὡς κλίνας πτερόν·

καὶ τοὺς ἀπολογησομένους ταχὺ πρὸς αὐτὸν ἔπεμπεν. Ὁ δὲ συνθέσθαι μὲν εἰρήνην καὶ φιλίαν πρὸς τοιοῦτον ἄνδρα Θηβαίοις οὐχ ὑπέμεινε· σπεισάμενος δὲ τριακονθημέρους ἀνοχὰς τοῦ πολέμου, καὶ λαβὼν τὸν Πελοπίδαν καὶ τὸν Ἰσμηνίαν, ἀνεχώρησεν.

Λ. Οἱ δὲ Θηβαῖοι, παρὰ τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων αἰσθόμενοι πρὸς τὸν μέγαν βασιλέα πρέσβεις ἀναβαίνοντας ὑπὲρ συμμαχίας, ἔπεμψαν καὶ αὐτοὶ Πελοπίδαν, ἄριστα βουλευσάμενοι πρὸς τὴν δόξαν αὐτοῦ. Πρῶτον μὲν γὰρ ἀνέβαινε διὰ τῶν βασιλέως ἐπαρχιῶν, ὀνομαστὸς ὢν καὶ περιβόητος. Οὐ γὰρ ἠρέμα διῆκτο τῆς Ἀσίας, οὐδ' ἐπὶ μικρὸν, ἡ δόξα τῶν πρὸς Λακεδαιμονίους ἀγώνων, ἀλλ', ὡς ὁ πρῶτος περὶ τῆς ἐν Λεύκτροις μάχης ἐξέδραμε λόγος, ἀεί τινος καινοῦ προστιθεμένου κατορθώματος, αὐξανομένη καὶ ἀναβαίνουσα ῥᾳδίστα κατέσχεν. Ἔπειτα τοῖς ἐπὶ θύραις σατράπαις καὶ στρατηγοῖς καὶ ἡγεμόσιν ὀφθεὶς, θαῦμα καὶ λόγον παρέσχεν, ὡς οὗτος ἀνήρ ἐστιν ὁ γῆς καὶ θαλάσσης ἐκβαλὼν Λακεδαιμονίους, καὶ συσείλας ὑπὸ τὸν Ταΰγετον καὶ τὸν Εὐρώταν τὴν Σπάρτην, τὴν ὀλίγον ἔμπροσθεν βασιλεῖ τῷ μεγάλῳ καὶ Πέρσαις δι' Ἀγησιλάου τὸν περὶ Σούσων καὶ Ἐκβατάνων ἐπαραμένην πόλεμον. Ταῦτά (τ')οὖν ὁ Ἀρταξέρξης ἔχαιρε· καὶ τὸν Πελοπίδαν ἔτι μᾶλλον ἐθαύμαζεν (ἐπὶ) τῇ δόξῃ, καὶ μέγαν ἐποίει ταῖς τιμαῖς, ὑπὸ τῶν μεγίστων εὐδαιμονίζεσθαι καὶ θεραπεύεσθαι βουλόμενος δοκεῖν. Ἐπεὶ δὲ καὶ τὴν ὄψιν αὐτοῦ εἶδε, καὶ τοὺς

λόγους

λόγους κατενόησε, τῶν μὲν Ἀττικῶν βεβαιοτέρους, τῶν δὲ Λακεδαιμονίων ἁπλουστέρους ὄντας, ἔτι μᾶλλον ἠγάπησε· καὶ πάθος βασιλικὸν παθὼν, οὐκ ἀπεκρύψατο τὴν πρὸς τὸν ἄνδρα τιμὴν, οὐδ' ἔλαθε τοὺς ἄλλους πρέσβεις πλεῖσον νέμων ἐκείνῳ. Καίτοι δοκεῖ μάλιστα τῶν Ἑλλήνων Ἀνταλκίδαν τιμῆσαι τὸν Λακεδαιμόνιον, ᾧ τὸν στέφανον, ὃν πίνων περιέκειτο, βάψας εἰς μύρον ἀπέστειλε. Πελοπίδᾳ δὲ οὕτω μὲν οὐκ ἐνετρύφησε, δῶρα δὲ λαμπρότατα καὶ μέγιστα τῶν νομιζομένων ἐξέπεμψε, καὶ τὰς ἀξιώσεις ἐπεκύρωσεν, αὐτονόμους μὲν εἶναι τοὺς Ἕλληνας, οἰκεῖσθαι δὲ Μεσσήνην, Θηβαίους δὲ πατρικοὺς φίλους νομίζεσθαι βασιλέως. Ταύτας ἔχων τὰς ἀποκρίσεις, τῶν δὲ δώρων οὐδὲν, ὅ τι μὴ χάριτος ἦν σύμβολον καὶ φιλοφροσύνης, δεξάμενος, ἀνέζευξεν· ὃ καὶ μάλιστα τοὺς ἄλλους πρέσβεις διέβαλε. Τιμαγόραν γοῦν Ἀθηναῖοι κρίναντες ἀπέκτειναν· εἰ μὲν ἐπὶ τῷ πλήθει τῶν δωρεῶν, ὀρθῶς καὶ δικαίως. Οὐ γὰρ μόνον χρυσίον, οὐδ' ἀργύριον ἔλαβεν, ἀλλὰ καὶ κλίνην πολυτελῆ, καὶ στρώτας θεράποντας, ὡς τῶν Ἑλλήνων οὐκ ἐπισταμένων· ἔτι δὲ βοῦς ὑγδοήκοντα καὶ βουκόλους, ὡς δὴ πρὸς ἀρρωσίαν τινὰ γάλακτος βοείου δεόμενος. Τέλος δὲ κατέβαινεν ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος, καὶ τέσσαρα τάλαντα τοῖς κομίζουσι μισθὸς ἐδόθη παρὰ βασιλέως. Ἀλλ' ἔοικεν οὐχ ἡ δωροδοκία μάλιστα παροξῦναι τοὺς Ἀθηναίους. Ἐπικράτους γοῦν ποτὲ τοῦ σακεσφόρου, μήτ' ἀρνουμένου δῶρα δέξασθαι παρὰ βασιλέως, ψήφισμάτε γράφειν φάσκοντος, ἀντὶ τῶν ἐννέα ἀρχόντων, χειροτονεῖσθαι κατ' ἐνιαυτὸν ἐννέα πρέσβεις πρὸς βασιλέα τῶν δημοτικῶν καὶ πενήτων, ὅπως λαμβάνοντες εὐπορῶσιν, ἐγέλασεν ὁ δῆμος. Ἀλλ', ὅτι Θηβαίοις ἐγεγόνει πάντα, χαλεπῶς ἔφερον, οὐ λογιζόμενοι τὴν Πελοπίδου δόξαν, ὅσων ἦν ῥητορειῶν καὶ λόγων κρειττων, παρ' ἀνθρώπῳ θεραπεύοντι τοὺς τῶν ὅπλων ἀεὶ κρατοῦντας.

ΑΑ. Ἡ μὲν οὖν πρεσβεία τῷ Πελοπίδᾳ προσέθηκεν οὐ μικρὰν

εὔνοιαν ἐπανελθόντι, διὰ τὸν Μεσσήνης συνοικισμὸν καὶ τὴν τῶν ἄλλων Ἑλλήνων αὐτονομίαν. Ἀλεξάνδρου δὲ τοῦ Φεραίου πάλιν εἰς τὴν αὐτοῦ φύσιν ἀναδραμόντος, καὶ Θεσσαλῶν μὲν οὐκ ὀλίγας περικόπτοντος πόλεις, Φθιώτας δὲ καὶ Ἀχαιοὺς ἅπαντας καὶ τὸ Μαγνήτων ἔθνος ἔμφρουρον πεποιημένου· πυνθανόμεναι Πολοπίδαν ἐπανήκειν αἱ πόλεις εὐθὺς ἐπρέσβευον εἰς Θήβας, αἰτούμεναι δύναμιν καὶ στρατηγὸν ἐκεῖνον. Ψηφισαμένων δὲ τῶν Θηβαίων προθύμως, καὶ ταχὺ πάντων ἑτοίμων γενομένων, καὶ τοῦ στρατηγοῦ περὶ ἔξοδον ὄντος, ὁ μὲν ἥλιος ἐξέλιπε, καὶ σκότος ἐν ἡμέρᾳ τὴν πόλιν ἔσχεν. Ὁ δὲ Πελοπίδας ὁρῶν πρὸς τὸ φάσμα συντεταραγμένους ἅπαντας, οὐκ ᾤετο δεῖν βιάζεσθαι καταφόβους καὶ δυσέλπιδας ὄντας, οὐδ' ἀποκινδυνεύειν (ἐν) ἑπτακισχιλίοις πολίταις· ἀλλ' ἑαυτὸν μόνον τοῖς Θεσσαλοῖς ἐπιδοὺς, καὶ τριακοσίους τῶν ἱππέων ἑθελοντὰς ἀναλαβὼν καὶ ξένους, ἐξώρμησεν, οὔτε τῶν μάντεων ἐώντων, οὔτε τῶν ἄλλων συμπροθυμουμένων πολιτῶν. Μέγα γὰρ ἐδόκει καὶ πρὸς ἄνδρα λαμπρὸν ἐξ οὐρανοῦ γεγονέναι σημεῖον. Ὁ δ' ἦν μὲν καὶ δι' ὀργήν, ὧν καθύβριστο, θερμότερος ἐπὶ τὸν Ἀλέξανδρον· ἤλπιζε δὲ καὶ τὴν οἰκίαν αὐτοῦ νοσοῦσαν ἤδη καὶ διεφθαρμένην εὑρήσειν, ἐξ ὧν διείλεκτο τῇ Θήβῃ. Μάλιστα δ' αὐτὸν *καὶ* παρεκάλει τὸ τῆς πράξεως κάλλος, ἐπιθυμοῦντα καὶ φιλοτιμούμενον, ἐν οἷς χρόνοις Λακεδαιμόνιοι Διονυσίῳ, τῷ Σικελίας τυράννῳ, στρατηγοὺς καὶ ἁρμοστὰς ἔπεμπον, Ἀθηναῖοι δὲ μισθοδότην Ἀλέξανδρον εἶχον, καὶ χαλκοῦν ἵσασαν ὡς εὐεργέτην, τότε τοῖς Ἕλλησιν ἐπιδεῖξαι Θηβαίους μόνους ὑπὲρ τῶν τυραννουμένων στρατευομένους, καὶ καταλύοντας ἐν τοῖς Ἕλλησι τὰς παρανόμους καὶ βιαίους δυναστείας.

ΛΒ. Ὡς οὖν εἰς Φάρσαλον ἐλθὼν ἤθροιζε τὴν δύναμιν, εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Ἀλέξανδρον. Ὁ δὲ Θηβαίους μὲν ὀλίγους περὶ τὸν Πελοπίδαν ὁρῶν, αὐτὸς δὲ πλείους ἔχων, ἢ διπλασίους

ὁπλίτας τῶν Θεσσαλῶν, ἀπήντα πρὸς τὸ Θετίδιον. Εἰπόντος δέ τινος τῷ Πελοπίδᾳ πολλοὺς ἔχοντα τὸν τύραννον ἐπέρχεσθαι· Βέλτιον, ἔφη, πλείονας γὰρ νικήσομεν. Ἀνατεινόντων δὲ πρὸς τὸ μέσον, κατὰ τὰς καλουμένας Κυνὸς κεφαλὰς, λόφων περικλινῶν καὶ ὑψηλῶν, ὥρμησαν ἀμφότεροι τούτους καταλαβεῖν τοῖς πεζοῖς. Τοὺς δ' ἱππεῖς ὁ Πελοπίδας, πολλοὺς καὶ ἀγαθοὺς ὄντας, ἐρῆκε τοῖς ἱππεῦσι τῶν πολεμίων. Ὡς δ' οὗτοι μὲν ἐκράτουν, καὶ συνεξέπεσον εἰς τὸ πεδίον τοῖς φεύγουσιν, ὁ δ' Ἀλέξανδρος ὤφθη τοὺς λόφους καταλαβών, τοῖς ὁπλίταις τῶν Θεσσαλῶν ὕστερον ἐπερχομένοις, καὶ πρὸς ἰσχυρὰ καὶ μετέωρα χωρία βιαζομένοις ἐμβαλών, ἔκτεινε τοὺς πρώτους, οἱ δ' ἄλλοι πληγὰς λαβόντες οὐδὲν ἔπρασσον· κατιδὼν οὖν ὁ Πελοπίδας, τοὺς μὲν ἱππεῖς ἀνεκαλεῖτο, καὶ πρὸς τὸ συνεχὲς τῶν πολεμίων ἐλαύνειν ἐκέλευεν· αὐτὸς δὲ συνέμιξε δρόμῳ τοῖς περὶ τοὺς λόφους μαχομένοις, εὐθὺς τὴν ἀσπίδα λαβών· καὶ διὰ τῶν ὄπισθεν ὠσάμενος εἰς τοὺς πρώτους, τοσαύτην ἐνεποίησε ῥώμην καὶ προθυμίαν ἅπασιν, ὥςε καὶ τοῖς πολεμίοις ἑτέρους δοκεῖν γεγονότας καὶ σώμασι καὶ ψυχαῖς ἐπέρχεσθαι. Καὶ δύο μὲν ἢ τρεῖς ἀπεκρούσαντο προσβολάς· ὁρῶντες δὲ καὶ τούτους ἐπιβαίνοντας εὐρώστως, καὶ τὴν ἵππον ἀπὸ τῆς διώξεως ἀναστρέφουσαν, εἶξαν, ἐπὶ σκέλος ποιούμενοι τὴν ἀναχώρησιν. Ὁ δὲ Πελοπίδας, ἀπὸ τῶν ἄκρων κατιδὼν ἅπαν τὸ στρατόπεδον τῶν πολεμίων, οὔπω μὲν εἰς φυγὴν τετραμμένον, ἤδη δὲ θορύβου καὶ ταραχῆς ἀναπιμπλάμενον, ἔστη, καὶ περιεσκόπησεν, αὐτὸν ζητῶν τὸν Ἀλέξανδρον. Ὡς δ' εἶδεν ἐπὶ τοῦ δεξιοῦ παραθαῤῥύνοντα καὶ συντάττοντα τοὺς μισθοφόρους, οὐ κατέσχε τῷ λογισμῷ τὴν ὀργὴν, ἀλλὰ πρὸς τὴν βλέψιν ἀναφλεχθεὶς, καὶ τῷ θυμῷ παραδοὺς τὸ σῶμα καὶ τὴν ἡγεμονίαν τῆς πράξεως, πολὺ πρὸ τῶν ἄλλων ἐξαλόμενος ἐφέρετο, βοῶν καὶ προκαλούμενος τὸν τύραννον. Ἐκεῖνος μὲν οὖν οὐκ ἐδέξατο τὴν ὁρμὴν, οὐδ' ὑπέμεινεν, ἀλλ' ἀναφυγὼν

πρὸς τοὺς δορυφόρους, ἐνέκρυψεν ἑαυτόν. Τῶν δὲ μισθοφόρων οἱ μὲν πρῶτοι συμβαλόντες εἰς χεῖρας, ἀνεκόπησαν ὑπὸ τοῦ Πελοπίδου, τινὲς δὲ καὶ πληγέντες ἐτελεύτησαν. Οἱ δὲ πολλοὶ τοῖς δόρασι πόρρωθεν διὰ τῶν ὅπλων τύπτοντες αὐτὸν κατετραυμάτιζον· ἕως οἱ Θεσσαλοὶ περιπαθήσαντες ἀπὸ τῶν λόφων δρόμῳ προσεβοήθησαν. Ἤδη δὲ πεπτωκότος, οἵ τε ἱππεῖς προσελάσαντες, ὅλην ἐτρέψαντο τὴν φάλαγγα, καὶ διώξαντες ἐπὶ πλεῖστον, ἐνέπλησαν νεκρῶν τὴν χώραν, πλέον, ἢ τρισχιλίους, καταβαλόντες.

ΛΓ. Τὸ μὲν οὖν Θηβαίων τοὺς παρόντας ἐπὶ τῇ τοῦ Πελοπίδου τελευτῇ βαρέως φέρειν, πατέρα καὶ σωτῆρα καὶ διδάσκαλον τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν ἀποκαλοῦντας ἐκεῖνον, οὐ πάνυ θαυμαστὸν ἦν. Οἱ δὲ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι, πᾶσαν ἀνθρωπίνῃ πρέπουσαν ἀρετῇ τιμὴν τοῖς ψηφίσμασιν ὑπερβαλόντες, ἔτι μᾶλλον ἐπεδείξαντο τοῖς πάθεσι τὴν πρὸς τὸν ἄνδρα χάριν. Τοὺς μὲν γὰρ παραγεγονότας τῷ ἔργῳ λέγουσι μήτε θώρακα θέσθαι, μήτε ἵππον ἐκχαλινῶσαι, μήτε τραῦμα δήσασθαι πρότερον, ὡς ἐπύθοντο τὴν ἐκείνου τελευτήν, ἀλλὰ μετὰ τῶν ὅπλων θερμοὺς ἰόντας ἐπὶ τὸν νεκρὸν, ὥσπερ αἰσθανόμενον, τὰ τῶν πολεμίων κύκλῳ περὶ τὸ σῶμα σωρεύειν λάφυρα, κεῖραι δὲ ἵππους, κείρασθαι δὲ καὶ αὐτούς· ἀπιόντας δὲ πολλοὺς ἐπὶ σκηνὰς, μήτε πῦρ ἀνάψαι, μήτε δεῖπνον ἑλέσθαι, σιγὴν δὲ καὶ κατήφειαν εἶναι τοῦ στρατοπέδου παντὸς, ὥσπερ οὐ νενικηκότων ἐπιφανεστάτην νίκην καὶ μεγίστην, ἀλλ' ἡττημένων ὑπὸ τοῦ τυράννου καὶ καταδεδουλωμένων. Ἐκ δὲ τῶν πόλεων, ὡς ἀπηγγέλθη ταῦτα, παρῆσαν αἵ τ' ἀρχαὶ, καὶ μετ' αὐτῶν ἔφηβοι καὶ παῖδες καὶ ἱερεῖς, πρὸς τὴν ὑποδοχὴν τοῦ σώματος, τρόπαια καὶ στεφάνους καὶ πανοπλίας χρυσᾶς ἐπιφέροντες. Ὡς δ' ἔμελλεν ἐκκομίζεσθαι τὸ σῶμα, προσελθόντες οἱ πρεσβύτατοι τῶν Θεσσαλῶν ἠτοῦντο τοὺς Θηβαίους δι' αὐτῶν θάψαι τὸν νεκρόν. Εἷς δ' αὐτῶν ἔλεγεν·

« Ἄνδρες σύμμαχοι, χάριν αἰτοῦμεν παρ' ὑμῶν, κόσμον ἡμῖν ἐπ' ἀτυχίᾳ τοσαύτῃ καὶ παραμυθίαν φέρουσαν. Οὐ γὰρ ζῶντα Θεσσαλοὶ Πελοπίδαν προπέμψουσιν, οὐδ' αἰσθανομένῳ τὰς ἀξίας τιμὰς ἀποδώσουσιν, ἀλλ' ἐὰν ψαῦσαί γε τοῦ νεκροῦ τύχωμεν, καὶ δι' αὐτῶν κοσμῆσαι, καὶ θάψαι τὸ σῶμα, δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν, ὅτι μείζων ἡ συμφορὰ γέγονε Θετταλοῖς, ἢ Θηβαίοις· ὑμῖν μὲν γὰρ ἡγεμόνος ἀγαθοῦ μόνον, ἡμῖν δὲ καὶ τούτου καὶ τῆς ἐλευθερίας στέρεσθαι συμβέβηκε. Πῶς γὰρ ἔτι τολμήσομεν αἰτῆσαι στρατηγὸν ἄλλον παρ' ὑμῶν, οὐκ ἀποδόντες Πελοπίδαν; » Ταῦτα μὲν οἱ Θηβαῖοι συνεχώρησαν.

ΛΔ. Ἐκείνων δὲ τῶν ταφῶν οὐ δοκοῦσιν ἕτεραι λαμπρότεραι γενέσθαι, τοῖς τὸ λαμπρὸν οὐκ ἐν ἐλέφαντι καὶ χρυσῷ καὶ πορφύραις εἶναι νομίζουσιν, ὥσπερ Φίλιστος ὑμνῶν καὶ θαυμάζων τὴν Διονυσίου ταφήν, οἷον τραγῳδίας μεγάλης, τῆς τυραννίδος ἐξόδιον θεατρικὸν γενομένην. Ἀλέξανδρος δ' ὁ μέγας, Ἡφαιστίωνος ἀποθανόντος, οὐ μόνον ἵππους ἔκειρε καὶ ἡμιόνους, ἀλλὰ καὶ τὰς ἐπάλξεις ἀφεῖλε τῶν τειχῶν· ὡς ἂν δοκοῖεν αἱ πόλεις πενθεῖν, ἀντὶ τῆς πρόσθεν μορφῆς κούριμον σχῆμα καὶ ἄτιμον ἀναλαμβάνουσαι. Ταῦτα μὲν οὖν, προστάγματα δεσποτῶν ὄντα, καὶ μετὰ πολλῆς ἀνάγκης περαινόμενα, καὶ μετὰ φθόνου τῶν τυχόντων, καὶ μίσους τῶν βιαζομένων, οὐδεμιᾶς χάριτος ἦν, οὐδὲ τιμῆς, ὄγκου δὲ βαρβαρικοῦ, καὶ τρυφῆς καὶ ἀλαζονείας ἐπίδειξις, εἰς κενὰ καὶ ἄζηλα τὴν περιουσίαν διατιθεμένων. Ἀνὴρ δὲ δημοτικὸς ἐπὶ ξένης τεθνηκώς, οὐ γυναικὸς, οὐ παίδων, οὐ συγγενῶν παρόντων, οὐ δεομένου τινὸς, οὐκ ἀναγκάζοντος, ὑπὸ δήμων τοσούτων καὶ πόλεων ἁμιλλωμένων προπεμπόμενος καὶ συνεκκομιζόμενος καὶ στεφανούμενος, εἰκότως ἐδόκει τὸν τελειότατον ἀπέχειν εὐδαιμονισμόν. Οὐ γὰρ, ὡς Αἴσωπος ἔφασκε, χαλεπώτατός ἐστιν ὁ τῶν εὐτυχούντων θάνατος, ἀλλὰ μακαριώτατος, εἰς ἀσφαλῆ χώραν τὰς εὐπραξίας κατατιθέμενος τῶν

ἀγαθῶν, καὶ τύχῃ μεταβάλλεσθαι οὐκ ἀπολείπων. Διὸ βέλτιονὁ Λάκων τὸν Ὀλυμπιονίκην Διαγόραν, ἐπιδόντα μὲν υἱοὺς στεφανουμένους Ὀλυμπιάσιν, ἐπιδόντα δ' υἱωνοὺς καὶ θυγατριδοῦς, ἀσπασάμενος· Κάτθανε, εἶπε, Διαγόρα· Οὐκ εἰς τὸν Ὄλυμπον ἀναβήσῃ. Τὰς δὲ Ὀλυμπικὰς καὶ Πυθικὰς νίκας οὐκ ἂν, οἶμαι, τις εἰς τὸ αὐτὸ συνθεὶς ἁπάσας, ἑνὶ τῶν Πελοπίδου παραβαλεῖν ἀγώνων ἀξιώσειεν, οὓς πολλοὺς ἀγωνισάμενος καὶ κατορθώσας, καὶ τοῦ βίου τὸ πλεῖστον ἐν δόξῃ καὶ τιμῇ βιώσας, τέλος ἐν τῇ τρισκαιδεκάτῃ Βοιωταρχίᾳ, τυραννοκτονίᾳ μεμιγμένην ἀριστείαν ἀρισεύων, ὑπὲρ τῆς τῶν Θεσσαλῶν ἐλευθερίας ἀπέθανεν.

ΛΕ. Ὁ δὲ θάνατος αὐτοῦ μεγάλα μὲν ἐλύπησε τοὺς συμμάχους, μείζονα δ' ὠφέλησε. Θηβαῖοι γάρ, ὡς ἐπύθοντο τὴν τοῦ Πελοπίδου τελευτήν, οὐδεμίαν ἀναβολὴν ποιησάμενοι τῆς τιμωρίας, κατὰ τάχος ἐστράτευσαν ὁπλίταις ἑπτακισχιλίοις, ἱππεῦσι δ' ἑπτακοσίοις, ἡγουμένου Μαλκίτου καὶ Διογείτονος. Καταλαβόντες δὲ συνεσταλμένον καὶ περικεκομμένον τῆς δυνάμεως Ἀλέξανδρον, ἠνάγκασαν Θεσσαλοῖς μὲν ἀποδοῦναι τὰς πόλεις, ἃς εἶχεν αὐτῶν, Μάγνητας δὲ καὶ Φθιώτας καὶ Ἀχαιοὺς ἀφεῖναι, καὶ τὰς φρουρὰς ἐξαγαγεῖν· ὀμόσαι δ' αὐτὸν, ἐφ' οὓς ἂν ἡγῶνται Θηβαῖοι καὶ κελεύσωσιν, ἀκολουθήσειν. Θηβαῖοι μὲν οὖν τούτοις ἠρκέσθησαν. Ἦν δ' ὀλίγον ὕστερον τοῖς θεοῖς ὑπὲρ Πελοπίδου δίκην ἐδωκε, διηγήσομαι. Θήβην, τὴν συνοικοῦσαν αὐτῷ, πρῶτον μὲν, ὡς εἴρηται, Πελοπίδας ἐδίδαξε μὴ φοβεῖσθαι τὴν ἔξω λαμπρότητα καὶ παρασκευὴν τῆς τυραννίδος, ἐντὸς τῶν ὅπλων καὶ τῶν φυλάκων οὖσαν. Ἔπειτα δὲ, φοβουμένη τὴν ἀπιστίαν αὐτοῦ, καὶ μισοῦσα τὴν ὠμότητα, συνθεμένη μετὰ τῶν ἀδελφῶν, τριῶν ὄντων, Τισιφόνου, Πυθολάου, Λυκόφρονος, ἐπεχείρει τόνδε τὸν τρόπον. Τὴν μὲν ἄλλην οἰκίαν τοῦ τυράννου κατεῖχον αἱ φυλακαὶ τῶν παρανυκτερευόντων, ὁ δὲ θάλαμος, ἐν ᾧ καθεύδειν εἰώθεσαν, ὑπερῷος ἦν, καὶ πρὸ αὐτοῦ φυλακὴν εἶχε κύων δεδεμένος, πᾶσι

φοβερὸς, πλὴν αὐτοῖς ἐκείνοις καὶ ἑνὶ τῶν οἰκετῶν τῷ τρέφοντι. Καθ' ὃν οὖν ἔμελλε καιρὸν ἐπιχειρεῖν ἡ Θήβη, τοὺς μὲν ἀδελφοὺς ἀφ' ἡμέρας εἶχε πλησίον ἐν οἴκῳ τινὶ κεκρυμμένους· εἰσελθοῦσα δὲ, ὥσπερ εἰώθει, μόνη πρὸς τὸν Ἀλέξανδρον ἤδη καθεύδοντα, καὶ μετὰ μικρὸν πάλιν προελθοῦσα, τῷ μὲν οἰκέτῃ προσέταξεν ἀπάγειν ἔξω τὸν κύνα· βούλεσθαι γὰρ ἀναπαύεσθαι μεθ' ἡσυχίας ἐκεῖνον. Αὐτὴ δὲ τὴν κλίμακα, φοβουμένη, μὴ κτύπον παράσχῃ, τῶν νεανίσκων ἀναβαινόντων, ἐρίοις κατεσύρεσεν· εἶτα οὕτως ἀναγαγοῦσα τοὺς ἀδελφοὺς ξιφήρεις, καὶ στήσασα πρὸ τῶν θυρῶν, εἰσῆλθεν αὐτὴ, καὶ καθελοῦσα τὸ ξίφος ὑπὲρ τῆς κεφαλῆς κρεμάμενον, σημεῖον εἶναι τοῦ κατέχεσθαι τὸν ἄνδρα καὶ καθεύδειν ἔδειξεν. Ἐκπεπληγμένων δὲ τῶν νεανίσκων, καὶ κατοκνούντων, κακίζουσα, καὶ διρμυμένη μετ' ὀργῆς αὐτὴ τὸν Ἀλέξανδρον ἐξεγείρασα μηνύσειν τὴν πρᾶξιν, αἰσχυνθέντας αὐτοὺς ἅμα καὶ φοβηθέντας εἰσήγαγε καὶ περιέστησε τῇ κλίνῃ, προσφέρουσα τὸν λύχνον. Τῶν δὲ ὁ μὲν τοὺς πόδας κατεῖχε πιέσας, ὁ δὲ τὴν κεφαλὴν λαβόμενος τῶν τριχῶν ἀνέκλασεν, ὁ δὲ τρίτος τῷ ξίφει τύπτων αὐτὸν διεχρήσατο· τῷ μὲν τάχει τῆς τελευτῆς, πρότερον ἴσως, ἢ προσῆκον ἦν, ἀποθανόντα· τῷ δὲ μόνον, ἢ πρῶτον τυράννων ὑπὸ γυναικὸς ἰδίας ἀπολέσθαι, καὶ τῇ μετὰ θάνατον αἰκίᾳ τοῦ σώματος ῥιφέντος καὶ πατηθέντος ὑπὸ τῶν Φεραίων, ἄξια πεπονθέναι δόξαντα τῶν παρανομημάτων.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
• ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΜΑΡΚΕΛΛΟΣ.

ΠΛΟΥΤΑΡΧΟΥ ΜΑΡΚΕΛΛΟΣ.

Μάρκον δὲ Κλαύδιον, τὸν πεντάκις ὑπατεύσαντα Ῥωμαίων, Μάρκου μὲν υἱὸν γενέσθαι λέγουσι, κληθῆναι δὲ τῶν ἀπὸ τῆς οἰκίας πρῶτον Μάρκελλον, ὅπερ ἐστὶν Ἀρήϊον, ὡς φησι Ποσειδώνιος. Ἦν γὰρ τῇ μὲν ἐμπειρίᾳ πολεμικὸς, τῷ δὲ σώματι ῥωμαλέος, τῇ δὲ χειρὶ πλήκτης, τῇ δὲ φύσει φιλοπόλεμος, κἀν τούτῳ δὴ πολὺ τὸ γαῦρον καὶ ἀγέρωχον ἐπιφαίνων ἐν τοῖς ἀγῶσι· τῷ δ' ἄλλῳ τρόπῳ σώφρων, φιλάνθρωπος, Ἑλληνικῆς παιδείας καὶ λόγων, ἄχρι τοῦ τιμᾶν καὶ θαυμάζειν τοὺς κατορθοῦντας, ἐραστὴς, αὐτὸς δ' ὑπ' ἀσχολιῶν ἐφ' ὅσον ἦν πρόθυμος ἀσκῆσαι καὶ μαθεῖν οὐκ ἐξικόμενος. Εἰ γὰρ ἄλλοις τισὶν ἀνθρώποις ὁ θεὸς, ὥσπερ Ὅμηρος εἴρηκεν,

Ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
Ἀργαλέους πολέμους,

καὶ τοῖς τότε πρωτεύουσι Ῥωμαίων· οἱ νέοι μὲν ὄντες, περὶ Σικελίαν Καρχηδονίοις, ἀκμάζοντες δὲ, Γαλάταις ὑπὲρ αὐτῆς Ἰταλίας ἐπολέμουν, ἤδη δὲ γηρῶντες, Ἀννίβᾳ πάλιν συνείχοντο καὶ Καρχηδονίοις, οὐκ ἔχοντες, ὥσπερ οἱ πολλοὶ, διὰ γῆρας ἀνάπαυσιν στρατειῶν, ἀλλ' ἐπὶ στρατηγίας πολέμων καὶ ἡγεμονίας κατ' εὐγένειαν καὶ ἀρετὴν ἀγόμενοι.

Β. Μάρκελλος δὲ πρὸς οὐδὲν μὲν ἦν μάχης εἶδος ἀργὸς, οὐδ' ἀνάσκητος, αὐτὸς δ' αὐτοῦ κράτιστος ἐν τῷ μονομαχεῖν γενόμενος, οὐδεμίαν πρόκλησιν ἔφυγε, πάντας δὲ τοὺς προκαλεσαμένους ἀπέκτεινεν. Ἐν δὲ Σικελίᾳ τὸν ἀδελφὸν Ὁτακίλιον κινδυνεύοντα διέσωσεν, ὑπερασπίσας, καὶ ἀποκτείνας τοὺς ἐπιφερομένους. Ἀνθ' ὧν ὄντι μὲν ἔτι νέῳ στέφανοι καὶ γέρα παρὰ τῶν στρατηγῶν ἦσαν· εὐδοκιμοῦντα δὲ μᾶλλον, ἀγορανόμον μὲν ἀπέδειξε τῆς ἐπιφα-

νεχέρας τάξεως ὁ δῆμος, οἱ δ' ἱερεῖς Αὔγουρα. Τοῦτο δ' ἐστὶν ἱερωσύνης εἶδος, ᾧ μάλιστα τὴν ἀπ' οἰωνῶν μαντικὴν ἐπιβλέπειν, καὶ παραφυλάττειν νόμος δέδωκεν. Ἠναγκάσθη δ' ἀγορανομῶν, δίκην ἀβούλητον εἰσενεγκεῖν. Ἦν γὰρ αὐτῷ παῖς ὁμώνυμος, ἐν ὥρᾳ τὴν ὄψιν ἐκπρεπής, οὐχ ἧττον δὲ τῷ σωφρονεῖν καὶ πεπαιδεῦσθαι περίβλεπτος ὑπὸ τῶν πολιτῶν· τούτῳ Καπετωλῖνος, ὁ τοῦ Μαρκέλλου συνάρχων, ἀσελγὴς ἀνὴρ καὶ θρασύς, ἐρῶν λόγους προσήνεγκε. Τοῦ δὲ παιδὸς τὸ μὲν πρῶτον αὐτοῦ καθ' ἑαυτὸν ἀποτριψαμένου τὴν πεῖραν, ὡς δ' αὖθις ἐπεχείρησε, κατειπόντος πρὸς τὸν πατέρα, βαρέως ἐνεγκὼν ὁ Μάρκελλος, προσήγγειλε τῇ βουλῇ τὸν ἄνθρωπον. Ὁ δὲ πολλὰς μὲν ἀποδράσεις καὶ παραγραφὰς ἐμηχανᾶτο, τοὺς δημάρχους ἐπικαλούμενος· ἐκείνων δὲ μὴ προσδεχομένων τὴν ἐπίκλησιν, ἀρνήσει τὴν αἰτίαν ἔφυγε. Καὶ μάρτυρος οὐδενὸς τῶν λόγων γεγονότος, ἔδοξε μεταπέμπεσθαι τὸν παῖδα τῇ βουλῇ. Παραγενομένου δ' ἰδόντες ἐρύθημα, καὶ δάκρυον, καὶ μεμιγμένον ἀπαύστῳ θυμουμένῳ τὸ αἰδούμενον, οὐδενὸς ἄλλου δεηθέντες τεκμηρίου κατεψηφίσαντο, καὶ χρήμασιν ἐζημίωσαν Καπετωλῖνον· ἐξ ὧν ὁ Μάρκελλος ἀργυρᾶ λοιβεῖα ποιησάμενος, τοῖς θεοῖς καθιέρωσεν.

Γ. Ἐπεὶ δὲ, τοῦ πρώτου τῶν Καρχηδονίων πολέμου ἔτει δευτέρῳ καὶ εἰκοστῷ συναιρεθέντος, ἀρχαὶ πάλιν Γαλατικῶν ἀγώνων διεδέχοντο τὴν Ῥώμην· οἱ δὲ τὴν ὑπαλπείαν νεμόμενοι τῆς Ἰταλίας Ἴνσομβρες, Κελτικὸν ἔθνος, μεγάλοι καὶ καθ' ἑαυτοὺς ὄντες, δυνάμεις ἐκάλουν, καὶ μετεπέμποντο Γαλατῶν τοὺς μισθοῦ στρατευομένους, οἳ Γεσσάται καλοῦνται. Καὶ θαυμαστὸν μὲν ἐδόκει, καὶ τύχης ἀγαθῆς γενέσθαι, τὸ μὴ συῤῥαγῆναι τὸν Κελτικὸν εἰς τὸ αὐτὸ τῷ Λιβυκῷ πόλεμον· ἀλλ' ὥσπερ ἐφεδρείαν εἰληφότας τοὺς Γαλάτας, ὀρθῶς καὶ δικαίως ἀτρεμήσαντας μαχομένων ἐκείνων, οὕτω τότε δὴ τοῖς νενικηκόσιν ἐπαποδύεσθαι, καὶ προκαλεῖσθαι σχολὴν ἄγοντας. Οὐ μὴν ἀλλὰ μέγαν ἡ τε χώρα

παρεῖχε φόβον, διὰ τὴν γειτνίασιν ὁμόρῳ καὶ προσοίκῳ πολέμῳ συνοιτομένοις, καὶ τὸ παλαιὸν ἀξίωμα τῶν Γαλατῶν, οὓς μάλιστα Ῥωμαῖοι δεῖσαι δοκοῦσιν, ἅτε δὴ καὶ τὴν πόλιν ὑπ' αὐτῶν ἀποβαλόντες, ἐξ ἐκείνου δὲ καὶ θέμενοι νόμον, ἀτελεῖς εἶναι στρατείας τοὺς ἱερέας, πλὴν εἰ μὴ Γαλατικὸς πάλιν ἐπέλθοι πόλεμος. Ἐδήλου δὲ καὶ τὸν φόβον αὐτῶν ἥ τε παρασκευὴ (μυριάδες γὰρ ἐν ὅπλοις ἅμα τοσαῦται Ῥωμαίων, οὔτε πρότερον, οὔτε ὕστερον, γενέσθαι λέγονται), καὶ τὰ περὶ τὰς θυσίας καινοτομούμενα· βαρβαρικὸν μὲν γὰρ οὐδέν, οὐδ' ἔκφυλον ἐπιτηδεύοντες, ἀλλ' ὡς ἔνι μάλιστα ταῖς δόξαις Ἑλληνικῶς διακείμενοι καὶ πρᾴως πρὸς τὰ θεῖα, τότε τοῦ πολέμου συμπεσόντος, ἠναγκάσθησαν εἴξαι λογίοις τισὶν ἐκ τῶν Σιβυλλείων· καὶ δύο μὲν Ἕλληνας, ἄνδρα καὶ γυναῖκα, δύο δὲ Γαλάτας ὁμοίως, ἐν τῇ καλουμένῃ βοῶν ἀγορᾷ κατορύξαι ζῶντας, οἷς ἔτι καὶ νῦν ἐν τῷ Νοεμβρίῳ μηνὶ δρῶσιν Ἕλλησι καὶ Γαλάταις ἀπορρήτους καὶ ἀθεάτους ἱερουργίας.

Δ. Οἱ μὲν οὖν πρῶτοι τῶν ἀγώνων, νίκας τε μεγάλας καὶ σφάλματα τοῖς Ῥωμαίοις ἐνέγκαντες, εἰς οὐδὲν ἐτελεύτησαν πέρας βέβαιον. Φλαμινίου δὲ καὶ Φουρίου τῶν ὑπάτων, μεγάλαις ἐκστρατευσάντων δυνάμεσιν, ἐπὶ τοὺς Ἰνσόμβρας, ὤφθη μὲν αἵματι ῥέων ὁ διὰ τῆς Ἰκαρνίδος χώρας ποταμός, ἐλέχθη δὲ τρεῖς σελήνας φανῆναι περὶ πόλιν Ἀρίμινον. Οἱ δὲ ἐπὶ ταῖς ὑπατικαῖς ψηφοφορίαις παραφυλάττοντες (τοὺς) οἰωνοὺς ἱερεῖς, διεβεβαιοῦντο μοχθηρὰς καὶ δυσόρνιθας αὐτοῖς γεγονέναι τὰς τῶν ὑπάτων ἀναγορεύσεις. Εὐθὺς οὖν ἔπεμψεν ἡ σύγκλητος ἐπὶ τὸ στρατόπεδον γράμματα, καλοῦσα καὶ μεταπεμπομένη τοὺς ὑπάτους, ὅπως ἐπανελθόντες ἧ τάχιστα τὴν ἀρχὴν ἀπείπωνται, καὶ μηδὲν ὡς ὕπατοι φθάσωσι πρᾶξαι πρὸς τοὺς πολεμίους. Ταῦτα δεξάμενος τὰ γράμματα Φλαμίνιος, οὐ πρότερον ἔλυσεν, ἢ μάχῃ συνάψας τρέψασθαι τοὺς βαρβάρους καὶ τὴν χώραν αὐτῶν ἐπιδραμεῖν. Ὡς οὖν ἐπανῆλθε μετὰ πολλῶν λαφύρων, οὐκ ἀπήν-

τησεν ὁ δῆμος, ἀλλ', ὅτι καλούμενος οὐκ εὐθὺς ὑπήκουσεν, οὐδ' ἐπείσθη τοῖς γράμμασιν, ἀλλ' ἐνύβρισε καὶ κατεφρόνησε, μικροῦ μὲν ἐδέησεν ἀποψηφίσασθαι τὸν θρίαμβον αὐτῷ· θριαμβεύσαντα δὲ ἰδιώτην ἐποίησεν, ἀναγκάσας ἐξομόσασθαι τὴν ὑπατείαν μετὰ τοῦ συνάρχοντος. Οὕτω πάντα τὰ πράγματα Ῥωμαίοις εἰς τὸν θεὸν ἀνήγετο· μαντειῶν δὲ καὶ πατρίων ὑποροψίαν οὐδ' ἐπὶ ταῖς μεγίσαις εὐπραξίαις ἀπεδέχοντο, μεῖζον ἡγούμενοι πρὸς σωτηρίαν πόλεως, τὸ θαυμάζειν τὰ θεῖα τοὺς ἄρχοντας, ἢ τὸ κρατεῖν τῶν πολεμίων.

Ε. Τιβέριος οὖν Σεμπρώνιος, ἀνὴρ δὶ ἀνδρείαν καὶ καλοκαγαθίαν οὐδενὸς ἧττον ἀγαπηθεὶς ὑπὸ Ῥωμαίων, ἀπέδειξε μὲν ὑπατεύων διαδόχους, Σκιπίωνα Νασικᾶν καὶ Γάϊον Μάρκιον· ἤδη δ' ἐχόντων αὐτῶν ἐπαρχίας καὶ στρατεύματα, ἱερατικοῖς ὑπομνήμασιν ἐντυχὼν, εὗρεν ἠγνοημένον ὑφ' αὐτοῦ τι τῶν πατρίων. Ἦν δὲ τοιοῦτον· ὅταν ἄρχων ἐπ' ὄρνισι καθεζόμενος ἔξω πόλεως ἔχων οἶκον, ἢ σκηνὴν μεμισθωμένην, ὑπ' αἰτίας τινὸς ἀναγκασθῇ, μήπω γεγονότων σημείων βεβαίων, ἐπανελθεῖν εἰς (τὴν) πόλιν, ἀφεῖναι ἐχρῆν τὸ προμεμισθωμένον οἴκημα, καὶ λαβεῖν ἕτερον, ἐξ οὗ ποιήσεται τὴν θέαν αὖθις ἐξ ὑπαρχῆς. Τοῦτ' ἔλαθεν, ὡς ἔοικε, τὸν Τιβέριον, καὶ δὶς τῷ αὐτῷ χρησάμενος, ἀπέδειξε τοὺς εἰρημένους ἄνδρας ὑπάτους. Ὕστερον δὲ γνοὺς τὴν ἁμαρτίαν, ἀνήνεγκε πρὸς τὴν σύγκλητον. Ἡ δ' οὐ κατεφρόνησε, καίτοι μικροῦ ὄντος τοῦ ἐλλείμματος, ἀλλ' ἔγραψε τοῖς ἀνδράσι· καὶ ἐκεῖνοι τὰς ἐπαρχίας ἀπολιπόντες, ἐπανῆλθον εἰς Ῥώμην ταχὺ, καὶ κατέθεντο τὴν ἀρχήν. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπράχθη. Περὶ δὲ τοὺς αὐτοὺς ἐκείνους χρόνους καὶ δύο ἱερεῖς ἐπιφανέστατοι τὰς ἱερωσύνας ἀφῃρέθησαν, Κορνήλιος μὲν Κέθηγος, ὅτι τὰ σπλάγχνα τοῦ ἱερείου παρὰ τάξιν ἐπέδωκε. Κούϊντος δὲ Σουλπίκιος, ἐπὶ τῷ θύοντος αὐτοῦ τὸν κορυφαῖον ἀπορρυῆναι τῆς κεφαλῆς πῖλον, ὃν οἱ καλούμενοι Φλαμίνιοι φοροῦσιν. Μινουκίου

δὲ Δικτάτωρος ἵππαρχον ἀποδείξαντος Γάϊον Φλαμίνιον, ἐπεὶ τρισμὸς ἠκολούθει μυὸς, ὃν Σόρικα καλοῦσιν, ἀποψηφισάμενοι τούτους, αὖθις ἑτέρους κατέστησαν. Καὶ τὴν ἐν οὕτω μικροῖς ἀκρίβειαν φυλάττοντες, οὐδεμιᾷ προτερμίγνυσαν δεισιδαιμονίᾳ, τῷ μηδὲν ἀλλάττειν, μηδὲ παρεκβαίνειν τῶν πατρίων.

ς. Ὡς δ' οὖν ἐξωμόσαντο τὴν ἀρχὴν οἱ περὶ τὸν Φλαμίνιον, διὰ τῶν καλουμένων μεταβασιλέων ὕπατος ἀποδείκνυται Μάρκελλος. Καὶ παραλαβὼν τὴν ἀρχὴν, ἀποδείκνυσιν αὐτῷ συνάρχοντα Γναῖον Κορνήλιον. Ἐλέχθη μὲν οὖν, ὡς πολλὰ συμβατικὰ τῶν Γαλατῶν (λεγόντων), καὶ τῆς βουλῆς εἰρηναῖα βουλομένης, ὁ Μάρκελλος ἐξετράχυνε τὸν δῆμον ἐπὶ τὸν πόλεμον· οὐ μὴν ἀλλὰ καὶ γενομένης εἰρήνης, ἀνακαινίσαι τὸν πόλεμον οἱ Γεσσάται δοκοῦσι, τὰς Ἄλπεις ὑπερβαλόντες, καὶ τοὺς Ἰνσόμβρους ἐπάραντες (τρισμύριοι γὰρ ὄντες προσεγένοντο πολλαπλασίοις ἐκείνοις οὖσι), καὶ μέγα φρονοῦντες, εὐθὺς ἐπ' Ἀκέρρας ὥρμησαν, πόλιν ὑπὲρ ποταμοῦ Πάδου ἀνῳκισμένην. Ἐκεῖθεν δὲ μυρίους τῶν Γεσσατῶν ὁ βασιλεὺς Βριτόμαρτος ἀναλαβὼν, τὴν περὶ Πάδον χώραν ἐπόρθει. Ταῦτα Μάρκελλος πυθόμενος, τὸν μὲν συνάρχοντα πρὸς Ἀκέρραις ἀπέλιπε, τὴν πεζὴν καὶ βαρεῖαν ὁμοῦ πᾶσαν ἔχοντα δύναμιν καὶ τῶν ἱππέων μέρος τρίτον· αὐτὸς δὲ τοὺς λοιποὺς ἱππεῖς ἀναλαβὼν, καὶ τοὺς ἐλαφροτάτους τῶν ὁπλιτῶν περὶ ἑξακοσίους, ἤλαυνεν, οὔτε ἡμέρας, οὔτε νύκτας ἀνιεὶς τὸν δρόμον, ἕως ἐπέβαλε τοῖς μυρίοις Γεσσάταις περὶ τὸ καλούμενον Κλαστίδιον, Γαλατικὴν κώμην, οὐ πρὸ πολλοῦ Ῥωμαίοις ὑπήκοον γεγενημένην. Ἀναλαβεῖν δὲ καὶ διαναπαῦσαι τὸν στρατὸν οὐχ ὑπῆρξεν αὐτῷ· ταχὺ γὰρ αἴσθησιν τοῖς βαρβάροις ἀφικόμενος παρέσχε, καὶ κατεστρονήθη, πεζῶν μὲν ὀλίγων παντάπασιν ὄντων σὺν αὐτῷ, τὸ δ' ἱππικὸν ἐν οὐδενὶ λόγῳ τῶν Κελτῶν τιθεμένων. Κράτιστοι γὰρ ὄντες ἱππομαχεῖν, καὶ μάλιστα τούτῳ διαφέρειν δοκοῦντες, τότε καὶ πλήθει πολὺ τὸν

Μάρκελλον ὑπερέβαλλον. Εὐθὺς οὖν ἐπ' αὐτὸν, ὡς ἀναρπασόμενοι, μετὰ βίας πολλῆς καὶ δεινῶν ἀπειλῶν ἐφέροντο, τοῦ βασιλέως προϊππεύοντος. Ὁ δὲ Μάρκελλος, ὡς μὴ φθαῖεν αὐτὸν ἐγκυκλωσάμενοι καὶ περιχυθέντες, ὀλιγοστὸν ὄντα, τὰς ἴλας ἦγε πόρρω τῶν ἱππέων, καὶ περιήλαυνε, λεπτὸν ἐκτείνων τὸ κέρας, ἄχρις οὗ μικρὸν ἀπέσχε τῶν πολεμίων. Ἤδη δέ πως εἰς ἐμβολὴν ἐπισρέφοντος αὐτοῦ, συντυγχάνει τὸν ἵππον πτυρέντα τῇ γαυρότητι τῶν πολεμίων ἀποτραπέσθαι, καὶ βίᾳ φέρειν ὀπίσω τὸν Μάρκελλον. Ὁ δὲ τοῦτο δείσας μὴ ταραχὴν ἐκ δεισιδαιμονίας τοῖς Ῥωμαίοις ἐνεργάσηται, ταχὺ περισπάσας ἐφ' ἡνίαν τῷ χαλινῷ καὶ περισρέψας τὸν ἵππον ἐναντίον τοῖς πολεμίοις, τὸν ἥλιον αὐτὸς προσεκύνησεν, ὡς δὴ μὴ κατὰ τύχην, ἀλλ' ἕνεκα τούτου, τῇ περιαγωγῇ χρησάμενος. Οὕτω γὰρ ἔθος ἐστὶ Ῥωμαίοις προσκυνεῖν τοὺς θεοὺς, περισρεφομένους. Αὐτὸν δ' ἤδη προσμιγνύντα τοῖς ἐναντίοις, προσεύξασθαι τῷ Φερετρίῳ Διὶ τὰ κάλλιστα τῶν παρὰ τοῖς πολεμίοις ὅπλων καθιερώσειν.

Ζ. Ἐν τούτῳ δὲ κατιδὼν ὁ τῶν Γαλατῶν βασιλεὺς, καὶ τεκμηράμενος ἀπὸ τῶν συμβόλων ἄρχοντα τοῦτον εἶναι, πολὺ πρὸ τῶν ἄλλων ἐξελάσας τὸν ἵππον, ὑπηντίασεν ἅμα τῇ φωνῇ προκλητικὸν ἐπαλαλάζων, καὶ τὸ δόρυ κραδαίνων· ἀνὴρ μεγέθει τε σώματος ἔξοχος Γαλατῶν, καὶ πανοπλίᾳ ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ βαφαῖς καὶ πᾶσι ποικίλμασιν, ὥσπερ ἀσπαπὴ, διαφέρων σιλβούσῃ. Ὡς οὖν ἐπιβλέψαντι τὴν φάλαγγα τῷ Μαρκέλλῳ ταῦτα τῶν ὅπλων ἔδοξε κάλλιστα, καὶ κατὰ τούτων ὑπέλαβε πεποιῆσθαι τῷ θεῷ τὴν κατευχὴν, ὥρμησεν ἐπὶ τὸν ἄνδρα, καὶ τῷ δόρατι διακόψας τὸν θώρακα, καὶ συνεπερείσας τῇ ῥύμῃ τοῦ ἵππου, ζῶντα μὲν αὐτὸν περιέτρεψε, δευτέραν δὲ καὶ τρίτην πληγὴν ἐνεὶς, *εὐθὺς* ἀπέκτεινεν. Ἀποπηδήσας δὲ τοῦ ἵππου, καὶ τῶν ὅπλων τοῦ νεκροῦ ταῖς χερσὶν ἐφαψάμενος, πρὸς τὸν οὐρανὸν εἶπεν· « Ὦ μεγάλα στρατηγῶν καὶ ἡγεμόνων ἔργα καὶ πράξεις

ἐπιβλέπων ἐν πολέμοις καὶ μάχαις Φερέτριε Ζεῦ, μαρτύρομαί σε Ῥωμαίων τρίτος ἄρχων ἄρχοντα, καὶ βασιλέα στρατηγὸς, ἰδίᾳ χειρὶ τόνδε τὸν ἄνδρα κατεργασάμενος καὶ κτείνας, σοὶ καθιεροῦν τὰ πρῶτα καὶ κάλλιστα τῶν λαφύρων. Σὺ δὲ δίδου τύχην ὁμοίαν ἐπὶ τὰ λοιπὰ τοῦ πολέμου προτρεπομένοις.» Ἐκ τούτου συνέμισγον οἱ ἱππεῖς, οὐ διακεκριμένοις τοῖς ἱππεῦσιν, ἀλλὰ καὶ πρὸς τοὺς πεζοὺς ὁμοῦ προσφερομένους μαχόμενοι· καὶ νικῶσι νίκην ἰδέᾳ τε καὶ τρόπῳ περιττὴν καὶ παράδοξον. Ἱππεῖς γὰρ ἱππέας καὶ πεζοὺς ἅμα τοσοῦτοι τοσούτους, οὔτε πρότερον, οὔτε ὕστερον, νικῆσαι λέγονται. Κτείνας δὲ τοὺς πλείστους, καὶ κρατήσας ὅπλων καὶ χρημάτων, ἐπανῆλθε πρὸς τὸν συνάρχοντα μοχθηρῶς πολεμοῦντα Κελτοῖς περὶ πόλιν μεγίστην καὶ πολυανθρωποτάτην τῶν Γαλατικῶν. Μεδιόλανον καλεῖται, καὶ μητρόπολιν *μὲν* αὐτὴν οἱ τῇδε Κελτοὶ νομίζουσιν· ὅθεν ἐκθύμως μαχόμενοι περὶ αὐτῆς, ἀντεπολιόρκουν τὸν Κορνήλιον. Ἐπελθόντος δὲ Μαρκέλλου, καὶ τῶν Γεσσατῶν, ὡς ἐπυθοντο τὴν τοῦ βασιλέως ἧτταν καὶ τελευτήν, ἀπελθόντων, τὸ μὲν Μεδιόλανον ἁλίσκεται, τὰς δ' ἄλλας πόλεις αὐτοὶ παραδιδόασιν οἱ Κελτοὶ, καὶ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπουσι πάντα Ῥωμαίοις. Καὶ τούτοις μὲν ἦν εἰρήνη μετρίων τυχοῦσι.

Η. Ψηφισαμένης δὲ τῆς συγκλήτου μόνῳ Μαρκέλλῳ θρίαμβον, εἰσήλαυνε, τῇ μὲν ἄλλῃ λαμπρότητι καὶ πλούτῳ καὶ λαφύροις καὶ σώμασιν ὑπερφυέσιν αἰχμαλώτων, ἐν ὀλίγοις θαυμαστός· ἥδιστον δὲ πάντων θέαμα καὶ καινότατον ἐπιδεικνύμενος αὐτὸν κομίζοντα τῷ θεῷ τὴν τοῦ βαρβάρου πανοπλίαν. Δρυὸς γὰρ εὐκτεάνου πρέμνον ὄρθιον καὶ μέγα τεμὼν, καὶ ἀσκήσας ὥσπερ τρόπαιον, ἀνεδήσατο καὶ κατήρτησεν ἐξ αὐτοῦ τὰ λάφυρα, κόσμῳ διαθεὶς καὶ περιαρμόσας ἕκαστον. Προϊούσης δὲ τῆς πομπῆς ἁράμενος αὐτὸς, ἐπέβη τοῦ τεθρίππου, καὶ τροπαιοφόρον ἄγαλμα τῶν ἐκείνου κάλλιστον καὶ διαπρεπέστατον ἐπόμπευε διὰ τῆς πό-

λεως. Ὁ δὲ στρατὸς εἵπετο καλλίστοις ὅπλοις κεκοσμημένος, ᾄδων ἄλλα (τε) πεποιημένα μέλη καὶ παιᾶνας ἐπινικίους εἰς τὸν θεὸν καὶ τὸν στρατηγόν· οὕτω δὲ προβὰς, καὶ παρελθὼν εἰς τὸν νεὼν τοῦ Φερετρίου Διὸς, ἀνέστησε καὶ καθιέρωσε, τρίτος καὶ τελευταῖος ἄχρι τοῦ καθ' ἡμᾶς αἰῶνος. Πρῶτος μὲν γὰρ ἀνήνεγκε σκῦλα Ῥωμύλος, ἀπ' Ἄκρωνος τοῦ Καινινήτου· δεύτερος δὲ Κόσσος Κορνήλιος, ἀπὸ Τολουμνίου Τυρρηνοῦ· μετὰ δὲ τούτους Μάρκελλος, ἀπὸ Βριτομάρτου, βασιλέως Γαλατῶν· μετὰ δὲ Μάρκελλον οὐδὲ εἷς. Καλεῖται δ' ὁ μὲν θεὸς, ᾧ πέμπεται, Φερέτριος Ζεὺς, ὡς μὲν ἔνιοι φασὶν, ἀπὸ τοῦ φερετρευομένου τροπαίου, κατὰ τὴν Ἑλληνίδα γλῶσσαν, ἔτι πολλὴν τότε συμμεμιγμένην τῇ Λατίνων· ὡς δ' ἕτεροι, Διός ἐστιν ἡ προσωνυμία κεραυνοβολοῦντος. Τὸ γὰρ τύπτειν φερίρε οἱ Ῥωμαῖοι καλοῦσιν. Ἄλλοι δὲ παρὰ τὴν τοῦ πολέμου πληγὴν γεγονέναι τοὔνομα λέγουσι. Καὶ γὰρ νῦν ἐν ταῖς μάχαις, ὅταν διώκωσι τοὺς πολεμίους, πυκνὸν τὸ Φέρι, τουτέστι παῖε, παρεγγυῶσιν ἀλλήλοις. Τὰ δὲ σκῦλα Σπόλια μὲν κοινῶς, ἰδίως δ' Ὀπίμια, ταῦτα καλοῦσι. Καίτοι φασὶν ἐν τοῖς ὑπομνήμασι Νουμᾶν Πομπίλιον καὶ πρώτων Ὀπιμίων καὶ δευτέρων καὶ τρίτων μνημονεύειν· τὰ μὲν πρῶτα ληφθέντα, τῷ Φερετρίῳ Διὶ κελεύοντα καθιεροῦν, τὰ δεύτερα δὲ τῷ Ἄρει, τὰ δὲ τρίτα τῷ Κυρίνῳ· καὶ λαμβάνειν γέρας, ἀσσάρια τριακόσια τὸν πρῶτον, τὸν δὲ δεύτερον διακόσια, τὸν δὲ τρίτον ἑκατόν. Ὁ μέντοι πολὺς οὗτος ἐπικρατεῖ λόγος, ὡς ἐκείνων μόνων Ὀπιμίων ὄντων, ὅσα καὶ παρατάξεως οὔσης, καὶ πρῶτα, καὶ στρατηγοῦ στρατηγὸν ἀνελόντος. Περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον. Οἱ δὲ Ῥωμαῖοι τὴν νίκην ἐκείνην καὶ τοῦ πολέμου τὴν κατάλυσιν οὕτως ὑπερηγάπησαν, ὥστε καὶ τῷ Πυθίῳ χρυσοῦν κρατῆρα ἀπὸ λιτρῶν... εἰς Δελφοὺς ἀποστεῖλαι χαριστήριον, καὶ τῶν λαφύρων ταῖς τε συμμαχίσι μεταδοῦναι πόλεσι λαμπρῶς, καὶ πρὸς Ἱέρωνα πολλὰ πέμψαι, τὸν Συρακουσίων βασιλέα, φίλον ὄντα καὶ σύμμαχον.

Θ.

Θ. Ἀννίβου δ' ἐμβαλόντος εἰς Ἰταλίαν, ἐπέμφθη μὲν ὁ Μάρκελλος ἐπὶ Σικελίαν, στόλον ἄγων. Ἐπεὶ δ' ἡ περὶ Κάννας ἀτυχία συνέπεσε, καὶ Ῥωμαίων οὐκ ὀλίγαι μυριάδες ἐν τῇ μάχῃ διεφθάρησαν, ὀλίγοι δὲ σωθέντες εἰς Κανύσιον συνεπεφεύγεσαν, ἦν δὲ προσδοκία τὸν Ἀννίβαν εὐθὺς ἐπὶ τὴν Ῥώμην ἐλᾶν, ὅπερ ἦν κράτιστον τῆς δυνάμεως ἀνηρηκότα· πρῶτον μὲν ὁ Μάρκελλος ἀπὸ τῶν νεῶν ἔπεμψε τῇ πόλει φυλακὴν, πεντακοσίους καὶ χιλίους ἄνδρας, ἔπειτα δόγματι τῆς βουλῆς δεξάμενος, εἰς Κανύσιον παρῆλθε, καὶ τοὺς ἐκεῖ συνειλεγμένους παραλαβὼν, ἐξήγαγε τῶν ἐρυμάτων, ὡς οὐ προησόμενος τὴν χώραν. Ῥωμαίοις δὲ τῶν ἡγεμονικῶν καὶ δυνατῶν ἀνδρῶν οἱ μὲν ἐτεθνήκεσαν ἐν ταῖς μάχαις· Φαβίου δὲ Μαξίμου τοῦ πλεῖστον ἔχοντος ἀξίωμα πίστεως καὶ συνέσεως, τὸ λίαν ἀπηκριβωμένον ἐν τοῖς ὑπὲρ τοῦ μὴ παθεῖν λογισμοῖς, ὡς ἀργὸν ἐπὶ τὰς πράξεις καὶ ἄτολμον, ἠτιῶντο· καὶ νομίζοντες ἀποχρῶντα τοῦτον ἔχειν πρὸς ἀσφάλειαν, οὐ διαρκῆ δὲ πρὸς ἄμυναν στρατηγὸν, ἐπὶ τὸν Μάρκελλον κατέφευγον, καὶ τὸ θαῤῥαλέον αὐτοῦ καὶ δραστήριον πρὸς τὴν ἐκείνου κεραννύντες καὶ ἁρμόττοντες εὐλάβειαν καὶ πρόνοιαν, ποτὲ μὲν ἀμφοτέρους ἅμα χειροτονοῦντες ὑπάτους, ποτὲ δ' ἐν μέρει, τὸν μὲν ὕπατον, τὸν δ' ἀνθύπατον ἐξέπεμπον. Ὁ δὲ Ποσειδώνιος φησὶ, τὸν μὲν Φάβιον θυρεὸν καλεῖσθαι, τὸν δὲ Μάρκελλον ξίφος. Αὐτὸς δὲ ὁ Ἀννίβας ἔλεγε, τὸν μὲν Φάβιον ὡς παιδαγωγὸν φοβεῖσθαι, τὸν δὲ Μάρκελλον ὡς ἀνταγωνιστήν· ὑφ' οὗ μὲν γὰρ κωλύεσθαι κακόν τι ποιεῖν, ὑφ' οὗ δὲ καὶ πάσχειν.

Ι. Πρῶτον μὲν οὖν ἀνέσεως πολλῆς καὶ θρασύτητος ἐκ τοῦ κρατεῖν τὸν Ἀννίβαν τοῖς στρατιώταις ἐγγενομένης, τοὺς ἀποσκιδναμένους τοῦ στρατοπέδου καὶ κατατρέχοντας τὴν χώραν ἐπιτιθέμενος κατέκοπτε καὶ ὑπανήλισκε τῆς δυνάμεως. Ἔπειτα πρὸς Νέαν πόλιν καὶ Νῶλαν βοηθήσας, Νεαπολίτας μὲν ἐπέῤῥωσεν, αὐτοὺς καθ' αὑτοὺς βεβαίους ὄντας Ῥωμαίοις, εἰς δὲ Νῶλαν

εἰσελθὼν, φάσιν εὗρε, τῆς βουλῆς τὸν δῆμον ἀννιβίζοντα μεταχειρίσασθαι καὶ καταρτίσαι μὴ δυναμένης. Ἦν γάρ τις ἀνὴρ, εὐγενείᾳ τε πρωτεύων ἐν τῇ πόλει καὶ κατ' ἀνδρείαν ἐπιφανὴς, ὄνομα Βάνδιος· καὶ τοῦτον ἐν Κάνναις περιόπτως ἀγωνισάμενον, καὶ πολλοὺς μὲν ἀνελόντα τῶν Καρχηδονίων, τέλος δ' αὐτὸν ἐν τοῖς νεκροῖς εὑρεθέντα πολλῶν βελῶν κατάπλεων τὸ σῶμα, θαυμάσας ὁ Ἀννίβας, οὐ μόνον ἀφῆκεν ἄνευ λύτρων, ἀλλὰ καὶ δῶρα προσέθηκε, καὶ φίλον ἐποιήσατο καὶ ξένον. Ἀμειβόμενος οὖν ταύτην τὴν χάριν ὁ Βάνδιος, εἷς ἦν τῶν ἀννιβιζόντων προθύμως, καὶ τὸν δῆμον ἰσχύων ἐξῆγε πρὸς ἀπόστασιν. Ὁ δὲ Μάρκελλος ἀνελεῖν μὲν ἄνδρα, λαμπρὸν οὕτω τὴν τύχην, καὶ κεκοινωνηκότα τῶν μεγίστων Ῥωμαίοις ἀγώνων, οὐχ ὅσιον ἡγεῖτο· πρὸς δὲ τῷ φύσει φιλανθρώπῳ καὶ πιθανὸς ὢν ὁμιλίᾳ προσάγεσθαι φιλότιμον ἦθος, ἀσπασαμένου ποτὲ τοῦ Βανδίου αὐτὸν, ἠρώτησεν, ὅστις ἀνθρώπων εἴη· πάλαι μὲν εὖ εἰδὼς, ἀρχὴν δὲ καὶ πρόφασιν ἐντεύξεως ζητῶν. Ὡς γὰρ εἶπε· Λεύκιος Βάνδιος· οἷον ἡσθεὶς καὶ θαυμάσας ὁ Μάρκελλος· Ἦ γὰρ ἐκεῖνος, ἔφη, σὺ Βάνδιος, οὗ πλεῖστος ἐν Ῥώμῃ λόγος τῶν ἐν Κάνναις ἀγωνισαμένων, ὡς μόνου Παῦλον Αἰμίλιον τὸν ἄρχοντα μὴ προλιπόντος, ἀλλὰ τὰ πλεῖστα τῶν ἐκείνῳ φερομένων βελῶν ὑποσάντος τῷ σώματι καὶ ἀναδεξαμένου; Φήσαντος δὲ τοῦ Βανδίου, καί τι καὶ παραψήναντος αὐτῷ τῶν τραυμάτων· Εἶτα, ἔφη, τηλικαῦτα γνωρίσματα φέρων τῆς πρὸς ἡμᾶς φιλίας, οὐκ εὐθὺς προσήεις; ἢ κακοί σοι δοκοῦμεν ἀρετὴν ἀμείβεσθαι φίλων, ἧς ἐστι τιμὴ καὶ παρὰ τοῖς πολεμίοις; Ταῦτα φιλοφρονηθεὶς καὶ δεξιωσάμενος, ἵππον τε δωρεῖται πολεμιστὴν αὐτῷ, καὶ δραχμὰς ἀργυρίου πεντακοσίας.

ΙΑ. Ἐκ τούτου βεβαιότατος μὲν ἦν Μαρκέλλῳ παραστάτης καὶ σύμμαχος, δεινότατος δὲ μηνυτὴς καὶ κατήγορος τῶν τἀναντία φρονούντων ὁ Βάνδιος. Ἦσαν δὲ πολλοὶ, καὶ διενοοῦντο,

τῶν Ῥωμαίων ἐπεξιόντων τοῖς πολεμίοις, αὐτοὶ διαρπάσαι τὰς ἀποσκευάς. Διὸ συντάξας ὁ Μάρκελλος τὴν δύναμιν ἐντὸς περὶ τὰς πύλας ἔσχισε τὰ σκευοφόρα, καὶ τοῖς Νωλανοῖς διὰ κηρύγματος ἀπεῖπε πρὸς τὰ τείχη προσπελάζειν. Ἦν οὖν ὅπλων ἐρημία, καὶ τὸν Ἀννίβαν ἐπεσπάσατο προσάγειν ἀτακτότερον, ὡς τῶν ἐν τῷ πόλει ταραττομένων. Ἐν τούτῳ δὲ τὴν καθ' αὑτὸν πύλην ἀναπετάσαι κελεύσας ὁ Μάρκελλος, ἐξήλασεν ἔχων μεθ' ἑαυτοῦ τῶν ἱππotῶν τοὺς λαμπροτάτους· καὶ προσπεσὼν κατὰ νῶτα, συνείχετο τοῖς πολεμίοις. Μετ' ὀλίγον δ' οἱ πεζοὶ καθ' ἑτέραν πύλην ἐχώρουν μετὰ δρόμου καὶ βοῆς· καὶ πρὸς τούτους αὖθις αὖ τοῦ Ἀννίβα μερίζοντος τὴν δύναμιν, ἡ τρίτη τῶν πυλῶν ἀνεῴγνυτο, καὶ δι' αὐτῆς ἐξέθεον οἱ λοιποὶ, καὶ προσέκειντο πανταχόθεν ἐκπεπληγμένοις τῷ ἀπροσδοκήτῳ, καὶ κακῶς ἀμυνομένοις τοὺς ἐν χερσὶν ἤδη, διὰ τοὺς ὕστερον ἐπιφερομένους. Κἀνταῦθα πρῶτον οἱ σὺν Ἀννίβᾳ Ῥωμαίοις ἐνέδωκαν, ὠθούμενοι φόνῳ πολλῷ καὶ τραύμασι πρὸς τὸ στρατόπεδον. Λέγονται γὰρ ὑπὲρ πεντακισχιλίους ἀποθανεῖν, ἀποκτεῖναι δὲ Ῥωμαίων οὐ πλείονας, ἢ πεντακοσίους. Ὁ δὲ Λίβιος οὕτω μὲν οὐ διαβεβαιοῦται γενέσθαι μεγάλην ἧτταν, οὐδὲ πεσεῖν νεκροὺς τοσούτους τῶν πολεμίων· κλέος δὲ μέγα Μαρκέλλῳ, καὶ Ῥωμαίοις ἐκ κακῶν θάρσος ἀπὸ τῆς μάχης ἐκείνης ὑπάρξαι θαυμαστὸν, ὡς οὐ πρὸς ἄμαχον, οὐδ' ἀήττητον, ἀλλά τι καὶ παθεῖν δυνάμενον διαγωνιζομένοις πολέμιον.

ΙΒ. Διὸ καὶ θατέρου τῶν ὑπάτων ἀποθανόντος, ἐκάλει Μάρκελλον ὁ δῆμος ἐπὶ τὴν διαδοχὴν ἀπόντα, καὶ βίᾳ τῶν ἀρχόντων ὑπερέθετο τὴν κατάσασιν, ἕως ἐκεῖνος ἦλθεν ἀπὸ τοῦ στρατοπέδου. Καὶ πάσαις μὲν ἀπεδείχθη ταῖς ψήφοις ὕπατος· ἐπιβροντήσαντος δὲ τοῦ θεοῦ, καὶ τῶν ἱερέων οὐκ αἴσιον τιθεμένων τὸ σημεῖον, ἐμφανῶς δὲ κωλύειν ὀκνούντων, καὶ δεδιότων τὸν δῆμον, αὐτὸς ἐξωμόσατο τὴν ἀρχήν. Οὐ μέντοι τὴν

στρατείαν ἔφυγεν, ἀλλ' ἀνθύπατος ἀναγορευθεὶς, καὶ πάλιν πρὸς Νῶλαν ἐπανελθὼν εἰς τὸ στρατόπεδον, κακῶς ἐποίει τοὺς ἡρημένους τὰ τοῦ Φοίνικος. Ὡς δ' ὀξεῖαν ἐπ' αὐτὸν θέμενος βοήθειαν ἐκεῖνος ἦκε, προκαλουμένῳ μὲν ἐκ παρατάξεως οὐκ ἠβουλήθη διαγωνίσασθαι, τρέψαντι δὲ τὸ πλεῖστον ἐφ' ἁρπαγὴν τοῦ στρατοῦ, καὶ μηκέτι προσδεχομένῳ μάχην, ἐπεξῆλθε διαδοὺς δόρατα τῶν ναυμάχων μεγάλα τοῖς πεζοῖς, καὶ διδάξας πόρρωθεν συντηροῦσι παίειν τοὺς Καρχηδονίους, ἀκοντιστὰς μὲν οὐκ ὄντας, αἰχμαῖς δὲ χρωμένους ἐκ χειρὸς βραχείαις. Διὸ καὶ δοκοῦσι τότε δεῖξαι τὰ νῶτα Ῥωμαίοις, ὅσοι συνέβαλον, καὶ φυγὴν ἀπροφάσιστον φυγεῖν, ἀποβαλόντες ἐξ ἑαυτῶν νεκροὺς μὲν γενομένους πεντακισχιλίους, καὶ τῶν ἐλεφάντων τέσσαρας μὲν πεσόντας, δύο δὲ ζωοὺς ἁλόντας. Ὁ δ' ἦν μέγιστον, ἡμέρᾳ τρίτῃ μετὰ τὴν μάχην ἱππεῖς Ἰβήρων καὶ Νομάδων μιγάδες αὐτομολοῦσιν ὑπὲρ τοὺς (χιλίους) τριακοσίους· οὔπω πρότερον Ἀννίβα τοῦτο παθόντος, ἀλλ' ἐκ ποικίλων καὶ πολυτρόπων συνηρμοσμένον ἐθνῶν βαρβαρικὸν στράτευμα πλεῖστον χρόνον ἐν μιᾷ γνώμῃ διαφυλάξαντος. Οὗτοι μὲν οὖν πιστοὶ παρέμειναν εἰς ἅπαν αὐτῷ τε τῷ Μαρκέλλῳ καὶ τοῖς μετ' αὐτὸν στρατηγοῖς.

ΙΓ. Ὁ δὲ Μάρκελλος ἀποδειχθεὶς ὕπατος τὸ τρίτον, εἰς Σικελίαν ἔπλευσεν. Αἱ γὰρ Ἀννίβου περὶ τὸν πόλεμον εὐπραξίαι Καρχηδονίους ἐπῆραν αὖθις ἀντιλαμβάνεσθαι τῆς νήσου, μάλιστα τεταραγμένων τῶν περὶ τὰς Συρακούσας, μετὰ τὴν Ἱερωνύμου τοῦ τυράννου τελευτήν. Διὸ καὶ Ῥωμαίων ἦν ἐκεῖ προαπεσταλμένη δύναμις, καὶ στρατηγὸς Ἄππιος. Ταύτην παραλαμβάνοντι τῷ Μαρκέλλῳ προσπίπτουσι Ῥωμαῖοι πολλοὶ, συμφορᾷ κεχρημένοι τοιαύτῃ. Τῶν περὶ Κάννας παραταξαμένων πρὸς Ἀννίβαν οἱ μὲν ἔφυγον, οἱ δὲ ζῶντες ἥλωσαν, τοσοῦτον πλῆθος, ὡς δοκεῖν Ῥωμαίοις ὑπολελεῖφθαι μηδὲ τοὺς τὰ τείχη διαφυλάξοντας. Τοῖς δὲ ἄρα τοσοῦτο *τοῦ* φρονήματος καὶ μεγαλοψυχίας περιῆν,

ὥστε τοὺς μὲν αἰχμαλώτους ἐπὶ μικροῖς λύτροις ἀποδιδόντος Ἀννίβου μὴ λαβεῖν, ἀλλ' ἀποψηφίσασθαι, καὶ περιιδεῖν τοὺς μὲν ἀναιρεθέντας, τοὺς δὲ πραθέντας ἔξω τῆς Ἰταλίας· τῶν δὲ φυγῇ περιγενομένων τὸ πλῆθος εἰς Σικελίαν ἀποσεῖλαι, διακελευσαμένους Ἰταλίας μὴ ἐπιβαίνειν, ἕως πολεμοῦσι πρὸς Ἀννίβαν. Οὗτοι δὴ τῷ Μαρκέλλῳ παραγενομένῳ προσπεσόντες ἀθρόοι, καὶ χαμαὶ καταβαλόντες αὑτούς, ἤτουν τάξιν ἐπιτίμου στρατείας μετὰ πολλῆς βοῆς καὶ δακρύων, ἐπαγγελλόμενοι δείξειν δι' ἔργων, ἀτυχίᾳ τινὶ μᾶλλον, ἢ δι' ἀνανδρίαν αὐτῶν, τὴν τροπὴν ἐκείνην γενομένην. Οἰκτείρας οὖν αὐτοὺς ὁ Μάρκελλος, ἔγραψε πρὸς τὴν σύγκλητον, αἰτούμενος ἐκ τούτων ἀεὶ τῆς στρατιᾶς τὸ ὑπολεῖπον ἀναπληροῦν. Λόγων δὲ πολλῶν γενομένων, ἐποιήσατο γνώμην ἡ βουλή, μηδὲν εἰς δημόσια πράγματα δεῖσθαι Ῥωμαίους ἀνθρώπων ἀνάνδρων· εἰ δὲ βούλεται χρῆσθαι Μάρκελλος αὐτοῖς ἴσως, μηδενὸς τῶν ἐπ' ἀνδρείᾳ νομιζομένων σεφάνων καὶ γερῶν τυχεῖν ὑπ' ἄρχοντος. Τοῦτο τὸ δόγμα Μάρκελλον ἠνίασε, καὶ μετὰ τὸν ἐν Σικελίᾳ πόλεμον ἐπανελθὼν, ἐμέμψατο τὴν βουλὴν, ὡς ἀντὶ πολλῶν καὶ μεγάλων οὐ παρασχοῦσαν αὐτῷ τοσούτων δυσχερείαν ἐπανορθώσασθαι πολιτῶν.

ΙΔ. Τότε δ' ἐν Σικελίᾳ πρῶτον μὲν, ἀδικηθεὶς ὑπὸ Ἱπποκράτους, Συρακουσίων στρατηγοῦ, ὃς Καρχηδονίοις χαριζόμενος, καὶ τυραννίδα κτώμενος αὐτῷ, πολλοὺς διέφθειρε Ῥωμαίων πρὸς Λεοντίνοις, *καὶ* εἷλε τὴν τῶν Λεοντίνων πόλιν κατὰ κράτος· καὶ Λεοντίνους μὲν οὐκ ἠδίκησε, τῶν δ' αὐτομόλων ὅσους ἔλαβε μαστιγώσας ἀπέκτεινε. Τοῦ δ' Ἱπποκράτους πρῶτον μὲν λόγον εἰς τὰς Συρακούσας προπέμψαντος, ὡς Λεοντίνους ἡβηδὸν ἀποσφάττει Μάρκελλος, ἔπειτα δὲ τεταραγμένοις ἐπιπεσόντος, καὶ τὴν πόλιν καταλαβόντος, ἄρας ὁ Μάρκελλος τῷ στρατῷ παντὶ, πρὸς τὰς Συρακούσας ἐχώρει· καὶ κατασρατοπεδεύσας πλησίον, εἰσέπεμψε μὲν πρέσβεις περὶ τῶν ἐν Λεοντίνοις διδάξοντας. Ὡς

δ' οὐδὲν ἦν ὄφελος, μὴ πειθομένων Συρακουσίων (ἐκράτουν γὰρ οἱ περὶ τὸν Ἱπποκράτην), προσβολὰς ἐποιεῖτο κατὰ γῆν ἅμα καὶ κατὰ θάλασσαν, Ἀππίου μὲν τὸν πεζὸν ἐπάγοντος στρατὸν, αὐτὸς δὲ πεντήρεις ἔχων ἑξήκοντα παντοδαπῶν ὅπλων καὶ βελῶν πλήρεις. Ὑπὲρ δὲ μεγάλου ζεύγματος νεῶν ὀκτὼ πρὸς ἀλλήλας συνδεδεμένων, μηχανὴν ἄρας, ἐπέπλει πρὸς τὸ τεῖχος, τῷ πλήθει καὶ τῇ λαμπρότητι τῆς παρασκευῆς καὶ τῇ δόξῃ τῇ περὶ αὐτὸν πεποιθώς· ἧς ἄρα λόγος οὐδεὶς ἦν Ἀρχιμήδει καὶ τοῖς Ἀρχιμήδους μηχανήμασιν. Ὧν, ὡς μὲν ἔργον ἄξιον σπουδῆς, οὐδὲν ὁ ἀνὴρ προὔθετο, γεωμετρίας δὲ παιζούσης ἐγεγόνει πάρεργα τὰ πλεῖστα· πρότερον φιλοτιμηθέντος Ἱέρωνος τοῦ βασιλέως, καὶ πείσαντος Ἀρχιμήδη τρέψαι τι τῆς τέχνης ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ σωματικὰ, καὶ τὸν λόγον ἀμωσγέπως δι' αἰσθήσεως μίξαντα ταῖς χρείαις, ἐμφανέστερον κατασῆσαι τοῖς πολλοῖς. Τὴν γὰρ ἀγαπωμένην ταύτην καὶ περιβόητον ὀργανικὴν ἤρξαντο μὲν κινεῖν οἱ περὶ Εὔδοξον καὶ Ἀρχύταν, ποικίλλοντες τῷ γλαφυρῷ γεωμετρίαν, καὶ λογικῆς καὶ πραγματικῆς ἀποδείξεως οὐκ εὐπορούντα προβλήματα δι' αἰσθητῶν καὶ ὀργανικῶν παραδειγμάτων ὑπερείδοντες. Ὡς τὸ περὶ δύο μέσας ἀνάλογους πρόβλημα καὶ στοιχεῖον ἐπὶ πολλὰ τῶν γραφομένων ἀναγκαῖον εἰς ὀργανικὰς ἐξῆγον ἀμφότεροι κατασκευὰς, μεσογράφους τινας ἀπὸ καμπύλων γραμμῶν καὶ τμημάτων μεθαρμόζοντες. Ἐπεὶ δὲ Πλάτων ἠγανάκτησε, καὶ διετείνατο πρὸς αὐτοὺς, ὡς ἀπολλύντας καὶ διαφθείροντας τὸ γεωμετρίας ἀγαθὸν, ἀπὸ τῶν ἀσωμάτων καὶ νοητῶν ἀποδιδρασκούσης ἐπὶ τὰ αἰσθητὰ, καὶ προσχρωμένης αὖθις αὖ σώματι, πολλῆς καὶ φορτικῆς βαναυσουργίας δεομένῳ· οὕτω διεκρίθη γεωμετρίας ἐκπεσοῦσα μηχανικὴ, καὶ, περιορωμένη πολὺν χρόνον ὑπὸ φιλοσοφίας, μία τῶν στρατιωτίδων τεχνῶν ἐγεγόνει. Καὶ μέντοι καὶ Ἀρχιμήδης, Ἱέρωνι τῷ βασιλεῖ συγγενὴς ὢν καὶ φίλος, ἔγραψεν, ὡς τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστι· καὶ

νεανιευσάμενος, ὥς φασι, ῥώμῃ τῆς ἀποδείξεως, εἶπεν, ὡς, εἰ γῆν εἶχεν ἑτέραν, ἐκίνησεν ἂν ταύτην, μεταβὰς εἰς ἐκείνην. Θαυμάσαντος δὲ τοῦ Ἱέρωνος, καὶ δεηθέντος εἰς ἔργον ἐξαγαγεῖν τὸ πρόβλημα, καὶ δεῖξαί τι τῶν μεγάλων κινούμενον ὑπὸ σμικρᾶς δυνάμεως, ὁλκάδα πορισάμενος τῶν βασιλικῶν, πόνῳ μεγάλῳ καὶ χειρὶ πολλῇ νεωλκηθεῖσαν, ἐμβαλὼν ἀνθρώπους τε πολλοὺς, καὶ τὸν συνήθη φόρτον, αὐτὸς ἄπωθεν καθήμενος, οὐ μετὰ σπουδῆς, ἀλλ' ἠρέμα τῇ χειρὶ σείων ἀρχήν τινα πολυσπάστου μηχανήματος, προσηγάγετο λείως καὶ ἀπταίστως, *καὶ* ὥσπερ διὰ θαλάσσης ἐπιθέουσαν. Ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς, καὶ συννοήσας τῆς τέχνης τὴν δύναμιν, ἔπεισε τὸν Ἀρχιμήδην, ὅπως αὐτῷ τὰ μὲν ἀμυνομένῳ, τὰ δ' ἐπιχειροῦντι, μηχανήματα κατασκευάσῃ πρὸς πᾶσαν ἰδέαν πολιορκίας· οἷς αὐτὸς μὲν οὐκ ἐχρήσατο, τοῦ βίου τὸ πλεῖστον ἀπόλεμον καὶ πανηγυρικὸν βιώσας, τότε δ' ὑπῆρχε τοῖς Συρακουσίοις εἰς δέον ἡ παρασκευὴ, καὶ μετὰ τῆς παρασκευῆς ὁ δημιουργός.

ΙΕ. Ὡς οὖν προσέβαλον οἱ Ῥωμαῖοι διχόθεν, ἔκπληξις ἦν τῶν Συρακουσίων, καὶ σιγὴ διὰ δέος, μηδὲν *ἂν* ἀνθέξειν πρὸς βίαν καὶ δύναμιν οἰομένων τοσαύτην. Σχάσαντος δὲ τὰς μηχανὰς τοῦ Ἀρχιμήδους, ἅμα τοῖς μὲν πεζοῖς ἀπήντα τοξεύματά τε παντοδαπὰ καὶ λίθων ὑπέρογκα μεγέθη, ῥοίζῳ καὶ τάχει καταφερομένων ἀπίσω, καὶ μηδενὸς ὅλως τὸ βρίθος στέγοντος, ἀθρόους ἀνατρεπόντων τοὺς ὑποπίπτοντας καὶ τὰς τάξεις συγχεόντων. Ταῖς δὲ ναυσὶν ἀπὸ τῶν τειχῶν ἄφνω ὑπεραιωρούμεναι κεραῖαι, τὰς μὲν ὑπὸ βρίθους σηρίζοντος ἄνωθεν ὠθοῦσαι κατέδυον εἰς βυθὸν, τὰς δὲ χερσὶ σιδηραῖς, ἢ σόμασιν εἰκασμένοις γεράνων, ἀνασπῶσαι πρῴραθεν ὀρθὰς ἐπὶ πρύμναν ἐβάπτιζον, ἢ δὶ ἀντιτόνων ἔνδον περιστρεφόμεναι καὶ περιαγόμεναι, τοῖς ὑπὸ τὸ τεῖχος πεφυκόσι κρημνοῖς καὶ σκοπέλοις προσήρασσον, ἅμα φθόρῳ πολλῷ τῶν ἐπιβατῶν συντριβομένων. Πολλάκις δὲ μετέωρος ἐξαρθεῖσα

ναῦς ἀπὸ τῆς θαλάσσης, δεῦρο κἀκεῖσε περιδινουμένη καὶ κρεμαμένη, θέαμα φρικῶδες ἦν· μέχρις οὗ τῶν ἀνδρῶν ἀπορριφέντων καὶ διασφενδονισθέντων, κενὴ προσπέσοι τοῖς τείχεσιν, ἢ περιολίσθοι, τῆς λαβῆς ἀνείσης. Ἦν δὲ ὁ Μάρκελλος ἀπὸ τοῦ ζεύγματος ἐπῆγε μηχανήν, σαμβύκη μὲν ἐκαλεῖτο δι' ὁμοιότητά τινα σχήματος πρὸς τὸ μουσικὸν ὄργανον· ἔτι δ' ἄπωθεν αὐτῆς προσφερομένης πρὸς τὸ τεῖχος, ἐξήλατο λίθος δεκατάλαντος ὑλκήν, εἶτα ἕτερος ἐπὶ τούτῳ, καὶ τρίτος· ὧν οἱ μὲν αὐτῇ ἐμπεσόντες μεγάλῳ κτύπῳ καὶ κλύδωνι τῆς μηχανῆς τήν τε βάσιν συνηλόησαν, καὶ τὸ γόμφωμα διέσεισαν καὶ διέσπασαν τοῦ ζεύγματος· ὥσε τὸν Μάρκελλον ἀπορούμενον, αὐτόν τε ταῖς ναυσὶν ἀποπλεῖν κατὰ τάχος, καὶ τοῖς πεζοῖς ἀναχώρησιν παρεγγυῆσαι. Βουλευομένοις δ' ἔδοξεν αὐτοῖς, ἔτι νυκτὸς, ἂν δύνωνται, προσμίξαι τοῖς τείχεσι· τοὺς γὰρ τόνους, οἷς χρῆσθαι τὸν Ἀρχιμήδην, ῥώμην ἔχοντας, ὑπερπετεῖς ποιήσεσθαι τὰς τῶν βελῶν ἀφέσεις· ἐγγύθεν δὲ καὶ τελέως ἀπράκτους εἶναι, διάστημα τῆς πληγῆς οὐκ ἐχούσης. Ὁ δ' ἦν, ὡς ἔοικε, καὶ ἐπὶ ταῦτα πάλαι παρεσκευασμένος ὀργάνων τε συμμέτρους πρὸς πᾶν διάστημα κινήσεις, καὶ βέλη βραχέα, καὶ δοκοὺς οὐ μεγάλας· (διὰ) πολλῶν δὲ καὶ συνεχῶν τρημάτων οἱ σκορπίοι, βραχύτονοι μὲν, ἐγγύθεν δὲ πλῆξαι παρεσκήκεσαν, ἀόρατοι τοῖς πολεμίοις.

Ις. Ὡς οὖν προσέμιξαν οἰόμενοι λανθάνειν, αὖθις αὖ βέλεσι πολλοῖς ἐντυγχάνοντες καὶ πληγαῖς, πετρῶν μὲν ἐκ κεφαλῆς ἐπ' αὐτοὺς φερομένων ὥσπερ πρὸς κάθετον, τοῦ δὲ τείχους τοξεύματα πανταχόθεν ἀναπέμποντος, ἀνεχώρουν ὀπίσω. Κἀνταῦθα πάλιν αὐτῶν εἰς μῆκος ἐκτεταγμένων, βελῶν ἐκθεόντων, καὶ καταλαμβανόντων ἀπιόντας, ἐγίνετο πολὺς μὲν αὐτῶν φθόρος, πολὺς δὲ τῶν νεῶν συγκρουσμὸς, οὐδὲν ἀντιδρᾶσαι τοὺς πολεμίους δυναμένων. Τὰ γὰρ πλεῖστα τῶν ὀργάνων ὑπὸ τὸ τεῖχος ἐσκευοποιεῖτο τῷ Ἀρχιμήδει· καὶ θερμαχοῦσιν ἐῴκεσαν

οἱ Ῥωμαῖοι, μυρίων αὐτοῖς κακῶν ἐξ ἀφανοῦς ἐπιχειρούντων.

ΙΖ. Οὐ μὴν ἀλλ' ὁ Μάρκελλος ἀπέφυγέ τε, καὶ τοὺς σὺν ἑαυτῷ σκώπτων τεχνίτας καὶ μηχανοποιοὺς ἔλεγεν· «Οὐ παυσόμεθα πρὸς τὸν γεωμετρικὸν τοῦτον Βριάρεων πολεμοῦντες, ὃς τὰς μὲν ναῦς ἡμῶν κυαθίζων πρὸς τὴν θάλασσαν, παίζων μετ' αἰσχύνης ἐκβέβληκε, τοὺς δὲ μυθικοὺς ἑκατόγχειρας ὑπεραίρει, τοσαῦτα βάλλων ἅμα βέλη καθ' ἡμῶν;» Τῷ γὰρ ὄντι πάντες οἱ λοιποὶ Συρακούσιοι σῶμα τῆς Ἀρχιμήδους παρασκευῆς ἦσαν· ἡ δὲ κινοῦσα πάντα καὶ στρέφουσα ψυχὴ μία, τῶν μὲν ἄλλων ὅπλων ἀτρέμα κειμένων, μόνοις δὲ τοῖς ἐκείνου τότε τῆς πόλεως χρωμένης, καὶ πρὸς ἄμυναν καὶ πρὸς ἀσφάλειαν. Τέλος δὲ, τοὺς Ῥωμαίους οὕτω περιφόβους γεγονότας ὁρῶν ὁ Μάρκελλος, ὥσ', εἰ καλώδιον, ἢ ξύλον, ὑπὲρ τοῦ τείχους μικρὸν ὀφθεὶη προτεινόμενον, τοῦτο ἐκεῖνο μηχανήν τινα κινεῖν ἐπ' αὐτοὺς Ἀρχιμήδη βοῶντας, ἀποτρέπεσθαι καὶ φεύγειν· ἀπέσχετο μάχης ἁπάσης καὶ προσβολῆς τὸ λοιπὸν, ἐπὶ τῷ χρόνῳ τὴν πολιορκίαν θέμενος. Τηλικοῦτον μέντοι φρόνημα καὶ βάθος ψυχῆς, καὶ τοσοῦτον ἐκέκτητο θεωρημάτων πλοῦτον Ἀρχιμήδης, ὥστ', ἐφ' οἷς ὄνομα καὶ δόξαν, οὐκ ἀνθρωπίνης, ἀλλὰ δαιμονίου τινὸς, ἔσχε συνέσεως, μηδὲν ἐθελῆσαι σύγγραμμα περὶ τούτων ἀπολιπεῖν, ἀλλὰ τὴν περὶ τὰ μηχανικὰ πραγματείαν, καὶ πᾶσαν ὅλως τέχνην χρείας ἐφαπτομένην ἀγεννῆ καὶ βάναυσον ἡγησάμενος, εἰς ἐκεῖνα καταθέσθαι μόνα τὴν αὐτοῦ φιλοτιμίαν, οἷς τὸ καλὸν καὶ περιττὸν ἀμιγὲς τοῦ ἀναγκαίου πρόσεστιν, ἀσύγκριτα μὲν ὄντα τοῖς ἄλλοις, ἔριν δὲ παρέχοντα πρὸς τὴν ὕλην τῇ ἀποδείξει, τῆς μὲν τὸ μέγεθος καὶ τὸ κάλλος, τῆς δὲ τὴν ἀκρίβειαν καὶ τὴν δύναμιν ὑπερφυῆ παρεχομένης. Οὐ γάρ ἐστιν ἐν γεωμετρίᾳ χαλεπωτέρας καὶ βαρυτέρας ὑποθέσεις ἐν ἁπλουστέροις λαβεῖν καὶ καθαρωτέροις στοιχείοις γραφομένας. Καὶ τοῦθ' οἱ μὲν εὐφυΐᾳ τοῦ ἀνδρὸς προσάπτουσιν, οἱ δὲ ὑπερβολῇ τινι πόνου νομίζουσιν

ἀπόνως πεποιημένῳ καὶ ῥᾳδίως ἕκαστον ἐοικὼς γεγονέναι. Ζητῶν μὲν γὰρ οὐκ ἄν τις εὕροι δι' αὐτοῦ τὴν ἀπόδειξιν, ἅμα δὲ τῇ μαθήσει παρίσταται δόξα τοῦ κἂν αὐτὸν εὑρεῖν· οὕτω λείαν ὁδὸν ἄγει καὶ ταχεῖαν ἐπὶ τὸ δεικνύμενον. Οὔκουν οὐδὲ ἀπιστῆσαι τοῖς περὶ αὐτοῦ λεγομένοις ἐστίν, ὡς ὑπ' οἰκείας δή τινος καὶ συνοίκου θελγόμενος ἀεὶ σειρῆνος, ἐλέλησο καὶ σίτου, καὶ θεραπείας σώματος ἐξέλειπε· βίᾳ δὲ πολλάκις ἑλκόμενος ἐπ' ἄλειμμα καὶ λουτρὸν, ἐν ταῖς ἐσχάραις ἔγραφε σχήματα τῶν γεωμετρικῶν, καὶ τοῦ σώματος ἀληλιμμένου διῆγε τῷ δακτύλῳ γραμμὰς, ὑπὸ ἡδονῆς μεγάλης κάτοχος ὢν καὶ μουσόληπτος ἀληθῶς. Πολλῶν δὲ καὶ καλῶν εὑρετὴς γεγονὼς, λέγεται τῶν φίλων δεηθῆναι καὶ τῶν συγγενῶν, ὅπως αὐτοῦ μετὰ τὴν τελευτὴν ἐπιστήσωσι τῷ τάφῳ τὸν περιλαμβάνοντα τὴν σφαῖραν ἐντὸς κύλινδρον· ἐπιγράψαντες τὸν λόγον τῆς ὑπεροχῆς τοῦ περιέχοντος στερεοῦ πρὸς τὸ περιεχόμενον.

III. Ἀρχιμήδης μὲν οὖν τοιοῦτος γενόμενος ἀήττητον ἑαυτόν τε καὶ τὴν πόλιν, ὅσον ἐφ' ἑαυτῷ, διεφύλαξε. Τῆς δὲ πολιορκίας διὰ μέσου Μάρκελλος εἶλε μὲν Μεγαρέας, πόλιν ἐν ταῖς παλαιοτάταις τῶν Σικελιωτίδων· εἶλε δὲ τὸ Ἱπποκράτους πρὸς Ἀκίλας στρατόπεδον, καὶ κατέκτεινεν ὑπὲρ ὀκτακισχιλίους, ἐπιπεσὼν χάρακα βαλλομένοις· ἐπέδραμε δὲ πολλὴν τῆς Σικελίας, καὶ πόλεις ἀπέστησε Καρχηδονίων, καὶ μάχαις ἐνίκησε πάσαις τοὺς ἀντιταχθῆναι τολμήσαντας. Χρόνῳ δὲ προϊόντι Δάμιππόν τινα Σπαρτιάτην ἐκ Συρακουσῶν λαβὼν ἐκπλέοντα αἰχμάλωτον, ἀξιούντων ἐπὶ λύτροις τῶν Συρακουσίων κομίσασθαι τὸν ἄνδρα, πολλάκις ὑπὲρ τούτου διαλεγόμενος καὶ συντιθέμενος, πύργον τινὰ κατεσκέψατο, φυλαττόμενον μὲν (οὐκ) ἀμελῶς, ἄνδρας δὲ δυνάμενον δέξασθαι κρύφα, τοῦ τείχους ἐπιβατοῦ παρ' αὐτὸν ὄντος. Ὡς οὖν τότε ὕψος ἐκ τοῦ πολλάκις προσιέναι καὶ διαλέγεσθαι πρὸς τὸν πύργον εἰκάσθη καλῶς, καὶ κλίμακες παρεσκευάσθησαν, ἑορτὴν

Ἀρτέμιδι τοὺς Συρακουσίους ἄγοντας, καὶ πρὸς οἶνον ὡρμημένους καὶ παιδιὰν, παραφυλάξας, ἔλαθεν οὐ μόνον τὸν πύργον κατασχών, ἀλλὰ καὶ κύκλῳ τὸ τεῖχος παρεμπλήσας ὅπλων, πρὶν ἡμέραν γενέσθαι, καὶ τὰ Ἑξάπυλα διακόψας. Ἀρχομένων δὲ κινεῖσθαι καὶ ταράττεσθαι τῶν Συρακουσίων πρὸς τὴν αἴσθησιν, ἅμα πανταχόθεν ταῖς σάλπιγξι χρῆσθαι κελεύσας, φυγὴν ἐποίησε πολλὴν καὶ φόβον, ὡς οὐδενὸς μέρους ἀναλώτου μένοντος. Ἔμεινε δὲ τὸ καρτερώτατον καὶ κάλλιστον καὶ μέγιστον (Ἀχραδινὴ καλεῖται), διὰ τὸ τετειχίσθαι πρὸς τὴν ἔξω πόλιν, ἧς τὸ μὲν Νέαν, τὸ δὲ Τύχην ὀνομάζουσι.

ΙΘ. Καὶ τούτων ἐχομένων, ἅμα φάει διὰ τῶν Ἑξαπύλων ὁ Μάρκελλος κατῆει, μακαριζόμενος ὑπὸ τῶν ὑφ' ἑαυτὸν ἡγεμόνων. Αὐτὸς μέντοι λέγεται, κατιδὼν ἄνωθεν καὶ περισκεψάμενος τῆς πόλεως τὸ μέγεθος καὶ τὸ κάλλος, ἐπὶ πολὺ δακρύσαι, καὶ τῷ μέλλοντι γίνεσθαι συμπαθῆσαι· ἐννοήσας, οἷον ἐξ οἵου σχῆμα καὶ μορφὴν ἀμείψει μετὰ μικρὸν, ὑπὸ τοῦ στρατοπέδου διαφορηθεῖσα. Τῶν γὰρ ἡγεμόνων οὐδεὶς μὲν ἦν ὁ τολμῶν ἐναντιοῦσθαι τοῖς στρατιώταις αἰτουμένοις δι' ἁρπαγῆς ὠφεληθῆναι· πολλοὶ δὲ καὶ πυρπολεῖν καὶ κατασκάπτειν ἐκέλευον. Ἀλλὰ τοῦτον μὲν οὐδὲ ὅλως προσήκατο τὸν λόγον ὁ Μάρκελλος· μάλα δὲ ἄκων βιασθεὶς ἔδωκεν ἀπὸ χρημάτων καὶ ἀνδραπόδων ὠφελεῖσθαι, τῶν δ' ἐλευθέρων σωμάτων ἀπεῖπεν ἅψασθαι, καὶ διεκελεύσατο μήτ' ἀποκτεῖναί τινα, μήτ' αἰσχύναι, μήτ' ἀνδραποδίσασθαι Συρακουσίων. Οὐ μὴν ἀλλὰ, καίπερ οὕτω μετριάσαι δόξας, οἰκτρὰ πάσχειν ἡγεῖτο τὴν πόλιν, καὶ τὸ συμπαθοῦν καὶ τὸ συναλγοῦν ὅμως ἐν τοσούτῳ μεγέθει χαρᾶς ἡ ψυχὴ διέφαινεν, ὁρῶντος ἐν βραχεῖ χρόνῳ πολλῆς καὶ λαμπρᾶς ἀφανισμὸν εὐδαιμονίας. Λέγεται γὰρ οὐκ ἐλάττονα τοῦτον, ἢ τὸν ὕστερον ἀπὸ Καρχηδόνος, διαφορηθέντα πλοῦτον γενέσθαι. Καὶ γὰρ τὴν ἄλλην πόλιν οὐ μετὰ πολὺν χρόνον ἁλοῦσαν ἐκ προδοσίας ἐβιάσαντο διαρπάσαι,

πλὴν τῶν βασιλικῶν χρημάτων· ταῦτα δ' εἰς τὸ δημόσιον ἐξηρέθη. Μάλιστα δὲ τὸ Ἀρχιμήδους πάθος ἠνίαστε Μάρκελλον· Ἔτυχε μὲν γὰρ αὐτός τι καθ' ἑαυτὸν ἀνασκοπῶν ἐπὶ διαγράμματος· καὶ τῇ θεωρίᾳ δεδωκὼς ἅμα τήν τε διάνοιαν καὶ τὴν πρόσοψιν, οὐ προήσθετο τὴν καταδρομὴν τῶν Ῥωμαίων, οὐδὲ τὴν ἅλωσιν τῆς πόλεως· ἄφνω δ' ἐπιστάντος αὐτῷ στρατιώτου καὶ κελεύοντος ἀκολουθεῖν πρὸς Μάρκελλον, οὐκ ἐβούλετο, πρὶν ἢ τελέσαι τὸ πρόβλημα καὶ καταστῆσαι πρὸς τὴν ἀπόδειξιν. Ὁ δὲ ὀργισθεὶς καὶ σπασάμενος τὸ ξίφος, ἀνεῖλεν αὐτόν. Ἕτεροι μὲν οὖν λέγουσιν, ἐπιστῆναι μὲν εὐθὺς, ὡς ἀποκτενοῦντα, ξιφήρη τὸν Ῥωμαῖον· ἐκεῖνον δὲ ἰδόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἀναμεῖναι βραχὺν χρόνον, ὡς μὴ καταλείπῃ τὸ ζητούμενον ἀτελὲς καὶ ἀθεώρητον· τὸν δ' οὐ φροντίσαντα διαχρήσασθαι. Καὶ τρίτος ἐστὶ λόγος, ὡς κομίζοντι πρὸς Μάρκελλον αὐτῷ τῶν μαθηματικῶν ὀργάνων, σκιόθηρα καὶ σφαίρας καὶ γωνίας, αἷς ἐναρμόττει τὸ τοῦ ἡλίου μέγεθος πρὸς τὴν ὄψιν, στρατιῶται περιτυχόντες, καὶ χρυσίον ἐν τῷ τεύχει δόξαντες φέρειν, ἀπέκτειναν. Ὅτι μέντοι Μάρκελλος ἤλγησε, καὶ τὸν αὐτόχειρα τοῦ ἀνδρὸς ἀπεσκάφη, καθάπερ ἐναγῆ, τοὺς δ' οἰκείους ἀνευρὼν ἐτίμησεν, ὁμολογεῖται.

Κ. Τῶν δὲ Ῥωμαίων τοῖς ἐκτὸς ἀνθρώποις δεινῶν μὲν εἶναι πόλεμον μεταχειρίσασθαι, καὶ φοβερῶν εἰς χεῖρας ἐλθεῖν νομιζομένων, εὐγνωμοσύνης δὲ καὶ φιλανθρωπίας, καὶ ὅλως πολιτικῆς ἀρετῆς ὑποδείγματα μὴ δεδωκότων, πρῶτος δοκεῖ τότε Μάρκελλος ὑποδεῖξαι τοῖς Ἕλλησι δικαιοτέρους Ῥωμαίους. Οὕτω γὰρ ἐχρῆτο τοῖς συμβάλλουσι, καὶ τοσαύτας πόλεις καὶ ἰδιώτας εὐεργέτησεν, ὥστ', εἴ τι περὶ Ἔνναν, ἢ Μεγαρεῖς, ἢ Συρακουσίους, ἔργον ἦν εἰργασμένον οὐκ ἐπιεικὲς αὐτοῖς, τοῦτο τῶν πεπονθότων αἰτίᾳ μᾶλλον, ἢ τῶν πεποιηκότων, δοκεῖν γεγονέναι. Μνησθήσομαι δ' ἑνὸς ἀπὸ πολλῶν. Πόλις ἐστὶ τῆς Σικελίας Ἐγγύϊον, οὐ μεγάλη, ἀρχαία δὲ πάνυ, καὶ διὰ θεῶν ἐπιφάνειαν ἔνδοξος,

ἀσκαλοῦσι Ματέρας. Ἵδρυμα λέγεται Κρητῶν γενέσθαι τὸ ἱερόν· καὶ λόγχας τινὰς ἐδείκνυσαν καὶ κράνη χαλκᾶ, τὰ μὲν ἔχοντα Μηριόνου, τὰ δὲ Ὀϊλίξου, τουτέστιν Ὀδυσσέως, ἐπιγραφάς, ἀνατεθεικότων ταῖς θεαῖς. Ταύτην, προθυμότατα καρχηδονιάζουσαν Νικίας, ἀνὴρ πρῶτος τῶν πολιτῶν, ἔπειθε μεταθέσθαι πρὸς Ῥωμαίους, ἀναφανδὸν ἐν ταῖς ἐκκλησίαις παῤῥησιαζόμενος, καὶ κακῶς φρονοῦντας ἐξελέγχων τοὺς ὑπεναντίους. Οἱ δὲ, φοβούμενοι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν, ἐβουλεύσαντο συναρπάσαι καὶ παραδοῦναι τοῖς Φοινίξιν. Αἰσθόμενος οὖν ὁ Νικίας ἤδη *καὶ *παραφυλαττόμενον ἀδήλως ἑαυτὸν, ἐξέφερεν ἐν φανερῷ λόγους περὶ τῶν Ματέρων ἀνεπιτηδείους, καὶ πολλὰ πρὸς τὴν νομιζομένην ἐπιφάνειαν καὶ δόξαν, ὡς ἀπιστῶν καὶ καταφρονῶν, ἔπραττεν· ἡδομένων τῶν ἐχθρῶν, ὅτι τὴν μεγίστην αἰτίαν αὐτὸς ἐφ' ἑαυτὸν, ὧν πείσεται, παρεῖχε. Γεγονότων δὲ τῶν πρὸς τὴν σύλληψιν ἑτοίμων, ἦν μὲν ἐκκλησία τῶν πολιτῶν· ὁ δὲ Νικίας μεταξύ τι λέγων καὶ συμβουλεύων πρὸς τὸν δῆμον, ἐξαίφνης ἀφῆκεν εἰς τὴν γῆν τὸ σῶμα· καὶ μικρὸν διαλιπών, οἷον εἰκὸς, ἡσυχίας σὺν ἐκπλήξει γενομένης, τὴν κεφαλὴν ἐπάρας καὶ περιενεγκών, ὑποτρόμῳ φωνῇ καὶ βαρείᾳ, κατὰ μικρὸν συντείνων καὶ παροξύνων τὸν ἦχον, ὡς ἐώρα φρίκῃ καὶ σιωπῇ κατεχόμενον τὸ θέατρον, ἀποῤῥίψας τὸ ἱμάτιον, καὶ περιῤῥηξάμενος τὸν χιτωνίσκον, ἡμίγυμνος ἀναπηδήσας, ἔθεε πρὸς τὴν ἔξοδον τοῦ θεάτρου, βοῶν ὑπὸ τῶν Ματέρων ἐλαύνεσθαι. Μηδενὸς δὲ τολμῶντος ἅψασθαι, μηδ' ἀπαντῆσαι διὰ δεισιδαιμονίαν, ἀλλ' ἐκτρεπομένων, ἐπὶ τὰς πύλας ἐξέδραμεν, οὔτε φωνῆς τινος, οὔτε κινήσεως πρεπούσης δαιμονῶντι καὶ παραφρονοῦντι φεισάμενος. Ἡ δὲ γυνὴ, συνειδυῖα καὶ συντεχνάζουσα τῷ ἀνδρὶ, λαβοῦσα τὰ παιδία, πρῶτον μὲν ἱκέτις προεκυλινδεῖτο τοῖς μεγάροις τῶν θεῶν, ἔπειτα πλανώμενον ἐκεῖνον προσποιουμένη ζητεῖν, κωλύοντος οὐδενὸς, ἀσφαλῶς ἀπῆλθεν ἐκ τῆς πόλεως. Καὶ διεσώθησαν μὲν

οὕτως εἰς Συρακούσας πρὸς Μάρκελλον. Ἐπεὶ δὲ πολλὰ τοὺς Ἐγγυίους ὑβρίσαντας καὶ πλημμελήσαντας ἐλθὼν Μάρκελλος ἔδητε πάντας, ὡς τιμωρησόμενος· ὁ δὲ Νικίας ἐδάκρυσε παρεσὼς, τέλος δὲ χειρῶν καὶ γονάτων ἁπτόμενος παρῃτεῖτο τοὺς πολίτας, ἀπὸ τῶν ἐχθρῶν ἀρξάμενος· ἐπικλασθεὶς ἀφῆκε πάντας, καὶ τὴν πόλιν οὐδὲν ἠδίκησε, τῷ δὲ Νικίᾳ χώραν τε πολλὴν καὶ δωρεὰς πολλὰς ἔδωκε. Ταῦτα μὲν οὖν Ποσειδώνιος ὁ φιλόσοφος ἱστόρησε.

ΚΑ. Τὸν δὲ Μάρκελλον ἀνακαλουμένων τῶν Ῥωμαίων ἐπὶ τὸν ἐγχώριον καὶ σύνοικον πόλεμον, ἐπανερχόμενος, τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἐν Συρακούσαις ἐκίνησεν ἀναθημάτων, ὡς αὐτῷ τε πρὸς τὸν θρίαμβον ὄψις εἴη καὶ τῇ πόλει κόσμος. Οὐδὲν γὰρ εἶχεν, οὐδ' ἐγίνωσκε πρότερον τῶν κομψῶν καὶ περιττῶν, οὐδ' ἦν ἐν αὐτῇ τὸ χάριεν τοῦτο καὶ γλαφυρὸν *καὶ* ἀγαπώμενον· ὅπλων δὲ βαρβαρικῶν καὶ λαφύρων ἐναίμων ἀνάπλεως οὖσα, καὶ περιεσεφανωμένη θριάμβων ὑπομνήμασι καὶ τροπαίοις, οὐχ ἱλαρὸν, οὐδ' ἄρρεν, οὐδὲ δειλῶν ἦν θέαμα καὶ τρυφώντων θεατῶν· ἀλλ' ὥσπερ Ἐπαμινώνδας τὸ Βοιώτιον πεδίον, Ἄρεως ὀρχήστραν, Ξενοφῶν δὲ τὴν Ἔφεσον, Πολέμου ἐργαστήριον, οὕτως ἄν μοι δοκεῖ τις τότε τὴν Ῥώμην, κατὰ Πίνδαρον, « Βαθυπολέμου τέμενος Ἄρεως » προσειπεῖν. Διὸ καὶ μᾶλλον εὐδοκίμησε παρὰ μὲν τῷ δήμῳ Μάρκελλος, ἡδονὴν ἐχούσαις καὶ χάριν Ἑλληνικὴν καὶ πιθανότητα διαποικίλας ὄψεσι τὴν πόλιν· παρὰ δὲ τοῖς πρεσβυτέροις Φάβιος Μάξιμος. Οὐδὲν γὰρ ἐκίνησε τοιοῦτον, οὐδὲ μετήνεγκεν ἐκ τῆς Ταραντίνων πόλεως ἁλούσης, ἀλλὰ τὰ μὲν ἄλλα χρήματα καὶ τὸν πλοῦτον ἐξεφόρησε, τὰ δ' ἀγάλματα μένειν εἴασεν, ἐπειπὼν τὸ μνημονευόμενον· Ἀπολείπωμεν γὰρ, ἔφη, τοὺς θεοὺς τούτους τοῖς Ταραντίνοις κεχολωμένους. Μάρκελλον δ' ᾐτιῶντο, πρῶτον μὲν, ὡς ἐπίφθονον ποιοῦντα τὴν πόλιν, οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν αἰχμαλώτων ἀγομένων ἐν αὐτῇ καὶ πομπευομένων· ἔπειτα ὅτι τὸν δῆμον εἰθισμένον πολεμεῖν, ἢ

γεωργεῖν, τρυφῆς δὲ καὶ ῥᾳθυμίας ἄπειρον ὄντα, καὶ, κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα,

Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,

σχολῆς ἐνέπλησε καὶ λαλιᾶς, περὶ τεχνῶν καὶ τεχνιτῶν ἀσεϊζόμενον, καὶ διατρίβοντα πρὸς τούτῳ πολὺ μέρος τῆς ἡμέρας. Οὐ μὴν ἀλλὰ τούτοις ἐσεμνύνετο καὶ πρὸς τοὺς Ἕλληνας, ὡς τὰ καλὰ καὶ τὰ θαυμαστὰ τῆς Ἑλλάδος οὐκ ἐπισαμένους τιμᾶν καὶ θαυμάζειν Ῥωμαίους διδάξας.

ΚΒ. Ἐνισαμένων δὲ τῶν ἐχθρῶν τῷ Μαρκέλλῳ πρὸς τὸν θρίαμβον, ἐπεὶ καὶ πράξεις τινὲς ὑπολιπεῖς ἦσαν ἔτι περὶ Σικελίαν, καὶ φθόνον εἶχεν ὁ τρίτος θρίαμβος, συνεχώρησεν αὐτοῖς τὸν μὲν ἐντελῆ καὶ μέγαν εἰς τὸ Ἀλβανὸν ὄρος ἐξελάσαι. τὸν δὲ ἐλάττω καταγαγεῖν εἰς τὴν πόλιν· ὃν Εὔαν Ἕλληνες, Ὄβαν δὲ Ῥωμαῖοι καλοῦσι. Πέμπει δ' αὐτὸν οὐκ ἐπὶ τοῦ τεθρίππου βεβηκώς, οὐδὲ δάφνης ἔχων στέφανον, οὐδὲ περισαλπιζόμενος, ἀλλὰ πεζὸς ἐν βλαύταις, ὑπ' αὐλητῶν μάλα πολλῶν, καὶ μυρρίνης στέφανον ἐπικείμενος, ὡς ἀπόλεμος, καὶ ἡδὺς ὀφθῆναι μᾶλλον, ἢ καταπληκτικός. Ὃ καὶ μέγιστον ἐμοὶ τεκμήριόν ἐστι τοῦ τρόπῳ πράξεως, ἀλλὰ μὴ μεγέθει, διωρίσθαι τοὺς θριάμβους τὸ παλαιόν. Οἱ μὲν γὰρ μετὰ μάχης καὶ φόνου τῶν πολεμίων ἐπικρατήσαντες, τὸν Ἄρειον ἐκεῖνον, ὡς ἔοικε, καὶ φοβερὸν εἰσῆγον, ὥσπερ ἐν τοῖς καθαρμοῖς τῶν στρατοπέδων εἰώθεσαν, δάφνῃ πολλῇ καταστέψαντες τὰ ὅπλα καὶ τοὺς ἄνδρας· τοῖς δὲ πολέμου μὲν μὴ δεηθεῖσι στρατηγοῖς, ὁμιλίᾳ δὲ καὶ πειθοῖ καὶ διὰ λόγου πάντα θεμένοις καλῶς, οἷον ἐπιπαιανίσαι τὴν ἀπόλεμον ταύτην καὶ πανηγυρικὴν ἀπεδίδου πομπὴν ὁ νόμος. Καὶ γὰρ ὁ αὐλὸς εἰρήνης μέλος· καὶ τὸ μύρτον Ἀφροδίτης φυτόν, ἣ μάλιστα θεῶν ἀπέχθεται βίᾳ καὶ πολέμοις. Ὄβας δ' οὐ παρὰ τὸν εὐασμόν, ὡς οἱ πολλοὶ νομίζουσιν, ὁ θρίαμβος οὗτος ὀνομάζεται (καὶ γὰρ ἐκεῖνον ἐφευάζοντες καὶ ᾄδοντες παραπέμπουσιν), ἀλλ' ὑφ' Ἑλ-

λήνων εἰς τὸ σύνθες αὐτοῖς παρῆκται τοὔνομα, πεπεισμένων ἅμα καὶ Διονύσῳ τι τῆς τιμῆς προσήκειν, ὃν Εὔϊον καὶ Θριάμβον ὀνομάζομεν. Οὐχ οὕτω δ' ἔχει τὸ ἀληθὲς, ἀλλ' ἐπὶ μὲν τῷ μεγάλῳ θριάμβῳ βουθυτεῖν πάτριον ἦν τοῖς στρατηγοῖς, ἐπὶ δὲ τούτῳ πρόβατον ἔθυον. Ὄβα δὲ τὰ πρόβατα Ῥωμαῖοι καλοῦσιν· ἐκ τούτου καὶ τὸνθρίαμβον Ὄβαν ὠνόμασαν. Ἄξιον δὲ καὶ τὸν Λακωνικὸν ἀποθεωρῆσαι νομοθέτην ὑπεναντίως τῷ Ῥωμαϊκῷ τάξαντα τὰς θυσίας. Θύει γὰρ ἐν Σπάρτῃ τῶν ἀποστρατήγων ὁ μὲν δι' ἀπάτης, ἢ πειθοῦς, ὃ βούλεται, διαπραξάμενος, βοῦν· ὁ δὲ δια μάχης, ἀλεκτρυόνα. Καίπερ γὰρ ὄντες πολεμικώτατοι, μείζονα καὶ μᾶλλον ἀνθρώπῳ πρέπουσαν ἡγοῦντο τὴν διὰ λόγου καὶ συνέσεως πρᾶξιν, ἢ τὴν μετὰ βίας καὶ ἀνδρείας. Ταῦτα μὲν οὖν ὅπως ἔχει σκοπεῖν πάρεστι.

ΚΓ. Τοῦ δὲ Μαρκέλλου τὸ τέταρτον ὑπατεύοντος, οἱ ἐχθροὶ τοὺς Συρακουσίους ἀνέπεισαν εἰς Ῥώμην ἀφικομένους κατηγορεῖν καὶ καταβοᾶν πρὸς τὴν σύγκλητον, ὡς δεινὰ καὶ παράσπονδα πεπονθότας. Ἔτυχε μὲν οὖν ἐν Καπιτωλίῳ θυσίαν τινὰ συντελῶν ὁ Μάρκελλος· ἔτι δὲ συγκαθεζομένῃ τῇ γερουσίᾳ τῶν Συρακουσίων προσπεσόντων, καὶ δεομένων λόγων τυχεῖν καὶ δίκης, ὁ μὲν συνάρχων ἐξεῖργεν αὐτοὺς, ἀγανακτῶν ὑπὲρ τοῦ Μαρκέλλου μὴ παρόντος. Ὁ δὲ Μάρκελλος εὐθὺς ἦκεν ἀκούσας· καὶ πρῶτον μὲν ἐπὶ τοῦ δίφρου καθίσας, ὡς ὕπατος ἐχρημάτιζεν. Ἔπειτα, τῶν ἄλλων τέλος ἐχόντων, καταβὰς ἀπὸ τοῦ δίφρου, καὶ καταστὰς, ὥσπερ ἰδιώτης, εἰς τὸν τόπον, ἐν ᾧ λέγειν εἰώθασιν οἱ κρινόμενοι, τοῖς Συρακουσίοις ἐλέγχειν αὐτὸν παρεῖχεν. Οἱ δὲ δεινῶς μὲν συνεταράχθησαν πρὸς τὸ ἀξίωμα καὶ τὸ πεποιθὸς τοῦ ἀνδρός· καὶ τὸ ἐν τοῖς ὅπλοις ἀνυπόστατον, ἔτι μᾶλλον ἐν τῇ περιπορφύρῳ φοβερὸν ἡγοῦντο καὶ δυσαντίβλεπτον. Οὐ μὴν ἀλλὰ *καὶ* παραθαῤῥυνόντων αὐτοὺς τῶν διαφερομένων πρὸς τὸν Μάρκελλον, ἤρξαντο τῆς κατηγορίας, καὶ διεξῆλθον ὀλοφυρμῷ τινι

τινι μεμιγμένην δικαιολογίαν· ἧς ἦν τὸ κεφάλαιον, ὅτι, σύμμαχοι καὶ φίλοι ὄντες Ῥωμαίοις, πεπόνθασιν, ἃ πολλοῖς τῶν πολεμίων ἕτεροι στρατηγοὶ μὴ παθεῖν ἐχαρίσαντο. Πρὸς ταῦτα ὁ Μάρκελλος ἔλεγεν, ὡς ἀντὶ πολλῶν, ὧν δεδράκασι Ῥωμαίους κακῶς, οὐδὲν πεπόνθασι, πλὴν ἃ πολέμῳ καὶ κατὰ κράτος ἁλόντας ἀνθρώπους κωλύσαι παθεῖν οὐ δυνατόν ἐστι· οὕτω δὲ ἁλῶναι δι' αὐτούς, πολλὰ προκαλουμένῳ πεισθῆναι μὴ ἐθελήσαντας. Οὐ γὰρ ὑπὸ τῶν τυράννων πολεμῆσαι βιασθέντας, ἀλλὰ κἀκείνους ἐπὶ τῷ πολεμεῖν ἑλέσθαι τυράννους. Λεχθέντων δὲ τῶν λόγων, καὶ μεθισταμένοις, ὥσπερ εἴωθεν, ἐκ τῆς βουλῆς τοῖς Συρακουσίοις συνεξῆλθε Μάρκελλος, ἐπὶ τῷ συνάρχοντι ποιησάμενος τὴν σύγκλητον· καὶ πρὸ τῶν θυρῶν τοῦ βουλευτηρίου διέτριβεν, οὔτε φόβῳ διὰ τὴν δίκην, οὔτε θυμῷ πρὸς τοὺς Συρακουσίους, τοῦ συνήθους μεταβαλὼν κατασήματος, ἀλλὰ πράως πάνυ καὶ κοσμίως τὸ τῆς δίκης τέλος ἐκδεχόμενος. Ἐπεὶ δὲ διηνέχθησαν αἱ γνῶμαι, καὶ νικῶν ἀπεδείχθη, προσπίπτουσιν αὐτῷ οἱ Συρακούσιοι, μετὰ δακρύων δεόμενοι τὴν ὀργὴν εἰς αὐτοὺς ἀφεῖναι τοὺς παρόντας, οἰκτεῖραι δὲ τὴν ἄλλην πόλιν, μεμνημένην ὧν ἔτυχεν ἀεὶ καὶ χάριν ἔχουσαν· ἐπικλασθεὶς οὖν ὁ Μάρκελλος, τούτοις τε διηλλάγη, καὶ τοῖς ἄλλοις Συρακουσίοις ἀεί τι πράττων ἀγαθὸν διετέλει. Καὶ τὴν ἐλευθερίαν, ἣν ἀπέδωκεν αὐτοῖς, καὶ τοὺς νόμους, καὶ τῶν κτημάτων τὰ περιόντα βέβαια παρέσχεν ἡ σύγκλητος. Ἀνθ' ὧν ἄλλας τε τιμὰς ὑπερφυεῖς ἔσχε παρ' αὐτοῖς, καὶ νόμον ἔθεντο τοιοῦτον, ὁπότ' ἂν ἐπιβῇ Σικελίας Μάρκελλος, ἢ τῶν ἐκγόνων τις αὐτοῦ, στεφανηφορεῖν Συρακουσίους, καὶ θύειν τοῖς θεοῖς.

ΚΔ. Τοὐντεῦθεν ἤδη τρέπεται πρὸς Ἀννίβαν, καὶ τῶν ἄλλων ὑπάτων καὶ ἡγεμόνων σχεδὸν ἁπάντων μετὰ τὰ ἐν Κάνναις ἐνὶ στρατηγήματι, τῷ φυγομαχεῖν, χρωμένων ἐπὶ τὸν ἄνδρα, παρατάττεσθαι δὲ καὶ συμπλέκεσθαι μηδενὸς τολμῶντος, αὐτὸς ἐπὶ

τὴν ἐναντίαν ὥρμησεν ὁδὸν οἰόμενος, τῷ δοκοῦντι καταλύειν Ἀννίβαν χρόνῳ, πρότερον ἐκτριβεῖσαν ὑπ' ἐκείνου λύεσθαι τὴν Ἰταλίαν· καὶ τὸν Φάβιον, ἀεὶ τῆς ἀσφαλείας ἐχόμενον, οὐκαλῶς ἐκείνης ἰᾶσθαι τὸ νόσημα, τῆς πατρίδος περιμένοντα τῇ ῥώμῃ μαραινομένῃ συναποσβῆναι τὸν πόλεμον, ὥσπερ ἰατρῶν τοὺς ἀτόλμους καὶ δειλοὺς πρὸς τὰ βοηθήματα, τῆς νόσου παρακμὴν (τὴν) τῆς δυνάμεως ἐξανάλωσιν ἡγουμένους. Πρῶτον μὲν οὖν τὰς Σαυνιτικὰς πόλεις μεγάλας ἀφεστώσας ἑλών, σῖτόν τε πολὺν ἀποκείμενον ἐν αὐταῖς, καὶ χρήματα, καὶ τοὺς φυλάσσοντας Ἀννίβου στρατιώτας, τρισχιλίους ὄντας, ἔλαβεν. Ἔπειτα τοῦ Ἀννίβου Φούλβιον Γναῖον ἀνθύπατον ἐν Ἀπουλίᾳ κατακτείναντος μὲν αὐτὸν σὺν ἕνδεκα χιλιάρχοις, κατακόψαντος δὲ τῆς στρατιᾶς τὸ πλεῖον, ἔπεμψεν εἰς Ῥώμην γράμματα, τοὺς πολίτας παρακαλῶν θαῤῥεῖν· αὐτὸς γὰρ ἤδη βαδίζειν, ὡς ἀφέλοιτο τὴν χαρὰν Ἀννίβου. Καὶ ταῦτα μὲν ὁ Λίβιός φησιν ἀναγνωσθέντα τὰ γράμματα μὴ τῆς λύπης ἀφελεῖν, ἀλλὰ τῷ φόβῳ προσθεῖναι· τῶν Ῥωμαίων μεῖζον ἡγουμένων τοῦ γεγονότος τὸ κινδυνευόμενον, ὅτῳ Φουλβίου κρείττων ἦν Μάρκελλος. Ὁ δ', ὥσπερ ἔγραψεν, εὐθὺς Ἀννίβαν διώκων εἰς τὴν Λευκανίαν ἐνέβαλε, καὶ περὶ πόλιν Νομίστρωνα καθήμενον ὑπὲρ λόφων ὀχυρῶν καταλαβών, αὐτὸς ἐν τῷ πεδίῳ κατεστρατοπέδευσε. Τῇ δ' ὑστεραίᾳ πρότερος εἰς μάχην παρατάξας τὸ στράτευμα, *καὶ* καταβάντος Ἀννίβου, συνέβαλε μάχην, κρίσιν οὐ λαβοῦσαν, ἰσχυρὰν δὲ καὶ μεγάλην γενομένην. Ἀπὸ γὰρ ὥρας τρίτης συμπεσόντες, ἤδη σκότους μόλις διέλυσαν. Ἅμα δ' ἡμέρᾳ προαγαγὼν αὖθις τὸ στράτευμα, παρέταξε διὰ τῶν νεκρῶν, καὶ προὐκαλεῖτο διαγωνίσασθαι περὶ τῆς νίκης τὸν Ἀννίβαν. Ἀναζεύξαντος δ' ἐκείνου, σκυλεύσας τοὺς πολεμίους νεκροὺς, καὶ θάψας τοὺς φίλους, ἐδίωκεν αὖθις· καὶ πολλὰς μὲν ὑφέντος ἐνέδρας, οὐδεμιᾷ περιπεσὼν, ἐν δὲ πᾶσι τοῖς ἀκροβολισμοῖς πλεῖον ἔχων, ἐθαυμάζετο·

Διὸ καὶ τῶν ἀρχαιρεσίων ἐπειγόντων, ἔδοξε τῇ βουλῇ μᾶλλον ἐκ Σικελίας τὸν ἕτερον ἀπάγειν ὕπατον, ἢ Μάρκελλον Ἀννίβᾳ συνηρτημένον κινεῖν. Ἐλθόντα δ' ἐκέλευεν εἰπεῖν Δικτάτωρα Κόϊντον Φούλβιον. Ὁ γὰρ Δικτάτωρ οὐκ ἔστιν ὑπὸ τοῦ πλήθους, οὐδὲ τῆς βουλῆς αἱρετὸς, ἀλλὰ τῶν ὑπάτων τις, ἢ τῶν στρατηγῶν, προελθὼν εἰς τὸν δῆμον, ὃν αὐτῷ δοκεῖ, λέγει δικτάτωρα. Καὶ διὰ τοῦτο Δικτάτωρ ὁ ῥηθεὶς καλεῖται· τὸ γὰρ λέγειν Δίκερε Ῥωμαῖοι καλοῦσιν. Ἔνιοι δὲ τὸν Δικτάτωρα, τῷ μὴ προτιθέναι ψῆφον, ἢ χειροτονίαν, ἀλλ' ἀφ' αὑτοῦ τὰ δόξαντα προστάττειν, οὕτως ὠνομάσθαι. Καὶ γὰρ τὰ διαγράμματα τῶν ἀρχόντων Ἕλληνες μὲν διατάγματα, Ῥωμαῖοι δ' Ἔδικτα προσαγορεύουσιν.

ΚΕ. Ἐπεὶ δ' ἐλθὼν ἀπὸ τῆς Σικελίας ὁ τοῦ Μαρκέλλου συνάρχων, ἕτερον ἐβούλετο λέγειν Δικτάτωρα, καὶ βιασθῆναι παρὰ γνώμην μὴ βουλόμενος, ἐξέπλευσε νυκτὸς εἰς Σικελίαν· οὕτως ὁ μὲν δῆμος ὠνόμασε Δικτάτωρα Κόϊντον Φούλβιον. Ἡ βουλὴ δ' ἔγραψε Μαρκέλλῳ κελεύουσα τοῦτον εἰπεῖν· ὁ δὲ πεισθεὶς ἀνεῖπε καὶ συνεπεκύρωσε τοῦ δήμου τὴν γνώμην· αὐτὸς δὲ πάλιν ἀνθύπατος εἰς τοὐπιὸν ἀπεδείχθη. Συνθέμενος δὲ πρὸς Φάβιον Μάξιμον, ὅπως ἐκεῖνος μὲν ἐπιχειρῇ Ταραντίνοις, αὐτὸς δὲ συμπλεκόμενος καὶ περιέλκων Ἀννίβαν, ἐμποδὼν ἢ τοῦ βοηθεῖν πρὸς ἐκεῖνον, ἐπέβαλε περὶ Κανύσιον, καὶ πολλὰς ἀλλάσσοντι στρατοπεδείας καὶ φυγομαχοῦντι πανταχόθεν ἐπεφαίνετο. Τέλος δ' ἱδρυθέντα προσκείμενος ἐξανίστη τοῖς ἀκροβολισμοῖς. Ὁρμήσαντος δὲ μάχεσθαι, δεξάμενος ὑπὸ νυκτὸς διελύθη· καὶ μεθ' ἡμέραν αὖθις ἐν τοῖς ὅπλοις ἐωρᾶτο τὸν στρατὸν ἔχων παρατεταγμένον, ὥστε τὸν Ἀννίβαν περιαλγῆ γενόμενον, τοὺς Καρχηδονίους ἀθροῖσαι, καὶ δεηθῆναι τὴν μάχην ἐκείνην ὑπὲρ πασῶν ἀγωνίσασθαι τῶν ἔμπροσθεν. « Ὁρᾶτε γὰρ (εἶπεν), ὡς οὐδ' ἀναπνεῦσαι μετὰ νίκας τοσαύτας, οὐδὲ σχολὴν ἄγειν κρατοῦσιν ἡμῖν

ἐσιν, εἰ μὴ τοῦτον ὠσαίμεθα τὸν ἄνθρωπον. » Ἐκ τούτου συμβαλόντες ἐμάχοντο. Καὶ δοκεῖ παρὰ τὸ ἔργον ἀκαίρῳ στρατηγήματι χρώμενος ὁ Μάρκελλος σφαλῆναι· τοῦ γὰρ δεξιοῦ πονοῦντος, ἐκέλευσεν (ἐν) τῶν ταγμάτων εἰς τὸ ὔμπροσθεν προελθεῖν. Ἡ δὲ μετακίνησις αὕτη παράξασα τοὺς μαχομένους, παρέδωκε τὸ νίκημα τοῖς πολεμίοις, ἑπτακοσίων ἐπὶ δισχιλίοις Ῥωμαίων πεσόντων. Ἀναχωρήσας δ' ὁ Μάρκελλος εἰς τὸν χάρακα, καὶ συναγαγὼν τὸν στρατὸν, ὁρᾷν ἔφη Ῥωμαίων ὅπλα πολλὰ καὶ σώματα, Ῥωμαῖον δὲ μηδένα ὁρᾷν. Αἰτουμένων δὲ συγγνώμην, οὐκ ἔφη διδόναι νενικημένοις, ἐὰν δὲ νικήσωσι, δώσειν· αὔριον δὲ μαχεῖσθαι πάλιν, ὅπως οἱ πολῖται τὴν νίκην πρότερον, ἢ τὴν φυγὴν, ἀκούσωσι. Διαλεχθεὶς δὲ ταῦτα, προσέταξε ταῖς ἡττημέναις σπείραις ἀντὶ πυρῶν κριθὰς μετρῆσαι. Δι' ἃ πολλῶν ἀπὸ τῆς μάχης ἐπικινδύνως καὶ πονήρως ἐχόντων, οὐδένα φασὶν, ὃν οἱ Μαρκέλλου λόγοι τῶν τραυμάτων οὐχὶ μᾶλλον ἤλγυναν.

Κς. Ἅμα δ' ἡμέρᾳ προὔκειτο μὲν ὁ φοινικοῦς χιτὼν, ὡς εἴωθε, μάχης ἐσομένης σύμβολον· αἱ δ' ἠτιμασμέναι σπεῖραι τὴν πρώτην, αὐταὶ δεηθεῖσαι, τάξιν ἐλάμβανον. Τὴν δ' ἄλλην ἐξάγοντες οἱ χιλίαρχοι στρατιὰν, παρενέβαλον. Ἀκούσας δ' ὁ Ἀννίβας· « Ὦ Ἡράκλεις (εἶπε), τί χρήσεταί τις ἀνθρώπῳ μήτε τὴν χείρονα τύχην, μήτε τὴν βελτίονα φέρειν εἰδότι; μόνος γὰρ οὗτος οὐδὲ νικῶν δίδωσιν ἀνάπαυσιν, οὔτε λαμβάνει νικώμενος· ἀλλ' ἀεὶ μαχησόμεθα πρὸς τοῦτον, ὡς ἔοικεν, ᾧ τοῦ τολμᾶν ἀεὶ καὶ τὸ θαῤῥεῖν εὐτυχοῦντι, καὶ σφαλλομένῳ τὸ αἰδεῖσθαι, πρόφασίς ἐσιν. » Ἐκ τούτου συνῆσαν αἱ δυνάμεις, καὶ τῶν ἀνδρῶν ἴσα φερομένων, ἐκέλευσεν Ἀννίβας τὰ θηρία καταστήσαντας εἰς πρώτην τάξιν, ἐπάγειν τοῖς ὅπλοις τῶν Ῥωμαίων. Ὠθισμοῦ δὲ μεγάλου καὶ ταραχῆς εὐθὺς ἐν τοῖς πρώτοις γενομένης, εἷς τῶν χιλιάρχων, ὄνομα Φλάβιος, ἁναρπάσας σημαίαν, ὑπηντίαζε, καὶ τῷ ςύρακι τὸν πρῶτον ἐλέφαντα τύπτων ἀπέστρεφεν. Ὁ δ' ἐμβαλὼν

εἰς τὸν ὀπίσω, συνετάραξε καὶ τοῦτον καὶ τοὺς ἐπιφερομένους. Κατιδὼν δὲ τοῦτο Μάρκελλος, ἐκέλευσε τοὺς ἱππεῖς ἐλαύνειν ἀνὰ κράτος πρὸς τὸ θορυβούμενον, καὶ ποιεῖν ἔτι μᾶλλον αὐτοῖς περιπετεῖς τοὺς πολεμίους. Οὗτοι δὲ δὴ λαμπρῶς ἐμβαλόντες ἀνέκοπτον ἄχρι τοῦ στρατοπέδου τοὺς Καρχηδονίους· καὶ τῶν θηρίων τὰ κτεινόμενα καὶ πίπτοντα τὸν πλεῖστον αὐτῶν φόνον ἀπεργάζετο. Λέγονται γὰρ ὑπὲρ ὀκτακισχιλίους ἀποθανεῖν· Ῥωμαίων δὲ νεκροὶ μὲν ἐγένοντο τρισχίλιοι, τραυματίαι δ' ὀλίγου δεῖν ἅπαντες. Καὶ τοῦτο παρέσχεν Ἀννίβᾳ καθ' ἡσυχίαν ἀναστάντι νυκτὸς, ἅραι πορρώτατω τοῦ Μαρκέλλου. Διώκειν γὰρ οὐκ ἦν δυνατὸς ὑπὸ πλήθους τῶν τετρωμένων· ἀλλὰ κατὰ σχολὴν εἰς Καμπανίαν ἀνέζευξε, καὶ τὸ θέρος ἐν Σινοέσσῃ διῆγεν ἀναλαμβάνων τοὺς στρατιώτας.

ΚΖ. Ὁ δὲ Ἀννίβας, ὡς ἀπέῤῥηξεν ἑαυτὸν τοῦ Μαρκέλλου, χρώμενος ὥσπερ λελυμένῳ τῷ στρατεύματι, πᾶσαν ἀδεῶς ἐν κύκλῳ περιιὼν ἔφλεγε τὴν Ἰταλίαν· καὶ κακῶς ἤκουσεν ἐν Ῥώμῃ Μάρκελλος. Οἱ δ' ἐχθροὶ Πουβλίκιον Βίβλον, ἕνα τῶν δημάρχων, ἀνέσησαν ἐπὶ τὴν κατηγορίαν αὐτοῦ, δεινὸν εἰπεῖν ἄνδρα καὶ βίαιον· ὃς πολλάκις συναγαγὼν τὸν δῆμον, ἔπειθεν ἄλλῳ παραδοῦναι στρατηγῷ τὴν δύναμιν· « Ἐπεὶ Μάρκελλος (ἔφη), μικρὰ τῷ πολέμῳ προσγεγυμνασμένος, ὥσπερ ἐκ παλαίστρας ἐπὶ θερμὰ λουτρὰ θεραπεύσων ἑαυτὸν τέτραπται. » Ταῦτα πυνθανόμενος ὁ Μάρκελλος, ἐπὶ μὲν τοῦ στρατοπέδου τοὺς πρεσβευτὰς ἀπέλιπεν, αὐτὸς δὲ πρὸς τὰς διαβολὰς ἀπολογησόμενος εἰς Ῥώμην ἐπανῆλθεν. Ἐκ δὲ τῶν διαβολῶν ἐκείνων δίκην εὗρε παρεσκευασμένην ἐπ' αὐτόν. Ἡμέρας οὖν ὁρισθείσης, καὶ τοῦ δήμου συνελθόντος εἰς τὸν Φλαμίνιον ἱππόδρομον, ὁ μὲν Βίβλος ἀναβὰς κατηγόρησεν· ὁ δὲ Μάρκελλος ἀπελογεῖτο, βραχέα μὲν καὶ ἁπλᾶ δι' ἑαυτοῦ· πολλὴν δὲ καὶ λαμπρὰν οἱ δοκιμώτατοι καὶ πρῶτοι τῶν πολιτῶν παῤῥησίαν ἦγον, παρακαλοῦντες μὴ χείρονας τοῦ πο-

λεμίου κριτὰς φανῆναι, δειλίαν Μαρκέλλου κατηψηφισαμένους, ὃν μόνον φεύγει τῶν ἡγεμόνων ἐκεῖνος, καὶ διατελεῖ τούτῳ μὴ μάχεσθαι στρατηγῶν, ὡς τοῖς ἄλλοις μάχεσθαι. Ῥηθέντων δὲ τῶν λόγων τούτων, τοσοῦτον ἡ τῆς δίκης ἐλπὶς ἐψεύσατο τὸν κατήγορον, ὥστε μὴ μόνον ἀφεθῆναι τῶν αἰτιῶν τὸν Μάρκελλον, ἀλλὰ καὶ τὸ πέμπτον ὕπατον ἀποδειχθῆναι.

ΚΗ. Παραλαβὼν δὲ τὴν ἀρχὴν, πρῶτον μὲν ἐν Τυρρηνίᾳ μέγα κίνημα πρὸς ἀπόστασιν ἔπαυσε, καὶ κατεπράϋνεν ἐπελθὼν τὰς πόλεις· ἔπειτα ναὸν ἐκ τῶν Σικελικῶν λαφύρων ᾠκοδομημένον ὑπ' αὐτοῦ Δόξης καὶ Ἀρετῆς καθιερῶσαι βουλόμενος, καὶ κωλυθεὶς ὑπὸ τῶν ἱερέων, οὐκ ἀξιούντων ἐνὶ ναῷ δύο θεοὺς περιέχεσθαι, πάλιν ἤρξατο προσοικοδομεῖν ἕτερον, οὐ ῥᾳδίως φέρων τὴν γεγενημένην ἀντίκρουσιν, ἀλλ' ὥσπερ οἰωνιζόμενος. Καὶ γὰρ ἄλλα πολλὰ σημεῖα διετάραττεν αὐτὸν, ἱερῶν τινων κεραυνώσεις, καὶ μύες τὸν ἐν Διὸς χρυσὸν διαφαγόντες· ἐλέχθη δὲ καὶ βοῦν ἀνθρώπου φωνὴν ἀφεῖναι, καὶ παιδίον ἔχον κεφαλὴν ἐλέφαντος γενέσθαι, καὶ περιγενέσθαι· (καὶ) περὶ τὰς ἐκθύσεις καὶ ἀποτροπὰς δυσιεροῦντες οἱ μάντεις κατεῖχον αὐτὸν ἐν Ῥώμῃ σπαργῶντα καὶ φλεγόμενον. Οὐδεὶς γὰρ ἔρωτα τοσοῦτον ἠράσθη πράγματος οὐδενὸς, ὅσον οὗτος ἀνὴρ τοῦ μάχῃ κριθῆναι πρὸς Ἀννίβαν. Τοῦτο καὶ νύκτωρ ὄνειρον ἦν αὐτῷ, καὶ μετὰ φίλων καὶ συναρχόντων ἐν βουλευμα, καὶ μία πρὸς θεοὺς φωνὴ, παρατατόμενον Ἀννίβαν λαβεῖν. Ἤδισα δ' ἄνμοι δοκεῖ, τείχους ἐντὸς, ἢ τινος χάρακος, ἀμφοτέροις τοῖς στρατεύμασι περιτεθέντος, διαγωνίσασθαι· καὶ εἰ μὴ πολλῆς μὲν ἤδη μεσὸς ὑπῆρχε δόξης, πολλὴν δὲ πεῖραν παρεσχήκει τοῦ παρ' ὀντινοῦν τῶν στρατηγῶν ἐμβριθὴς γεγονέναι καὶ φρόνιμος, εἶπον ἄν, ὅτι μειρακιῶδές τι αὐτῷ προσπέπτωκε καὶ φιλοτιμότερον πάθος, ἢ κατὰ πρεσβύτην τοσοῦτον. Ὑπὲρ γὰρ ἑξήκοντα γεγονὼς ἔτη τὸ πέμπτον ὑπάτευεν.

ΚΘ. Οὐ μὴν ἀλλὰ θυσιῶν καὶ καθαρμῶν, ὧν ὑπηγόρευον

οἱ μάντεις, γενομένων, ἐξῆλθε μετὰ τοῦ συνάρχοντος ἐπὶ τὸν πόλεμον, καὶ πολλὰ μεταξὺ Βαντίας πόλεως καὶ Βενυσίας καθήμενος, ἠρέθιζε τὸν Ἀννίβαν. Ὁ δὲ εἰς μάχην μὲν οὐ κατέβαινεν, αἰσθόμενος δὲ πεμπομένην ὑπ' αὐτῶν στρατιὰν ἐπὶ Λοκροὺς τοὺς Ἐπιζεφυρίους, κατὰ τὸν περὶ Πετηλίαν λόφον, ὑφεὶς ἐνέδρας, πεντακοσίους καὶ δισχιλίους ἀπέκτεινε. Τοῦτο Μάρκελλον ἐξέφερε τῷ θυμῷ πρὸς τὴν μάχην, καὶ προσῆγεν ἄρας ἐγγυτέρω τὴν δύναμιν. Ἦν δὲ μεταξὺ τῶν στρατοπέδων λόφος, ἐπιεικῶς μὲν εὐερκής, ὕλης δὲ παντοδαπῆς ἀνάπλεως· εἶχε δὲ καὶ σκοπὰς περικλινεῖς ἐπ' ἀμφότερα, καὶ ναμάτων ὑπεφαίνοντο πηγαὶ καταῤῥεόντων. Ἐθαύμαζον οὖν οἱ Ῥωμαῖοι Ἀννίβαν, ὅτι πρῶτος ἑλὼν εὐφυᾶ τόπον οὕτως, οὐ κατέσχεν, ἀλλ' ἀπέλιπε τοῖς πολεμίοις. Τῷ δ' ἄρα καλὸν μὲν ἐνστρατοπεδεῦσαι τὸ χωρίον ἐφαίνετο, πολὺ δὲ κρεῖττον ἐνεδρεῦσαι· καὶ πρὸς τοῦτο μᾶλλον αὐτῷ χρῆσθαι βουλόμενος, ἐνέπλησε τὴν ὕλην καὶ τὰς κοιλάδας ἀκοντιστῶν τε πολλῶν καὶ λογχοφόρων, πεπεισμένος ἐπάξεσθαι δὶ εὐφυΐαν αὐτὰ τὰ χωρία τοὺς Ῥωμαίους. Οὐδ' ἀπεψεύσθη τῆς ἐλπίδος· εὐθὺς γὰρ ἦν πολὺς ἐν τῷ στρατοπέδῳ τῶν Ῥωμαίων λόγος, ὡς χρὴ τὸ χωρίον καταλαμβάνειν· καὶ διεστρατήγουν ὅσα πλεονεκτήσουσι τοὺς πολεμίους, μάλιστα μὲν ἐκεῖ στρατοπεδεύσαντες, εἰ δὲ μή, τειχίσαντες τὸν λόφον. Ἔδοξεν οὖν τῷ Μαρκέλλῳ μετ' ὀλίγων ἱππotῶν ἐπελάσαντι κατασκέψασθαι. Καὶ λαβὼν τὸν μάντιν, ἐθύετο, καὶ τοῦ πρώτου πεσόντος ἱερείου, δείκνυσιν αὐτῷ τὸ ἧπαρ οὐκ ἔχον κεφαλὴν ὁ μάντις. Ἐπιθυσαμένου δὲ τὸ δεύτερον, ἥ τε κεφαλὴ μέγεθος ὑπερφυὲς ἀνέσχε, καὶ τἄλλα φαιδρὰ θαυμαστῶς διεφάνη, καὶ λύσιν ἔχειν ὁ τῶν πρώτων φόβος ἔδοξεν. Οἱ δὲ μάντεις ταῦτα μᾶλλον ἔφασαν δεδιέναι, καὶ ταράττεσθαι· λαμπροτάτων γὰρ ἐπ' αἰσχίοις καὶ σκυθρωποτάτοις ἱεροῖς γενομένων, ὕποπτον εἶναι τῆς μεταβολῆς τὴν ἀτοπίαν. Ἀλλὰ γὰρ

Τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδαροῦν σχίσει τεῖχος,

κατὰ Πίνδαρον. Ἐξήει οὖν τόν τε συνάρχοντα Κρισπῖνον παραλαβὼν, καὶ τὸν υἱὸν χιλιαρχοῦντα, καὶ τοὺς σύμπαντας ἱππεῖς, εἴκοσι καὶ διακοσίους. Ὧν Ῥωμαῖος οὐδεὶς ἦν, ἀλλ' οἱ μὲν ἄλλοι Τυρρηνοί, τεσσαράκοντα δὲ Φρεγελλάνοι, πεῖραν ἀρετῆς καὶ πίστεως ἀεὶ τῷ Μαρκέλλῳ δεδωκότες. Ὑλώδους δὲ τοῦ λόφου καὶ συνηρεφοῦς ὄντος, ἀνὴρ καθήμενος ἄνω σκοπὴν εἶχε, τοῖς πολεμίοις αὐτὸς οὐ συνορώμενος, καθορῶν δὲ τῶν Ῥωμαίων τὸ στρατόπεδον. Καὶ τὰ γινόμενα τούτου φράσαντος τοῖς λοχῶσι, προσελαύνοντα τὸν Μάρκελλον ἐάσαντες ἐγγὺς προσελθεῖν, ἐξαίφνης ἀνέστησαν, καὶ περιχυθέντες ἅμα πανταχόθεν, ἠκόντιζον, ἔπαιον, ἐδίωκον τοὺς φεύγοντας, συνεπλέκοντο τοῖς ὑφισαμένοις. Οὗτοι δ' ἦσαν οἱ τεσσαράκοντα Φρεγελλάνοι. Καὶ τῶν Τυρρηνῶν εὐθὺς ἐν ἀρχῇ διατρεσάντων, αὐτοὶ συσραφέντες ἠμύνοντο πρὸ τῶν ὑπάτων· ἄχρις οὗ Κρισπῖνος μὲν ἀκοντίσμασι δυσὶ βεβλημένος, ἐπέστρεψεν εἰς φυγὴν τὸν ἵππον, Μάρκελλον δέ τις λόγχῃ πλατείᾳ διὰ τῶν πλευρῶν διήλασεν, ἣν Λαγκίαν καλοῦσιν. Οὕτω δὲ καὶ τῶν Φρεγελλάνων οἱ περιόντες ὀλίγοι παντάπασιν αὐτὸν μὲν πεσόντα λείπουσι, τὸν δ' υἱὸν ἁρπάσαντες τετρωμένον, φεύγουσιν ἐπὶ τὸ στρατόπεδον. Ἐγένοντο δὲ νεκροὶ μὲν οὐ πολλῷ τῶν τεσσαράκοντα πλείους, αἰχμάλωτοι δὲ τῶν μὲν ῥαβδούχων πέντε, τῶν δ' ἱππέων εἴκοσι, δυεῖν δέοντες. Ἐτελεύτησε δὲ καὶ Κρισπῖνος ἐκ τῶν τραυμάτων, οὐ πολλὰς ἡμέρας ἐπιβιώσας. Καὶ πάθος τοῦτο Ῥωμαίοις συνέπεσε πρότερον οὐ γεγονὸς, ἀμφοτέρους ἐξ ἑνὸς ἀγῶνος τοὺς ὑπάτους ἀποθανεῖν.

Α. Ἀννίβᾳ δὲ τῶν μὲν ἄλλων ἐλάχιστος ἦν λόγος, Μάρκελλον δὲ πεπτωκέναι πυθόμενος, αὐτὸς ἐξέδραμεν ἐπὶ τὸν τόπον, καὶ τῷ νεκρῷ παρασὰς, καὶ πολὺν χρόνον τὴν τε ῥώμην τοῦ σώματος καταμαθὼν, καὶ τὸ εἶδος, οὔτε φωνὴν ἀφῆκεν ὑπερήφανον, οὔτ' ἀπ' ὄψεως τὸ χαῖρον, ὡς ἄντις ἐργώδη πολέμιον καὶ βαρὺν ἀπεκτονὼς, ἐξέφηνεν· ἀλλ' ἐπιθαυμάσας τὸ παράλογον τῆς τελευ-

τῆς, τὸν μὲν δακτύλιον ἀφείλετο, τὸ δὲ σῶμα κοσμήσας πρέποντι κόσμῳ, καὶ περισείλας ἐντίμως, ἔκαυσε· καὶ τὰ λείψανα συνθεὶς εἰς κάλπην ἀργυρᾶν καὶ χρυσοῦν ἐμβαλὼν στέφανον, ἀπέστειλε πρὸς τὸν υἱόν. Τῶν δὲ Νομάδων τινὲς περιτυχόντες τοῖς κομίζουσιν, ὥρμησαν ἁφαιρεῖσθαι τὸ τεῦχος· ἀντιλαμβανομένων δ' ἐκείνων, ἐκβιαζόμενοι καὶ μαχόμενοι διέῤῥιψαν τὰ ὀστᾶ. Πυθόμενος δ' Ἀννίβας, καὶ πρὸς τοὺς παρόντας εἶπών· « Οὐδὲν ἄρα δυνατὸν γενέσθαι ἄκοντος θεοῦ· » τοῖς μὲν Νομάσιν ἐπέθηκε δίκην, οὐκέτι δὲ κομιδῆς, ἢ συλλογῆς τῶν λειψάνων ἐφρόντισεν, ὡς δὴ κατὰ θεόν τινα καὶ τῆς τελευτῆς καὶ τῆς ἀταφίας παραλόγως οὕτω τῷ Μαρκέλλῳ γενομένης. Ταῦτα μὲν οὖν οἱ περὶ Κορνήλιον Νέπωτα καὶ Οὐαλέριον Μάξιμον ἱστόρησαν· Αἴβιος δὲ καὶ Καῖσαρ ὁ Σεβαστὸς κομισθῆναι τὴν ὑβρίαν πρὸς τὸν υἱὸν εἰρήκασι, καὶ ταφῆναι λαμπρῶς. Ἦν δὲ ἀνάθημα Μαρκέλλου, δίχα τῶν ἐν Ῥώμῃ, γυμνάσιον μὲν ἐν Κατάνῃ τῆς Σικελίας· ἀνδριάντες δὲ καὶ πίνακες τῶν ἐκ Συρακουσῶν, ἔντε Σαμοθράκῃ παρὰ τοῖς θεοῖς, οὓς Καβείρους ὀνόμαζον, καὶ περὶ Λίνδον, ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς. Ἐκεῖ δ' αὐτοῦ τῷ ἀνδριάντι τοῦτ' ἦν ἐπιγεγραμμένον, ὡς Ποσειδώνιος φησὶ, τὸ ἐπίγραμμα·

Οὗτός τοι Ῥώμης ὁ μέγας, ξένε, πατρίδος ἀστὴρ,
Μάρκελλος κλεινῶν Κλαύδιος ἐκ πατέρων.
Ἑπτάκι τὰν ὑπάταν ἀρχὰν ἐν Ἄρηϊ φυλάξας,
Καὶ πολὺν ἀντιπάλων ἐγκατέχευε φόνον.

Τὴν γὰρ ἀνθύπατον ἀρχὴν, ἣν δὶς ἦρξε, ταῖς πέντε προσκατηρίθμησεν ὑπατείαις ὁ τὸ ἐπίγραμμα ποιήσας. Γένος δ' αὐτοῦ λαμπρὸν ἄχρι Μαρκέλλου, τοῦ Καίσαρος ἀδελφιδοῦ, διέτεινεν, ὃς Ὀκτάβιας ἦν, τῆς Καίσαρος ἀδελφῆς, υἱὸς, ἐκ Γαΐου Μαρκέλλου γεγονώς. Ἀγορανομῶν δὲ Ῥωμαίων, ἐτελεύτησε νυμφίος, Καίσαρος θυγατρὶ χρόνον οὐ πολὺν συνοικήσας. Εἰς δὲ τιμὴν αὐτοῦ καὶ μνήμην Ὀκταβία μὲν ἡ μήτηρ τὴν βιβλιοθήκην ἀνέθηκε, Καῖσαρ δὲ θέατρον, ἐπιγράψας Μαρκέλλου.

ΠΕΛΟΠΙΔ. ΚΑΙ ΜΑΡΚΕΛΛΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Ὅσα μὲν οὖν ἔδοξεν ἡμῖν ἀναγραφῆς ἄξια τῶν ἱστορημένων περὶ Μαρκέλλου καὶ Πελοπίδου, ταῦτά ἐστι. Τῶν δὲ κατὰ τὰς φύσεις καὶ τὰ ἤθη κοινοτήτων, ὥσπερ ἐφαμίλλων οὐσῶν (καὶ γὰρ ἀνδρεῖοι καὶ φιλόπονοι καὶ θυμοειδεῖς καὶ μεγαλόφρονες ἀμφότεροι γεγόνασιν), ἐκεῖνο δόξειεν ἂν διαφορὰν ἔχειν μόνον, ὅτι Μάρκελλος μὲν ἐν πολλαῖς πόλεσιν ὑποχειρίοις γενομέναις σφαγὰς ἐποίησεν, Ἐπαμινώνδας δὲ καὶ Πελοπίδας οὐδένα πώποτε κρατήσαντες ἀπέκτειναν, οὐδὲ πόλεις ἠνδραποδίσαντο. Λέγονται δὲ Θηβαῖοι μηδ' Ὀρχομενίους ἂν οὕτω μεταχειρίσασθαι παρόντων ἐκείνων. Ἐν δὲ ταῖς πράξεσι, θαυμαστὰ μὲν καὶ μεγάλα τοῦ Μαρκέλλου τὰ πρὸς Κελτούς, ὡσαμένου τοσοῦτον πλῆθος ἱππέων ὁμοῦ καὶ πεζῶν, ὀλίγοις τοῖς περὶ αὐτὸν ἱππεῦσιν, ὃ ῥᾳδίως ὑφ' ἑτέρου στρατηγοῦ γεγονὸς οὐχ ἱσόρηται, καὶ τὸν ἄρχοντα τῶν πολεμίων ἀνελόντος· ἐν ᾧ τρόπῳ Πελοπίδας ἔπταισεν, ὁρμήσας ἐπὶ ταὐτά, προαναιρεθεὶς δ' ὑπὸ τοῦ τυράννου, καὶ παθὼν πρότερον, ἢ δράσας. Οὐ μὴν ἀλλὰ τούτοις μέν ἔστι παραβαλεῖν τὰ Λεῦκτρα καὶ Τεγύρας, ἐπιφανέστατους καὶ μεγίστους ἀγώνων. Κρυφαίῳ δὲ σὺν λόχῳ κατωρθωμένην πρᾶξιν οὐκ ἔχομεν τοῦ Μαρκέλλου παραβαλεῖν, οἵαν Πελοπίδας περὶ τὴν ἐκ φυγῆς κάθοδον, καὶ ἀναίρεσιν τῶν ἐν Θήβαις τυράννων ἔπραξεν. Ἀλλ' ἐκεῖνο πολὺ πάντων ἔοικε πρωτεύειν τῶν ὑπὸ σκότῳ καὶ δι' ἀπάτης γεγενημένων τὸ ἔργον. Ἀννίβας φοβερὸς μὲν καὶ δεινὸς ἐνέκειτο Ῥωμαίοις, ὥσπερ ἀμέλει Λακεδαιμόνιοι τότε Θηβαίοις· ἐνδοῦναι μέντοι τού-

τους Πελοπίδᾳ καὶ περὶ Τεγύρας καὶ περὶ Λεῦκτρα βέβαιόν ἐστιν. Ἀννίβαν δὲ Μάρκελλος, ὡς μὲν οἱ περὶ Πολύβιον λέγουσιν, οὐδ' ἅπαξ ἐνίκησεν, ἀλλ' ἀήττητος ἀνὴρ δοκεῖ διαγενέσθαι μέχρι Σκιπίωνος. Ἡμεῖς δὲ Λιβίῳ, Καίσαρι, καὶ Νέπωτι, καὶ τῶν Ἑλληνικῶν τῷ βασιλεῖ Ἰόβᾳ πιστεύομεν, ἥττας τινὰς καὶ τροπὰς ὑπὸ Μαρκέλλου τῶν σὺν Ἀννίβᾳ γενέσθαι. Μεγάλην δ' αὗται ῥοπὴν οὐδεμίαν ἐποίησαν· ἀλλ' ἔοικε ψευδόπτωμά τι γενέσθαι περὶ τὸν Λίβυν ἐν ταῖς συμπλοκαῖς ἐκείναις. Ὃ δὴ κατὰ λόγον καὶ προσηκόντως ἐθαυμάσθη, μετὰ τοσαύτας τροπὰς στρατοπέδων, καὶ φόνους στρατηγῶν, καὶ σύγχυσιν ὅλης ὁμοῦ τῆς Ῥωμαίων ἡγεμονίας, εἰς ἀντίπαλα τῷ θαρρεῖν καθισταμένων. Ὁ γὰρ ἐκ πολλοῦ τοῦ πάλαι περιδεοῦς καὶ καταπεπληγότος, αὖθις ἐμβαλὼν τῷ στρατεύματι ζῆλον καὶ φιλονεικίαν πρὸς τοὺς πολεμίους, καὶ τοῦτο δὴ τὸ μὴ ῥᾳδίως τῆς νίκης ἀφιέμενον, ἀλλὰ καὶ ἀμφισβητοῦν καὶ φιλοτιμούμενον ἐπάρας καὶ θαρρύνας, εἷς ἀνὴρ ἦν, Μάρκελλος. Εἰθισμένους γὰρ ὑπὸ τῶν συμφορῶν, εἰ φεύγοντες ἐκφύγοιεν Ἀννίβαν, ἀγαπᾶν, ἐδίδαξεν αἰσχύνεσθαι σωζομένους μεθ' ἥττης, αἰδεῖσθαι δὲ παρὰ μικρὸν ἑνδόντας, ἀλγεῖν δὲ μὴ κρατήσαντας.

Β. Ἐπεὶ τοίνυν Πελοπίδας μὲν οὐδεμίαν ἥττήθη μάχην στρατηγῶν, Μάρκελλος δὲ πλείστας τῶν καθ' αὑτὸν Ῥωμαίων ἐνίκησε, δόξειεν ἂν ἴσως τῷ δυσνικήτῳ πρὸς τὸ ἀήττητον ὑπὸ πλήθους τῶν κατωρθωμένων ἐπανισοῦσθαι. Καὶ μὴν οὗτος μὲν εἷλε Συρακούσας, ἐκεῖνος δὲ τῆς Λακεδαιμονίων ἀπέτυχεν. Ἀλλ' οἶμαι μεῖζον εἶναι τοῦ καταλαβεῖν Σικελίαν, τὸ τῇ Σπάρτῃ προσελθεῖν, καὶ διαβῆναι πρῶτον ἀνθρώπων πολέμῳ τὸν Εὐρώταν. Εἰ μὴ νὴ Δία τοῦτο μὲν φήσει τις τὸ ἔργον Ἐπαμινώνδᾳ μᾶλλον, ἢ Πελοπίδᾳ, προσήκειν, ὥσπερ καὶ τὰ Λεῦκτρα· τῶν δὲ Μαρκέλλῳ διαπεπραγμένων ἀκοινώνητον εἶναι τὴν δόξαν. Καὶ γὰρ Συρακούσας μόνος εἷλε, καὶ Κελτοὺς ἄνευ τοῦ συνάρχοντος

ἐτρέψατο· καὶ πρὸς Ἀννίβαν, μηδενὸς συλλαμβάνοντος, ἀλλὰ καὶ πάντων ἀποτρεπόντων, ἀντιταξάμενος, καὶ μεταβαλὼν τὸ σχῆμα τοῦ πολέμου, πρῶτος ἡγεμὼν τοῦ τολμᾶν κατέστη.

Γ. Τὴν τοίνυν τελευτὴν ἐπαινῶ μὲν οὐδετέρου τῶν ἀνδρῶν· ἀλλ' ἀνιῶμαι καὶ ἀγανακτῶ τῷ παραλόγῳ τοῦ συμπτώματος. Καὶ θαυμάζω μὲν, ἐν μάχαις τοσαύταις, ὅσας ἀποκάμοι τις ἂν καταριθμῶν, μηδὲ τρωθέντα τὸν Ἀννίβαν· ἄγαμαι δὲ καὶ τὸν ἐν τῇ Παιδείᾳ Χρυσάνταν, ὃς διηρμένος κοπίδα, καὶ παίειν μέλλων πολέμιον, ὡς ὑπεσήμηνεν ἡ σάλπιγξ ἀνακλητικὸν, ἀφεὶς τὸν ἄνδρα, μάλα πράως καὶ κοσμίως ἀνεχώρησεν· Οὐ μὴν ἀλλὰ τὸν Πελοπίδαν ποιεῖ συγγνωστὸν, ἅμα τῷ τῆς μάχης καιρῷ παράθερμον ὄντα, καὶ πρὸς τὴν ἄμυναν οὐκ ἀγεννῶς ἐκφέρων ὁ θυμός. Ἄριστον μὲν γὰρ νικῶντα σώζεσθαι τὸν στρατηγὸν, εἰ δὲ θανεῖν (θέμις, θανεῖν) εἰς ἀρετὴν καταλύσαντα βίον, ὡς Εὐριπίδης φησίν. Οὕτω γὰρ οὐ πάθος, ἀλλὰ πρᾶξις γίνεται τοῦ τελευτήσαντος ὁ θάνατος. Πρὸς δὲ τῷ θυμῷ τοῦ Πελοπίδου καὶ τὸ τέλος αὐτὸ τὸ τῆς νίκης ἐν τῷ πεσεῖν τὸν τύραννον ὁρώμενον, οὐ παντάπασιν ἀλόγως ἐπεσπάσατο τὴν ὁρμήν. Χαλεπὸν γὰρ ἑτέρας οὕτω καλὴν καὶ λαμπρὰν ἐχούσης ὑπόθεσιν ἀρετῆς ἐπιλαβέσθαι. Μάρκελλος δὲ, μήτε χρείας μεγάλης ἐπικειμένης, μήτε τοῦ παρὰ τὰ δεινὰ πολλάκις ἐξισάντος τὸν λογισμὸν ἐνθουσιασμοῦ παρεσῶτος, ὡσάμενος ἀπερισκέπτως εἰς κίνδυνον, οὐ στρατηγοῦ πτῶμα, προδρόμου δέ τινος, ἢ κατασκόπου πέπτωκεν, ὑπατείας πέντε, καὶ τρεῖς θριάμβους, καὶ σκῦλα, καὶ τροπαιοφορίας ἀπὸ βασιλέων, τοῖς προαποθνήσκουσι Καρχηδονίων Ἴβηρσι καὶ Νομάσιν ὑποβαλών. Ὥστε νεμεσῆσαι αὐτοὺς ἐκείνους ἑαυτοῖς τοῦ κατορθώματος, ἄνδρα Ῥωμαίων ἄριστον ἀρετῇ, καὶ δυνάμει μέγιστον, καὶ δόξῃ λαμπρότατον, ἐν τοῖς Φρεγελλάνων προδιερευνηταῖς παραναλῶσθαι. Χρὴ δὲ ταῦτα μὴ κατηγορίαν εἶναι τῶν ἀνδρῶν νομίζειν, ἀλλ' ὡς ἀγανάκτησίν τινα καὶ παῤῥησίαν ὑπὲρ αὐτῶν

ἐκείνων πρὸς αὐτοὺς καὶ ἀνδρείαν αὐτῶν, εἰς ἣν τὰς ἄλλας κατανάλωσαν ἀρετὰς, ἀφειδήσαντες τοῦ βίου καὶ τῆς ψυχῆς, ὥσπερ ἑαυτοῖς, οὐ ταῖς πατρίσι μᾶλλον καὶ φίλοις καὶ συμμάχοις, ἀπολλυμένων. Μετὰ δὲ τὸν θάνατον Πελοπίδας μὲν τοὺς συμμάχους ταφεῖς ἔσχεν, ὑπὲρ ὧν ἀπέθανε· Μάρκελλος δὲ τοὺς πολεμίους, ὑφ' ὧν ἀπέθανε. Ζηλωτὸν μὲν οὖν ἐκεῖνο καὶ μακάριον· κρεῖττον δὲ καὶ μεῖζον εὐνοίας χάριν ἀμειβομένης, ἔχθρα λυποῦσαν ἀρετὴν θαυμάζουσα. Τὸ γὰρ καλὸν ἐνταῦθα τὴν τιμὴν ἔχει μόνον· ἐκεῖ δὲ τὸ λυσιτελὲς καὶ ἡ χρεία μᾶλλον ἀγαπᾶται τῆς ἀρετῆς.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΠΛΟΥΤΑΡΧΟΥ ΑΡΙΣΤΕΙΔΗΣ.

Ἀριστείδης ὁ Λυσιμάχου, φυλῆς μὲν ἦν Ἀντιοχίδος, τὸν δὲ δῆμον Ἀλωπεκῆθεν. Περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος, καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γεγενημένας. Πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ Σωκράτει, χωρίον τε Φαληροῖ φησὶ γινώσκειν Ἀριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται. Καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας, ἓν μὲν ἡγεῖται, τὴν ἐπώνυμον ἀρχήν, ἣν ἦρξε τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς Πεντακοσιομεδίμνους προσηγόρευον· ἕτερον δὲ, τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων τε μεγάλων, καὶ διὰ γένους ὄγκον ἐπιφθόνων, ὄστρακον ἐπιφέρεσθαι· τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς τρίποδας ἐν Διονύσου κατέλιπεν, οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο, τοιαύτην ἐπιγραφὴν διασώζοντες· « Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε. » Τοῦτο μὲν οὖν, καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν ἐστι. Καὶ γὰρ Ἐπαμινώνδας, ὃν πάντες ἄνθρωποι γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα, καὶ Πλάτων ὁ φιλόσοφος, οὐκ ἀφιλοτίμους ἀνεδέξαντο χορηγίας, ὁ μὲν αὐλητῇσ ἀνδράσιν, ὁ δὲ παισὶ κυκλίοις χορηγήσας· τούτῳ μὲν Δίωνος τοῦ Συρακουσίου τὴν δαπάνην παρέχοντος, Ἐπαμινώνδᾳ δὲ τῶν περὶ Πελοπίδαν. Οὐ γάρ ἐστι τοῖς ἀγαθοῖς ἀκήρυκτος καὶ ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος· ἀλλὰ τὰς εἰς ἀπόθεσιν καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι καὶ ταπεινὰς, ὅσαι φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται καὶ λαμπρό-

τητος, οὐκ ἀπωθοῦνται. Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον. Ἀπὸ γὰρ τῶν Περσικῶν εἰς τὴν τελευτὴν τοῦ Πελοποννησιακοῦ πολέμου δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι νικῶντας· ὧν οὐδέτερον εἶναι τῷ Λυσιμάχου τὸν αὐτὸν, ἀλλὰ τὸν μὲν, Ξενοφίλου πατρὸς, τὸν δὲ, χρόνῳ πολλῷ νεώτερον· ὡς ἐλέγχει τὰ γράμματα τῆς μετ' Εὐκλείδην ὄντα γραμματικῆς, καὶ προσγεγραμμένος Ἀρχέστρατος, ὃν ἐν τοῖς Μηδικοῖς οὐδείς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι. Τὸ μὲν οὖν τοῦ Παναιτίου βέλτιον ἐπισκεπτέον ὅπως ἔχει. Τῷ δ' ὀρθῶς πᾶς ὁ διὰ δόξαν, ἢ γένος, ἢ λόγου δύναμιν, ὑπὲρ τοὺς πολλοὺς νομιζόμενος ὑπέπιπτεν. Ὅπου καὶ Δάμων, ὁ Περικλέους διδάσκαλος, ὅτι τῷ φρονεῖν ἐδόκει τις εἶναι περιττὸς, ἐξωστρακίσθη. Καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς, οὐ κυαμευτὸν, ἀλλ' ἑλομένων Ἀθηναίων φησίν. Εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε, καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι δι' ἀρετὴν, ἧς διὰ πλοῦτον ἐτύγχανον οἱ λαγχάνοντες. Ἀλλὰ γὰρ ὁ Δημήτριος, οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτη, δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος, ὡς μεγάλου κακοῦ. Καὶ γὰρ ἐκείνῳ φησὶν οὐ μόνον γῆν οἰκείαν ὑπάρχειν, ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.

Β. Ἀριστείδης δὲ, Κλεισθένους μὲν τοῦ καταστησαμένου τὴν πολιτείαν μετὰ τοὺς τυράννους ἑταῖρος γενόμενος, ζηλώσας δὲ καὶ θαυμάσας μάλιστα τῶν πολιτικῶν ἀνδρῶν Λυκοῦργον τὸν Λακεδαιμόνιον, ἥψατο μὲν ἀριστοκρατικῆς πολιτείας, ἔσχε δ' ἀντιτασσόμενον ὑπὲρ τοῦ δήμου Θεμιστοκλέα τὸν Νεοκλέους. Ἔνιοι μὲν οὖν φασιν, αὐτοὺς παῖδας ὄντας καὶ συντρεφομένους ἀπ' ἀρχῆς ἐν παντὶ καὶ σπουδῇ ἐχομένῳ καὶ παιδιᾶς πράγματι

καὶ

καὶ λόγῳ διαφέρεσθαι πρὸς ἀλλήλους· καὶ τὰς φύσεις εὐθὺς ὑπὸ τῆς φιλονεικίας ἐκείνης ἀνακαλύπτεσθαι· καὶ τὴν μὲν εὐχερῆ καὶ παράβολον καὶ πανοῦργον οὖσαν, καὶ μετ' ὀξύτητος ἐπὶ πάντα ῥᾳδίως φερομένην, τὴν δ' ἱδρυμένην ἐν ἤθει βεβαίῳ καὶ πρὸς τὸ δίκαιον ἀτενῆ, ψεῦδος δὲ καὶ βωμολοχίαν καὶ ἀπάτην οὐδ' ἐν παιδιᾶς τινι τρόπῳ προσιεμένην. Ἀρίστων δ' ὁ Χῖος ἐξ ἐρωτικῆς ἀρχῆς γενέσθαι φησὶ, καὶ προελθεῖν ἐπὶ τοσοῦτον τὴν ἔχθραν αὐτῶν. Στησίλεω γὰρ, ὃς ἦν γένει Κεῖος, ἰδέᾳ τε καὶ μορφῇ σώματος πολὺ τῶν ἐν ὥρᾳ λαμπρότατος, ἀμφοτέρους ἐρασθέντας, οὐ μετρίως ἐνεγκεῖν τὸ πάθος, οὐδ' ἅμα λήγοντι τῷ κάλλει τοῦ παιδὸς ἀποθέσθαι τὴν φιλονεικίαν, ἀλλ' ὥσπερ ἐγγυμνασαμένους ἐκείνῃ, πρὸς τὴν πολιτείαν εὐθὺς ὁρμῆσαι διαπύρους ὄντας καὶ διαφόρως ἔχοντας. Ὁ μὲν οὖν Θεμιστοκλῆς εἰς ἑταιρείαν ἐμβαλὼν ἑαυτὸν, εἶχε πρόβλημα καὶ δύναμιν οὐκ εὐκαταφρόνητον, ὥσε καὶ πρὸς τὸν εἰπόντα, καλῶς αὐτὸν ἄρξειν Ἀθηναίων, ἄνπερ ἴσος ᾖ καὶ κοινὸς ἅπασι· Μηδέποτ', εἶπεν, εἰς τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον, ἐν ᾧ πλέον οὐδὲν ἕξουσιν οἱ φίλοι παρέμοι τῶν ἀλλοτρίων. Ἀριστείδης δὲ καθ' ἑαυτὸν ὥσπερ ὁδὸν ἰδίαν ἐβάδιζε διὰ τῆς πολιτείας· πρῶτον μὲν, οὐ βουλόμενος συναδικεῖν τοῖς ἑταίροις, ἢ λυπηρὸς εἶναι μὴ χαριζόμενος· ἔπειτα τὴν ἀπὸ τῶν φίλων δύναμιν οὐκ ὀλίγους ὁρῶν ἐπαίρουσαν ἀδικεῖν, ἐφυλάττετο, μόνῳ τῷ χρηστὰ καὶ δίκαια πράττειν καὶ λέγειν ἀξιῶν θαῤῥεῖν τὸν ἀγαθὸν πολίτην.

Γ. Οὐ μὴν ἀλλὰ, πολλὰ κινουμένου τοῦ Θεμιστοκλέους παραβόλως, καὶ πρὸς πᾶσαν αὐτῷ πολιτείαν ἐνισαμένου καὶ διακόπτοντος, ἠναγκάζετό που καὶ αὐτὸς, τὰ μὲν ἀμυνόμενος, τὰ δὲ κολούων τὴν ἐκείνου δύναμιν, χάριτι τῶν πολλῶν αὐξομένην, ὑπεναντιοῦσθαι οἷς ἔπραττεν ὁ Θεμιστοκλῆς· βέλτιον ἡγούμενος παρελθεῖν ἔνια τῶν συμφερόντων τῷ δήμῳ, ἢ τῷ κρατεῖν ἐκεῖνον ἐν πᾶσιν, ἰσχυρὸν γενέσθαι. Τέλος δέ ποτε τοῦ Θεμιστοκλέους

πράττοντός τι τῶν δεόντων, ἀντικρούσας καὶ περιγενόμενος, οὐ κατέσχεν, ἀλλ' εἶπεν ἀπὸ τῆς ἐκκλησίας ἀπιών, ὡς οὐκ ἔστι σωτηρία τοῖς Ἀθηναίων πράγμασιν, εἰ μὴ καὶ Θεμιστοκλέα καὶ αὐτὸν εἰς τὸ βάραθρον ἐμβάλοιεν. Πάλιν δὲ γράψας τινὰ γνώμην εἰς τὸν δῆμον, ἀντιλογίας οὔσης πρὸς αὐτὴν καὶ φιλονεικίας, ἐκράτει· μέλλοντος δὲ τοῦ προέδρου τὸν δῆμον ἐπερωτᾶν, αἰσθόμενος ἐκ τῶν λόγων αὐτῶν τὸ ἀσύμφορον, ἀπέστη τοῦ ψηφίσματος. Πολλάκις δὲ καὶ δι' ἑτέρων εἰσέφερε τὰς γνώμας, ὡς μὴ φιλονεικίᾳ τῇ πρὸς αὐτὸν ὁ Θεμιστοκλῆς ἐμπόδιος εἴη τῷ συμφέροντι. Θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς ἡ εὐσάθεια, μήτε ταῖς τιμαῖς ἐπαιρομένου, πρός τε τὰς δυσμενείας ἀθορύβως καὶ πράως ἔχοντος, καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτὸν, οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης προῖκα καὶ ἀμισθὶ πολιτευόμενον. Ὅθεν, ὡς ἔοικε, τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θεάτρῳ λεγομένων·

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
Ἀφ' ἧς τὰ κεφνὰ βλαστάνει βουλεύματα·

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

Δ. Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν δικαίων ἀντιβῆναι. Λέγεται γοῦν ποτε διώκων ἐχθρὸν ἐν δικαστηρίῳ, μετὰ τὴν κατηγορίαν οὐ βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτὸν, ἀναπηδήσας τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων. Πάλιν δὲ κρίνων ἰδιώταις δυσὶ, τοῦ ἑτέρου λέγοντος, ὡς πολλὰ τυγχάνειν τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπηκώς· Λέγ', ὦ 'γαθὲ, φάναι, μᾶλλον, εἴτι σε κακὸν πεποίηκε· σοὶ γὰρ, οὐκ ἐμαυτῷ,

ΔΕΣΜΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΕΚ ΤΩΝ ΤΟΥ ΦΟΥΛΒΙΟΥ ΟΥΡΣΙΝΟΥ.

Σελίδ. 348 Τομ. Π

δικάζω. Τῶν δὲ δημοσίων προσόδων αἱρεθεὶς ἐπιμελητὴς, οὐ μόνον τοὺς καθ' αὑτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε πολλὰ νενοσφισμένους, καὶ μάλιστα τὸν Θεμιστοκλέα·

Σοφὸς γὰρ ἀνὴρ, τῆς δὲ χειρὸς οὐ κρατῶν.

Διὸ καὶ συναγαγὼν πολλοὺς ἐπὶ τὸν Ἀριστείδην, ἐν ταῖς εὐθύναις διώκων κλοπῆς καταδίκῃ περιέβαλεν, ὥς φησιν Ἰδομενεύς. Ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ βελτίστων, οὐ μόνον ἀφείθη τῆς ζημίας, ἀλλὰ καὶ πάλιν ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη. Προσποιούμενος δὲ τῶν προτέρων μεταμέλειν αὐτῷ, καὶ μαλακώτερον ἐνδιδοὺς ἑαυτὸν, ἤρεσκε τοῖς τὰ κοινὰ κλέπτουσιν, οὐκ ἐξελέγχων, οὐδ' ἀκριβολογούμενος, ὥσε καταπιμπλαμένους τῶν δημοσίων, ὑπερεπαινεῖν τὸν Ἀριστείδην, καὶ δεξιοῦσθαι τὸν δῆμον ὑπὲρ αὐτοῦ σπουδάζοντας ἄρχοντα πάλιν αἱρεθῆναι. Μελλόντων δὲ χειροτονεῖν, ἐπετίμησε τοῖς Ἀθηναίοις· « Ὅτε μὲν γὰρ (ἔφη) πιστῶς καὶ καλῶς ὑμῖν ἤρξα, προυπηλακίσθην· ἐπεὶ δὲ πολλὰ τῶν κοινῶν καταπροΐμαι τοῖς κλέπτουσι, θαυμαστὸς εἶναι δοκῶ πολίτης. Αὐτὸς μὲν οὖν αἰσχύνομαι τῇ νῦν τιμῇ μᾶλλον, ἢ τῇ πρώην καταδίκῃ· συνάχθομαι δ' ὑμῖν, παρ' οἷς ἐνδοξότερόν ἐστι τοῦ σώζειν τὰ δημόσια, τὸ χαρίζεσθαι τοῖς πονηροῖς.» Ταῦτα δ' εἰπὼν, καὶ τὰς κλοπὰς ἐξελέγξας, τοὺς μὲν τότε βοῶντας καὶ μαρτυρομένους ὑπὲρ αὐτοῦ κατεσόμισε, τὸν δ' ἀληθινὸν καὶ δίκαιον ἀπὸ τῶν βελτίστων ἔπαινον εἶχεν.

Ε. Ἐπεὶ δὲ Δάτις ὑπὸ Δαρείου πεμφθεὶς, λόγῳ μὲν, ἐπιθεῖναι δίκην Ἀθηναίοις, ὅτι Σάρδεις ἐνέπρησαν, ἔργῳ δὲ, καταστρέψασθαι τοὺς Ἕλληνας, εἰς Μαραθῶνα παντὶ τῷ στόλῳ κατέσχε καὶ τὴν χώραν ἐπόρθει, τῶν δέκα καθεστώτων τοῖς Ἀθηναίοις ἐπὶ τὸν πόλεμον στρατηγῶν, μέγιστον μὲν εἶχεν ἀξίωμα Μιλτιάδης, δόξῃ δὲ καὶ δυνάμει δεύτερος ἦν Ἀριστείδης· καὶ τότε περὶ τῆς μάχης γνώμῃ τῇ Μιλτιάδου προσθέμενος, οὐ μικρὰν ἐποίησε ῥοπήν· καὶ

παρ' ἡμέραν ἑκάστου στρατηγοῦ τὸ κράτος ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχή, παρέδωκε Μιλτιάδῃ, διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν οὐκ αἰσχρὸν, ἀλλὰ σεμνόν ἐστι καὶ σωτήριον. Οὕτω δὲ πραΰνας τὴν φιλονεικίαν, καὶ προτρεψάμενος αὐτοὺς ἀγαπᾷν μιᾷ γνώμῃ τῇ κρατίστῃ χρωμένους, ἔρρωσε τὸν Μιλτιάδην, τῷ ἀπερισπάστῳ τῆς ἐξουσίας ἰσχυρὸν γενόμενον. Χαίρειν γὰρ ἐῶν ἕκαστος ἤδη τὸ παρ' ἡμέραν ἄρχειν, ἐκείνῳ προσεῖχεν. Ἐν δὲ τῇ μάχῃ, μάλιστα τῶν Ἀθηναίων τοῦ μέσου πονήσαντος, καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων ἀντερεισάντων κατὰ Λεοντίδα καὶ Ἀντιοχίδα φυλήν, ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ' ἀλλήλους ὅ τε Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης. Ὁ μὲν γὰρ Λεοντίδης ἦν, ὁ δ' Ἀντιοχίδης. Ἐπεὶ δὲ τρεψάμενοι τοὺς βαρβάρους ἐνέβαλον εἰς τὰς ναῦς, καὶ πλέοντας οὐκ ἐπὶ νήσων ἑώρων, ἀλλ' ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάσσης εἴσω πρὸς τὴν Ἀττικὴν ἀποβιαζομένους, φοβηθέντες, μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων, ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ, καὶ κατήνυσαν αὐθημερόν. Ἐν δὲ Μαραθῶνι μετὰ τῆς ἑαυτοῦ φυλῆς Ἀριστείδης ἀπολειφθεὶς φύλαξ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων, οὐκ ἐψεύσατο τὴν δόξαν· ἀλλὰ, χύδην μὲν ἀργυρίου καὶ χρυσοῦ παρόντος, ἐσθῆτος δὲ παντοδαπῆς καὶ χρημάτων ἄλλων ἀμυθήτων ἐν ταῖς σκηναῖς καὶ τοῖς ἡλωκόσι σκάφεσιν ὑπαρχόντων, οὔτ' αὐτὸς ἐπεθύμησε θιγεῖν, οὔτ' ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες ὑπελήθησαν· ὧν ἦν καὶ Καλλίας ὁ δᾳδοῦχος. Τούτῳ γάρ τις, ὡς ἔοικε, τῶν βαρβάρων προσέπεσεν, οἰηθεὶς βασιλέα διὰ τὴν κόμην καὶ τὸ σχῆμα εἶναι· προσκυνήσας δὲ καὶ λαβόμενος τῆς δεξιᾶς, ἔδειξε πολὺν χρυσὸν ἐν λάκκῳ τινὶ κατορωρυγμένον. Ὁ δὲ Καλλίας, ὠμότατος ἀνθρώπων καὶ παρανομώτατος γενόμενος, τὸν μὲν χρυσὸν ἀνείλετο, τὸν δ' ἄνθρωπον, ὡς μὴ κατείποι πρὸς ἑτέρους, ἀπέκτεινεν. Ἐπὶ τούτου φασὶ καὶ Λακκοπλούτους ὑποκωμικῶν

τοὺς ἀπὸ τῆς οἰκίας λέγεσθαι, σκωπτόντων εἰς τὸν τόπον, ἐν ᾧ τὸ χρυσίον ὁ Καλλίας εὗρεν. Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. Καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος, ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου, μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. Ἐν δὲ ταῖς ἀναγραφαῖς, μετὰ μὲν Ξανθιππίδην, ἐφ' οὗ Μαρδόνιος ἡττήθη Πλαταιᾶσιν, οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἐστι· μετὰ δὲ Φάνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.

ς. Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε, διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. Ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τὸν Δίκαιον. Ὁ τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐζήλωσεν· ἀλλὰ Πολιορκηταί, καὶ Κεραυνοί, καὶ Νικάτορες, ἔνιοι δ' Ἀετοὶ καὶ Ἱέρακες ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον, ἢ τὴν ἀπὸ τῆς ἀρετῆς, δόξαν ἀγαπῶντες. Καίτοι τὸ θεῖον, ᾧ γλίχονται συνοικειοῦν καὶ συναφομοιοῦν αὑτούς, τρισὶ δοκεῖ διαφέρειν, ἀφθαρσίᾳ, καὶ δυνάμει, καὶ ἀρετῇ· ὧν σεμνότατον ἡ ἀρετὴ καὶ θειότατόν ἐστι. Ἀφθάρτῳ μὲν γὰρ εἶναι καὶ τῷ κενῷ καὶ τοῖς στοιχείοις συμβέβηκε· δύναμιν δὲ σεισμοὶ καὶ κεραυνοί, καὶ πνευμάτων ὁρμαὶ, καὶ ῥευμάτων ἐπιφοραὶ μεγάλην ἔχουσι· δίκης δὲ καὶ θέμιδος οὐδενὶ ὅτι μὴ τῷ φρονεῖν καὶ λογίζεσθαι τὸ θεῖον μεταλαγχάνει. Δι' ὃ καὶ τριῶν ὄντων, ἃ πεπόνθασιν οἱ πολλοὶ πρὸς τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς, ζηλοῦν μὲν αὐτοὺς καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον καὶ ἀΐδιον, ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι κατὰ τὸ κύριον καὶ δυνατὸν, ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην. Ἀλλὰ, καίπερ οὕτω διακείμενοι, τῆς μὲν ἀθανασίας, ἣν ἡ φύσις ἡμῶν οὐ δέχεται, καὶ τῆς δυνάμεως, ἧς ἐν τῇ τύχῃ κεῖται τὸ πλεῖον, ἐπιθυμοῦσι· τὴν δ' ἀρετὴν, ὃ μόνον ἐστὶ τῶν θείων

ἀγαθὸν ἐφ' ἡμῖν, ἐν ὑστέρῳ τίθενται· κακῶς φρονοῦντες, ὡς τὸν ἐν δυνάμει καὶ τύχῃ μεγάλῃ καὶ ἀρχῇ βίον ἡ μὲν δικαιοσύνη ποιεῖ θεῖον, ἡ δ' ἀδικία θηριώδη.

Ζ. Τῷ δ' οὖν Ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν, ὕστερον φθονεῖσθαι, μάλιστα μὲν τοῦ Θεμιστοκλέους λόγον εἰς τοὺς πολλοὺς ἐμβαλόντος, ὡς Ἀριστείδης ἀνηρηκὼς τὰ δικαστήρια τῷ κρίνειν ἅπαντα καὶ δικάζειν, λέληθε μοναρχίαν ἀδορυφόρητον ἑαυτῷ κατεσκευασμένος. Ἤδη δέ που καὶ ὁ δῆμος ἐπὶ τῇ νίκῃ μέγα φρονῶν, καὶ τῶν μεγίστων ἀξιῶν αὑτόν, ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. Καὶ συνελθόντες εἰς ἄγυ πανταχόθεν, ἐξοστρακίζουσι τὸν Ἀριστείδην, ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον τυραννίδος θέμενοι. Μοχθηρίας γὰρ οὐκ ἦν κόλασις ὁ ἐξοστρακισμός· ἀλλ' ἐκαλεῖτο μὲν, δι' εὐπρέπειαν, ὄγκου καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλασις· ἦν δὲ φθόνου παραμυθία φιλάνθρωπος, εἰς ἀνήκεστον οὐδὲν, ἀλλ' εἰς μετάστασιν ἐτῶν δέκα τὴν πρὸς τὸ λυποῦν ἀπειλουμένου δυσμένειαν. Ἐπεὶ δ' ἤρξαντό τινες ἀνθρώπους ἀγεννεῖς καὶ πονηροὺς ὑποβάλλειν τῷ πράγματι, τελευταῖον ἁπάντων Ὑπέρβολον ἐξοστρακίσαντες, ἐπαύσαντο. Λέγεται δὲ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι διὰ τοιαύτην αἰτίαν. Ἀλκιβιάδης καὶ Νικίας, μέγιστον ἐν τῇ πόλει δυνάμενοι, διεστασίαζον. Ὡς οὖν ὁ δῆμος ἔμελλεν ἐκφέρειν τὸ ὄστρακον, καὶ δῆλος ἦν τὸν ἕτερον γράψων, διαλεχθέντες ἀλλήλοις, καὶ τὰς στάσεις ἑκατέρας εἰς ταὐτὸ συναγαγόντες, τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι παρεσκεύασαν. Ἐκ δὲ τούτου δυσχεράνας ὁ δῆμος ὡς καθυβρισμένον τὸ πρᾶγμα καὶ προπεπηλακισμένον, ἀφῆκε παντελῶς καὶ κατέλυσεν. Ἦν δὲ τοιοῦτον, ὡς τύπῳ φράσαι, τὸ γινόμενον. Ὄστρακον λαβὼν ἕκαστος, καὶ γράψας, ὃν ἐβούλετο μεταστῆσαι τῶν πολιτῶν, ἔφερεν εἰς ἕνα τόπον τῆς ἀγορᾶς περιπεφραγμένον ἐν κύκλῳ δρυφράκτοις. Οἱ δ' ἄρχοντες πρῶτον μὲν διηρίθμουν τὸ σύμπαν ἐν ταὐτῷ τῶν

ὀστράκων πλῆθος· εἰ γὰρ ἑξακισχιλίων ἐλάττονες οἱ γράψαντες εἶεν, ἀτελὴς ἦν ὁ ἐξοστρακισμός. Ἔπειτα τῶν ὀνομάτων ἕκαστον ἰδίᾳ θέντες, τὸν ὑπὸ τῶν πλείστων γεγραμμένον ἐξεκήρυττον εἰς ἔτη δέκα, καθαιρούμενον τὰ αὑτοῦ. Γραφομένων οὖν τότε τῶν ὀστράκων, λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων, ἀναδόντα τῷ Ἀριστείδῃ τὸ ὄστρακον, ὡς ἑνὶ τῶν τυχόντων, παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψῃ. Τοῦ δὲ θαυμάσαντος, καὶ πυθομένου, μή τι κακὸν αὐτὸν Ἀριστείδης πεποίηκεν· Οὐδέν, εἶπεν, οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ τὸν Δίκαιον ἀκούων. Ταῦτ' ἀκούσαντα τὸν Ἀριστείδην, ἀποκρίνασθαι μὲν οὐδέν, ἐγγράψαι δὲ τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι. Τῆς δὲ πόλεως ἀπαλλαττόμενος ἤδη, τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανόν, εὔξατο τὴν ἐναντίαν, ὡς ἔοικεν, εὐχὴν τῷ Ἀχιλλεῖ, μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

Η. Τρίτῳ δ' ἔτει, Ξέρξου διὰ Θετταλίας καὶ Βοιωτίας ἐλαύνοντος ἐπὶ τὴν Ἀττικήν, λύσαντες τὸν νόμον, ἐψηφίσαντο τοῖς μεθεξῶσι κάθοδον· μάλιστα φοβούμενοι τὸν Ἀριστείδην, μὴ προσθέμενος τοῖς πολεμίοις, διαφθείρῃ καὶ μεταστήσῃ πολλοὺς τῶν πολιτῶν πρὸς τὸν βάρβαρον· οὐκ ὀρθῶς σοχαζόμενοι τοῦ ἀνδρός· ὃς γε καὶ πρὸ τοῦ δόγματος τούτου διετέλει προτρέπων καὶ παροξύνων τοὺς Ἕλληνας ἐπὶ τὴν ἐλευθερίαν, καὶ μετὰ τὸ δόγμα τοῦτο, Θεμιστοκλέους στρατηγοῦντος αὐτοκράτορος, πάντα συνέπραττε καὶ συνεβούλευεν, ἐνδοξότατον ἐπὶ σωτηρίᾳ κοινῇ ποιῶν τὸν ἔχθιστον. Ὡς γὰρ, ἀπολιπεῖν τὴν Σαλαμῖνα βουλευομένων τῶν περὶ Εὐρυβιάδην, αἱ βαρβαρικαὶ τριήρεις νύκτωρ ἀναχθεῖσαι, καὶ περιβαλοῦσαι τόν τε πόρον ἐν κύκλῳ καὶ τὰς νήσους κατεῖχον, οὐδενὸς προειδότος τὴν κύκλωσιν, ἦκεν ὁ Ἀριστείδης ἀπ' Αἰγίνης παραβόλως διὰ τῶν πολεμίων νεῶν διεκπλεύσας, καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους

καὶ καλέσας αὐτὸν ἔξω μόνον· «Ἡμεῖς (εἶπεν) ὦ Θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν καὶ μειρακιώδη σάσιν ἀφέντες, ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονεικίας, πρὸς ἀλλήλους ἁμιλλώμενοι σῶσαι τὴν Ἑλλάδα, σὺ μὲν ἄρχων καὶ στρατηγῶν, ἐγὼ δ' ὑπουργῶν καὶ συμβουλεύων. Ἐπεὶ καὶ νῦν σε πυνθάνομαι μόνον ἅπτεσθαι τῶν ἀρίστων λογισμῶν, κελεύοντα διαναυμαχεῖν ἐν τοῖς στενοῖς τὴν ταχίστην· καί σοι τῶν συμμάχων ἀντιπραττόντων, οἱ πολέμιοι συνεργεῖν ἐοίκασι. Τὸ γὰρ ἐν κύκλῳ καὶ κατόπιν ἤδη πέλαγος ἐμπέπλησται νεῶν πολεμίων, ὥστε καὶ τοὺς μὴ θέλοντας ἀνάγκη κατείληφεν ἀγαθοὺς ἄνδρας εἶναι καὶ μάχεσθαι· φυγῆς γὰρ ὁδὸς οὐ λέλειπται.» Πρὸς ταῦτα ὁ Θεμιστοκλῆς εἶπεν· «Οὐκ ἂν ἐβουλόμην (μὲν), ὦ Ἀριστείδη, σὲ κατὰ τοῦτό μου κρείττονα γενέσθαι, πειράσομαι δὲ, πρὸς καλὴν ἀρχὴν ἁμιλλώμενος, ὑπερβαλέσθαι τοῖς ἔργοις.» Ἅμα δ' αὐτῷ φράσας τὴν ὑφ' ἑαυτοῦ κατασκευασθεῖσαν ἀπάτην πρὸς τὸν βάρβαρον, παρεκάλει πείθειν τὸν Εὐρυβιάδην, καὶ διδάσκειν, ὡς ἀμήχανόν ἐστι σωθῆναι μὴ ναυμαχήσαντας· εἶχε γὰρ αὐτοῦ μᾶλλον πίστιν. Ὅθεν ἐν τῷ συλλόγῳ τῶν στρατηγῶν, εἰπόντος Κλεοκρίτου τοῦ Κορινθίου πρὸς τὸν Θεμιστοκλέα, μηδ' Ἀριστείδῃ τὴν γνώμην ἀρέσκειν αὐτοῦ, παρόντα γὰρ σιωπᾶν· ἀντεῖπεν ὁ Ἀριστείδης, ὡς οὐκ ἂν ἐσιώπα, μὴ λέγοντος τὰ ἄριστα τοῦ Θεμιστοκλέους· νῦν δ' ἡσυχίαν ἄγειν, οὐ διεῦνοιαν τοῦ ἀνδρὸς, ἀλλὰ τὴν γνώμην ἐπαινῶν.

Θ. Οἱ μὲν οὖν ναύαρχοι τῶν Ἑλλήνων ταῦτ' ἔπραττον. Ἀριστείδης δ' ὁρῶν τὴν Ψυττάλειαν, ἣ πρὸ τῆς Σαλαμῖνος ἐν τῷ πόρῳ κεῖται νῆσος οὐ μεγάλη, πολεμίων ἀνδρῶν μεστὴν οὖσαν, ἐμβιβάσας εἰς ὑπηρετικὰ τοὺς προθυμοτάτους καὶ μαχιμωτάτους τῶν πολιτῶν, προσέμιξε τῇ Ψυτταλείᾳ· καὶ μάχην πρὸς τοὺς βαρβάρους συνάψας, ἀπέκτεινε πάντας, πλὴν ὅσοι τῶν ἐπιφανῶν ζῶντες ἥλωσαν. Ἐν δὲ τούτοις ἦσαν ἀδελφῆς βασιλέως ὄνομα Σανδάυκης τρεῖς παῖδες, οὓς εὐθὺς ἀπέστειλε πρὸς τὸν

Θεμιστοκλέα· καὶ λέγονται, κατά τι λόγιον τοῦ μάντεως Εὐφραντίδου κελεύσαντος, ὠμηστῇ Διονύσῳ καθιερωθῆναι. Τὴν δὲ νησίδα τοῖς ὁπλίταις πανταχόθεν ὁ Ἀριστείδης περιστέψας, ἐφήδρευε τοῖς ἐκφερομένοις πρὸς αὐτήν, ὡς μήτε τῶν φίλων τινὰ διαφθαρῆναι, μήτε τῶν πολεμίων διαφυγεῖν. Ὁ γὰρ πλεῖστος ὠθισμὸς τῶν νεῶν καὶ τῆς μάχης τὸ καρτερώτατον ἔοικε περὶ τὸν τόπον ἐκεῖνον γενέσθαι· διὸ καὶ τρόπαιον ἔστηκεν ἐν τῇ Ψυττα-λείᾳ. Μετὰ δὲ τὴν μάχην ὁ Θεμιστοκλῆς ἀποπειρώμενος τοῦ Ἀριστείδου, καλὸν μὲν εἶναι τὸ πεπραγμένον αὐτοῖς ἔργον ἔλεγε, κρεῖττον δὲ λείπεσθαι, τὸ λαβεῖν ἐν Εὐρώπῃ τὴν Ἀσίαν, ἀναπλεύσαντας εἰς Ἑλλήσποντον τὴν ταχίστην καὶ τὸ ζεῦγμα διακόψαντας. Ἐπεὶ δ' Ἀριστείδης ἀναχαραγών, τοῦτον μὲν ἐκέλευε τὸν λόγον καταβαλεῖν, σκοπεῖν δὲ καὶ ζητεῖν, ὅπως τὴν ταχίστην ἐκβάλωσι τὸν Μῆδον ἐκ τῆς Ἑλλάδος, μὴ κατακλεισθεὶς ἀπορίᾳ φυγῆς μετὰ τοσαύτης δυνάμεως τραπῇ πρὸς ἄμυναν ὑπ' ἀνάγκης, οὕτω πέμπει πάλιν Ἀρνάκην εὐνοῦχον ὁ Θεμιστοκλῆς ἐκ τῶν αἰχμαλώτων, κρύφα φράσαι τῷ βασιλεῖ κελεύσας, ὅτι πλεῖν ἐπὶ τὰς γεφύρας ὡρμημένους τοὺς Ἕλληνας αὐτὸς ἀποστρέψειε, σώζεσθαι βασιλέα βουλόμενος.

1. Ἐκ τούτου Ξέρξης μὲν, περίφοβος γενόμενος, εὐθὺς ἐπὶ τὸν Ἑλλήσποντον ἠπείγετο· Μαρδόνιος δὲ, τοῦ στρατοῦ τὸ μαχιμώτατον ἔχων περὶ τριάκοντα μυριάδας, ὑπελείπετο, καὶ φοβερὸς ἦν, ἀπ' ἰσχυρᾶς τῆς περὶ τὸ πεζὸν ἐλπίδος ἀπειλῶν τοῖς Ἕλλησι, καὶ γράφων τοιαῦτα· « Νενικήκατε θαλασσίοις ξύλοις χερσαίους ἀνθρώπους, οὐκ ἐπισταμένους κώπην ἐλαύνειν· ἀλλὰ νῦν πλατεῖα μὲν ἡ Θετταλῶν γῆ, καλὸν δὲ τὸ Βοιώτιον πεδίον ἀγαθοῖς ἱππεῦσι καὶ ὁπλίταις ἐναγωνίσασθαι. » Πρὸς δ' Ἀθηναίους ἔπεμψεν ἰδίᾳ γράμματα καὶ λόγους παρὰ βασιλέως, τήν τε πόλιν αὐτοῖς ἀναστήσειν ἐπαγγελλομένου, καὶ χρήματα πολλὰ δώσειν, καὶ τῶν Ἑλλήνων κυρίους καταστήσειν, ἐκ πολῶν τοῦ πολέμου

γενομένους. Οἱ δὲ Λακεδαιμόνιοι, πυθόμενοι ταῦτα, καὶ δείσαντες, ἔπεμψαν Ἀθήναζε πρέσβεις, δεόμενοι τῶν Ἀθηναίων, ὅπως παῖδας μὲν καὶ γυναῖκας εἰς Σπάρτην ἀποστείλωσι, τοῖς δὲ πρεσβυτέροις τροφὰς παρ' αὐτῶν λαμβάνωσιν· ἰσχυρὰ γὰρ ἦν ἀπορία περὶ τὸν δῆμον ἀπολωλεκότα τὴν χώραν καὶ τὴν πόλιν. Οὐ μὴν ἀλλὰ τῶν πρέσβεων ἀκούσαντες, Ἀριστείδου ψήφισμα γράψαντος, ἀπεκρίναντο θαυμαστὴν ἀπόκρισιν· τοῖς μὲν πολεμίοις συγγνώμην ἔχειν φάσκοντες, εἰ πάντα πλούτου καὶ χρημάτων ὤνια νομίζοιεν, ὧν κρεῖττον οὐδὲν ἴσασιν· ὀργίζεσθαι δὲ Λακεδαιμονίοις, ὅτι τὴν πενίαν καὶ τὴν ἀπορίαν τὴν νῦν παροῦσαν Ἀθηναίοις μόνον ὁρῶσι, τῆς δ' ἀρετῆς καὶ τῆς φιλοτιμίας ἀμνημονοῦσιν, ἐπὶ σιτίοις ὑπὲρ τῆς Ἑλλάδος ἀγωνίζεσθαι παρακαλοῦντες. Ταῦτα γράψας Ἀριστείδης, καὶ τοὺς πρέσβεις εἰς τὴν ἐκκλησίαν παραγαγών, Λακεδαιμονίοις μὲν ἐκέλευε φράζειν, ὡς οὐκ ἔστι χρυσοῦ τοσοῦτον πλῆθος οὔθ' ὑπὲρ γῆν, οὔτε ὑπὸ γῆν, ὅσον Ἀθηναῖοι δέξαιντο ἂν πρὸ τῆς τῶν Ἑλλήνων ἐλευθερίας. Τοῖς δὲ παρὰ Μαρδονίου τὸν ἥλιον δείξας· « Ἄχρις ἂν οὗτος (ἔφη) ταύτην πορεύηται τὴν πορείαν, Ἀθηναῖοι πολεμήσουσι Πέρσαις ὑπὲρ τῆς δεδηωμένης χώρας, καὶ τῶν ἠσεβημένων καὶ κατακεκαυμένων ἱερῶν. » Ἔτι δ' ἀρὰς θέσθαι τοὺς ἱερεῖς ἔγραψεν, εἴ τις ἐπικηρυκεύσαιτο Μήδοις, ἢ τὴν συμμαχίαν ἀπολίποι τῶν Ἑλλήνων. Ἐμβαλόντος δὲ Μαρδονίου τὸ δεύτερον εἰς τὴν Ἀττικήν, αὖθις εἰς Σαλαμῖνα διεπέρασαν. Ἀριστείδης δὲ πεμφθεὶς εἰς Λακεδαίμονα, τῆς μὲν βραδυτῆτος αὐτοῖς ἐνεκάλει καὶ τῆς ὀλιγωρίας, προεμένοις αὖθις τῷ βαρβάρῳ τὰς Ἀθήνας, ἠξίου δὲ πρὸς τὰ ἔτι σωζόμενα τῆς Ἑλλάδος βοηθεῖν. Ταῦτ' ἀκούσαντες οἱ Ἔφοροι, μεθ' ἡμέραν μὲν ἐδόκουν παίζειν καὶ ῥᾳθυμεῖν ἑορτάζοντες· ἦν γὰρ αὐτοῖς Ὑακίνθια· νυκτὸς δὲ πεντακισχιλίους Σπαρτιατῶν ἐπιλέξαντες, ὧν ἕκαστος ἑπτὰ περὶ αὐτὸν εἵλωτας εἶχεν, ἐξέπεμψαν, οὐκ εἰδότων τῶν Ἀθηναίων. Ἐπεὶ δὲ πάλιν

ἐγκαλῶν ὁ Ἀριστείδης προσῆλθεν, οἱ δὲ σὺν γέλωτι λῆρεῖν αὐτὸν ἔφασκον καὶ καθεύδειν· ἤδη γὰρ ἐν Ὀρεστείῳ τὸν στρατὸν εἶναι πορευόμενον ἐπὶ τοὺς ξένους (ξένους γὰρ ἐκάλουν τοὺς Πέρσας), οὐ κατὰ καιρὸν ἔφη παίζειν αὐτοὺς ὁ Ἀριστείδης, ἀντὶ τῶν πολεμίων τοὺς φίλους ἐξαπατῶντας. Ταῦθ' οἱ περὶ τὸν Ἰδομενέα λέγουσιν. Ἐν δὲ τῷ ψηφίσματι τοῦ Ἀριστείδου πρεσβευτὴς οὐκ αὐτὸς, ἀλλὰ Κίμων καὶ Ξάνθιππος καὶ Μυρωνίδης φέρονται.

ΙΑ. Χειροτονηθεὶς δὲ στρατηγὸς αὐτοκράτωρ ἐπὶ τὴν μάχην, καὶ τῶν Ἀθηναίων ὀκτακισχιλίους ὁπλίτας ἀναλαβών, ἦκεν εἰς Πλαταιάς. Ἐκεῖ δὲ Παυσανίας, ὁ τοῦ σύμπαντος ἡγούμενος Ἑλληνικοῦ, συνέμιξεν, ἔχων τοὺς Σπαρτιάτας· καὶ τῶν ἄλλων Ἑλλήνων ἐπέῤῥει τὸ πλῆθος. Τῶν δὲ βαρβάρων τὸ μὲν ὅλον τῆς στρατοπεδείας παρὰ τὸν Ἀσωπὸν ποταμὸν παρεκτεταμένης οὐδεὶς ἦν ὅρος διὰ μέγεθος· περὶ δὲ τὰς ἀποσκευὰς καὶ τὰ κυριώτατα τεῖχος περιεφράξαντο τετράγωνον, οὗ τῶν πλευρῶν ἑκάστη μῆκος ἦν δέκα σταδίων. Παυσανίᾳ μὲν οὖν καὶ τοῖς Ἕλλησι κοινῇ Τισαμενὸς ὁ Ἠλεῖος ἐμαντεύσατο καὶ προεῖπε νίκην ἀμυνομένοις καὶ μὴ προεπιχειροῦσιν. Ἀριστείδου δὲ πέμψαντος εἰς Δελφοὺς, ἀνεῖλεν ὁ θεὸς, «Ἀθηναίους καθυπερτέρους ἔσεσθαι τῶν ἐναντίων εὐχομένους τῷ Διΐ, καὶ τῇ Ἥρᾳ τῇ Κιθαιρωνίᾳ, καὶ Πανὶ καὶ νύμφαις Σφραγίτισι· καὶ θύοντας ἥρωσιν, Ἀνδροκράτει, Λεύκωνι, Πεισάνδρῳ, Δαμοκράτει, Ὑψίωνι, Ἀκταίωνι, Πολυίδῳ· καὶ τὸν κίνδυνον ἐν γᾷ ἰδίᾳ ποιουμένους ἐν τῷ πεδίῳ τᾶς Δάματρος τᾶς Ἐλευσινίας καὶ τᾶς Κόρας.» Οὗτος ὁ χρησμὸς ἀπενεχθεὶς ἀπορίαν τῷ Ἀριστείδῃ παρεῖχεν. Οἱ μὲν γὰρ ἥρωες, οἷς ἐκέλευε θύειν, ἀρχηγέται Πλαταιέων ἦσαν, καὶ τὸ τῶν Σφραγιτίδων νυμφῶν ἄντρον ἐν μιᾷ κορυφῇ τοῦ Κιθαιρῶνος ἐστὶν εἰς δυσμὰς ἡλίου θερινὰς τετραμμένον· ἐν ᾧ καὶ μαντεῖον ἦν πρότερον, ὥς φασι, καὶ πολλοὶ κατείχοντο τῶν ἐπιχωρίων, οἷς Νυμφολήπτους προσηγόρευον. Τὸ δὲ τῆς Ἐλευσινίας Δήμητρος πεδίον, καὶ τὸ τὴν

μάχην ἐν ἰδίᾳ χώρᾳ ποιουμένοις τοῖς Ἀθηναίοις νίκην δίδοσθαι, πάλιν εἰς τὴν Ἀττικὴν ἀνεκαλεῖτο καὶ μεθίστη τὸν πόλεμον. Ἔνθα τῶν Πλαταιέων ὁ στρατηγὸς, Ἀρίμνηστος, ἔδοξε κατὰ τοὺς ὕπνους ὑπὸ τοῦ Διὸς τοῦ Σωτῆρος ἐπερωτώμενον αὐτὸν, ὅ τι δὴ πράττειν δέδοκται τοῖς Ἕλλησιν; εἰπεῖν· « Αὔριον εἰς Ἐλευσῖνα τὴν στρατιὰν ἀπάξομεν, ὦ δέσποτα, καὶ διαμαχούμεθα τοῖς βαρβάροις ἐκεῖ κατὰ τὸ πυθόχρηστον. » Τὸν οὖν θεὸν φάναι διαμαρτάνειν αὐτοὺς τοῦ παντός· αὐτόθι γὰρ εἶναι περὶ τὴν Πλαταϊκὴν τὰ πυθόχρηστα, καὶ ζητοῦντας ἀνευρήσειν. Τούτων ἐναργῶς τῷ Ἀριμνήστῳ φανέντων, ἐξεγειρόμενος τάχιστα μετεπέμψατο τοὺς ἐμπειροτάτους καὶ πρεσβυτάτους τῶν πολιτῶν· μεθ' ὧν διαλεγόμενος καὶ συνδιαπορῶν, εὗρεν, ὅτι τῶν Ὑσιῶν πλησίον ὑπὸ τὸν Κιθαιρῶνα ναός ἐστιν ἀρχαῖος πάνυ Δήμητρος Ἐλευσινίας καὶ Κόρης προσαγορευόμενος. Εὐθὺς οὖν παραλαβὼν τὸν Ἀριστείδην, ἦγεν ἐπὶ τὸν τόπον εὐφυέστατον ὄντα παρατάξαι φάλαγγα πεζικὴν ἱπποκρατουμένοις, διὰ τὰς ὑπωρείας τοῦ Κιθαιρῶνος, ἄφιππα ποιούσας τὰ καταλήγοντα καὶ συγκυροῦντα τοῦ πεδίου πρὸς τὸ ἱερόν. Αὐτοῦ δ' ἦν καὶ τὸ τοῦ Ἀνδροκράτους ἡρῶον ἐγγὺς, ἄλσει πυκνῶν καὶ συσκίων δένδρων περιεχόμενον. Ὅπως δὲ μηδὲν ἐλλιπὲς ἔχῃ πρὸς τὴν ἐλπίδα τῆς νίκης ὁ χρησμὸς, ἔδοξε τοῖς Πλαταιεῦσιν, Ἀριμνήστου γνώμην εἰπόντος, ἀνελεῖν τὰ πρὸς τὴν Ἀττικὴν ὅρια τῆς Πλαταιΐδος, καὶ τὴν χώραν ἐπιδοῦναι τοῖς Ἀθηναίοις ὑπὲρ τῆς Ἑλλάδος, (ὡς') ἐν οἰκείᾳ κατὰ τὸν χρησμὸν ἐναγωνίσασθαι. Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν τῶν Πλαταιέων οὕτω συνέβη περιβόητον γενέσθαι, ὥστε καὶ Ἀλέξανδρον, ἤδη βασιλεύοντα τῆς Ἀσίας, ὕστερον πολλοῖς ἔτεσι τειχίζοντα τὰς Πλαταιὰς, ἀνειπεῖν Ὀλυμπιάσιν ὑπὸ κήρυκος, ὅτι ταύτην ὁ βασιλεὺς ἀποδίδωσι Πλαταιεῦσι τῆς ἀνδραγαθίας καὶ τῆς μεγαλοψυχίας χάριν, ἐπειδὴ τοῖς Ἕλλησιν ἐν τῷ Μηδικῷ πολέμῳ τὴν χώραν ἐπέδωκαν, καὶ παρέσχον αὐτοὺς προθυμοτάτους.

ΙΒ. Ἀθηναίοις δὲ Τεγεάται περὶ τάξεως ἐρίσαντες, ἠξίουν ὥσπερ ἀεί, Λακεδαιμονίων τὸ δεξιὸν ἐχόντων κέρας, αὐτοὶ τὸ εὐώνυμον ἔχειν, πολλὰ τοὺς αὑτῶν προγόνους ἐγκωμιάζοντες. Ἀγανακτούντων δὲ τῶν Ἀθηναίων, παρελθὼν ὁ Ἀριστείδης, εἶπε. « Τεγεάταις μὲν ἀντειπεῖν περὶ εὐγενείας καὶ ἀνδραγαθίας ὁπαρὼν καιρὸς οὐ δίδωσι, πρὸς δ' ὑμᾶς, ὦ Σπαρτιᾶται, καὶ τοὺς ἄλλους Ἕλληνας λέγομεν, ὅτι τὴν ἀρετὴν οὐκ ἀφαιρεῖται τόπος, οὐδὲ δίδωσιν· ἣν δ' ἂν ὑμεῖς ἡμῖν τάξιν ἀποδῶτε, πειρασόμεθα κοσμοῦντες καὶ φυλάττοντες, μὴ καταισχύνειν τοὺς προηγωνισμένους ἀγῶνας. Ἥκομεν γὰρ οὐ τοῖς συμμάχοις σασιάσοντες, ἀλλὰ μαχούμενοι τοῖς πολεμίοις, οὐδ' ἐπαινεσόμενοι τοὺς πατέρας, ἀλλ' αὐτοὺς ἄνδρας ἀγαθοὺς τῇ Ἑλλάδι παρέξοντες· ὡς οὗτος ὁ ἀγὼν δείξει καὶ πόλιν καὶ ἄρχοντα καὶ ἰδιώτην, ὑπόσου τοῖς Ἕλλησιν ἄξιός ἐστι. » Ταῦτ' ἀκούσαντες οἱ σύνεδροι καὶ ἡγεμόνες, ἀπεδέξαντο τοὺς Ἀθηναίους, καὶ θάτερον αὐτοῖς κέρας ἀπέδοσαν.

ΙΓ. Οὔσης δὲ μετεώρου τῆς Ἑλλάδος, καὶ μάλιστα τοῖς Ἀθηναίοις τῶν πραγμάτων ἐπισφαλῶς ἐχόντων, ἄνδρες ἐξοίκων ἐπιφανῶν καὶ χρημάτων μεγάλων, πένητες ὑπὸ τοῦ πολέμου γεγονότες, καὶ πᾶσαν ἅμα τῷ πλούτῳ τὴν ἐν τῇ πόλει δύναμιν αὐτῶν καὶ δόξαν οἰχομένην ὁρῶντες, ἑτέρων τιμωμένων καὶ ἀρχόντων, συνῆλθον εἰς οἰκίαν τινὰ τῶν ἐν Πλαταιαῖς κρύφα, καὶ συνωμόσαντο καταλύσειν τὸν δῆμον· εἰ δὲ μὴ προχωροίη, λυμανεῖσθαι τὰ πράγματα, καὶ τοῖς βαρβάροις προδώσειν. Πραττομένων δὲ τούτων ἐν τῷ στρατοπέδῳ, καὶ συχνῶν ἤδη διεφθαρμένων, αἰσθόμενος ὁ Ἀριστείδης, καὶ φοβηθεὶς τὸν καιρὸν, ἔγνω μήτ' ἐᾶν ἀμελούμενον τὸ πρᾶγμα, μήθ' ἅπαν ἐκκαλύπτειν, ἀγνοούμενον, εἰς ὅσον ἐλθήσεται πλῆθος ὁ ἔλεγχος, τὸν τοῦ δικαίου ζητῶν ὅρον ἀντὶ τοῦ συμφέροντος. Ὀκτὼ δή τινας ἐκ πολλῶν συνέλαβε, καὶ τούτων δύο μὲν, οἷς πρώτοις ἡ κρίσις προεγράφη, οἳ καὶ πλείστην αἰτίαν εἶχον, Αἰσχίνης Λαμπρεὺς καὶ Ἀγησίας Ἀχαρ-

νεὺς, ᾤχοντο φεύγοντες ἐκ τοῦ στρατοπέδου· τοὺς δ' ἄλλους ἀφῆκε, θαρσῆσαι διδοὺς καὶ μεταγνῶναι τοῖς ἔτι λανθάνειν οἰομένοις, ὑπειπὼν, ὡς μέγα δικαστήριον ἔχουσι τὸν πόλεμον, ἀπολύσασθαι τὰς αἰτίας, ὀρθῶς καὶ δικαίως τῇ πατρίδι βουλευόμενοι.

ΙΔ. Μετὰ ταῦτα Μαρδόνιος, ᾧ πλεῖστον ἐδόκει διαφέρειν τῶν Ἑλλήνων, ἀπεπειρᾶτο, τὴν ἵππον ἀθρόαν αὐτοῖς ἐφεὶς καθεζομένοις ὑπὸ τὸν πρόποδα τοῦ Κιθαιρῶνος, ἐν χωρίοις ὀχυροῖς καὶ πετρώδεσι, πλὴν Μεγαρέων. Οὗτοι δὲ τρισχίλιοι τὸ πλῆθος ὄντες ἐν τοῖς ἐπιπέδοις μᾶλλον ἐστρατοπεδεύοντο. Διὸ καὶ κακῶς ἔπασχον ὑπὸ τῆς ἵππου, ῥυείσης ἐπ' αὐτοὺς καὶ προσβολὰς ἐχούσης πανταχόθεν. Ἔπεμπον οὖν ἄγγελον κατὰ τάχος πρὸς Παυσανίαν, βοηθεῖν κελεύοντες, ὡς οὐ δυνάμενοι καθ' αὑτοὺς ὑποστῆναι τὸ τῶν βαρβάρων πλῆθος. Ταῦτα Παυσανίας ἀκούων, ἤδη δὲ καὶ καθορῶν ἀποκεκρυμμένον ἀκοντισμάτων καὶ τοξευμάτων πλήθει τὸ στρατόπεδον τῶν Μεγαρέων, καὶ συνεσταλμένους αὐτοὺς εἰς ὀλίγον, αὐτὸς μὲν ἀμήχανος ἦν πρὸς ἱππότας ἀμύνειν, ὁπλιτικῇ φάλαγγι καὶ βαρείᾳ τῇ Σπαρτιατῶν· τοῖς δ' ἄλλοις στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων περὶ αὐτὸν οὖσι προὔθετο ζῆλον ἀρετῆς καὶ φιλοτιμίας, εἰ δή τινες ἐκόντες ἀναδέξαιντο προσαγωνίσασθαι καὶ βοηθῆσαι τοῖς Μεγαρεῦσι. Τῶν δ' ἄλλων ὀκνούντων, Ἀριστείδης ἀναδεξάμενος ὑπὲρ τῶν Ἀθηναίων τὸ ἔργον, ἀποστέλλει τὸν προθυμότατον τῶν λοχαγῶν Ὀλυμπιόδωρον, ἔχοντα τοὺς ὑφ' ἑαυτὸν τεταγμένους λογάδας τριακοσίους, καὶ τοξότας ἀναμεμιγμένους σὺν αὐτοῖς. Τούτων ὀξέως διεσκευασμένων καὶ προσφερομένων δρόμῳ, Μασίστιος, ὁ τῶν βαρβάρων ἵππαρχος, ἀνὴρ ἀλκῇ τε θαυμαστὸς, μεγέθει τε καὶ κάλλει σώματος περιττὸς, ὡς κατεῖδεν, ἐναντίον ἐπισρέψας τὸν ἵππον, εἰς αὐτοὺς ἤλαυνε. Τῶν δ' ἀνασχομένων καὶ συμβαλόντων, ἦν ἀγὼν καρτερὸς, ὡς πεῖραν ἐν τούτῳ τοῦ

παντὸς λαμβανόντων. Ἐπεὶ δὲ τοξευθεὶς ὁ ἵππος τὸν Μασίστιον ἀπέῤῥιψε, καὶ πεσὼν ὑπὸ βάρους τῶν ὅπλων αὐτός τε δυσκίνητος ἦν ἀναφέρειν, καὶ τοῖς Ἀθηναίοις ἐπικειμένοις καὶ παίουσι δυσμεταχείριστος, οὐ μόνον σέρνα καὶ κεφαλὴν, ἀλλὰ καὶ τὰ γυῖα χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καταπεφραγμένος· τοῦτον μὲν, ᾗ τὸ κράνος ὑπέφαινε τὸν ὀφθαλμὸν, ἀκοντίου σύραξ παίων τις ἀνεῖλεν· οἱ δ' ἄλλοι Πέρσαι προέμενοι τὸν νεκρὸν, ἔφευγον. Ἐγνώσθη δὲ τοῦ κατορθώματος τὸ μέγεθος τοῖς Ἕλλησιν οὐκ ἀπὸ τῶν νεκρῶν τοῦ πλήθους· ὀλίγοι γὰρ οἱ πεσόντες ἦσαν· ἀλλὰ τῷ πένθει τῶν βαρβάρων. Καὶ γὰρ ἑαυτοὺς ἔκειρον ἐπὶ τῷ Μασίστῳ, καὶ ἵππους καὶ ἡμιόνους, οἰμωγῆς τε καὶ κλαυθμοῦ τὸ πεδίον ἐνεπίμπλασαν, ὡς ἄνδρα πολὺ πρῶτον ἀρετῇ καὶ δυνάμει μετά γε Μαρδόνιον αὐτὸν ἀποβαλόντες.

ΙΕ. Μετὰ δὲ τὴν ἱππομαχίαν ἀμφότεροι μάχης ἔσχοντο χρόνον πολύν. Ἀμυνομένοις γὰρ οἰμάτεις νίκην προὔφαινον ἐκ τῶν ἱερῶν ὁμοίως καὶ τοῖς Πέρσαις καὶ τοῖς Ἕλλησιν· εἰ δ' ἐπιχειροῖεν, ἥτταν. Ἔπειτα Μαρδόνιος, ὡς αὐτῷ μὲν ἡμερῶν ὀλίγων τὰ ἐπιτήδεια περιῆν, οἱ δ' Ἕλληνες, ἀεί τινων ἐπιῤῥεόντων, πλείονες ἐγίνοντο, δυσανασχετῶν ἔγνω μηκέτι μένειν, ἀλλὰ διαβὰς ἅμα φάει τὸν Ἀσωπὸν ἐπιθέσθαι τοῖς Ἕλλησιν ἀπροσδοκήτως· καὶ παράγγελμα τοῖς ἡγεμόσιν ἑσπέρας ἔδωκε. Μεσούσης δὲ μάλιστα τῆς νυκτὸς, ἀνὴρ ἵππον ἔχων, ἀτρέμα προσεμίγνυε τῷ στρατοπέδῳ τῶν Ἑλλήνων· ἐντυχὼν δὲ ταῖς φυλακαῖς, ἐκέλευεν αὐτῷ προσελθεῖν Ἀριστείδην τὸν Ἀθηναῖον. Ὑπακούσαντος δὲ ταχέως, ἔφησεν· « Εἰμὶ μὲν Ἀλέξανδρος, ὁ Μακεδόνων βασιλεὺς, ἥκω δὲ κινδύνων τὸν μέγιστον εὐνοίᾳ τῇ πρὸς ὑμᾶς αἱρούμενος, ὡς μὴ τὸ αἰφνίδιον ἐκπλήξειεν ὑμᾶς χεῖρον ἀγωνίσασθαι. Μαχεῖται γὰρ ὑμῖν Μαρδόνιος αὔριον, οὐχ ὑπ' ἐλπίδος χρηστῆς, οὐδὲ θάρσους, ἀλλ' ἀπορίας τῶν παρόντων· ἐπεὶ καὶ μάντεις ἐκεῖνον ἀπαισίοις ἱεροῖς καὶ λογίοις χρησμῶν

εἴργουσι μάχης· καὶ τὸν στρατὸν ἔχει δυσθυμία πολλὴ καὶ κατάπληξις. Ἀλλ' ἀνάγκη τολμῶντα πειρᾶσθαι τῆς τύχης, ἢ τὴν ἐσχάτην ὑπομένειν ἀπορίαν καθεζόμενον.» Ταῦτα φράσας ὁ Ἀλέξανδρος, ἐδεῖτο τὸν Ἀριστείδην αὐτὸν εἰδέναι καὶ μνημονεύειν, ἑτέρῳ δὲ μὴ καταιπεῖν. Ὁ δ' οὐ καλῶς ἔχειν ἔφη ταῦτα Παυσανίαν ἀποκρύψασθαι· ἐκείνῳ δὲ ἀνακεῖσθαι τὴν ἡγεμονίαν· πρὸς δὲ τοὺς ἄλλους ἄῤῥητα πρὸ τῆς μάχης ἔδοξεν ἔσεσθαι· νικώσης δὲ τῆς Ἑλλάδος, οὐδένα τὴν Ἀλεξάνδρου προθυμίαν καὶ ἀρετὴν ἀγνοήσειν. Λεχθέντων δὲ τούτων, ὅ τε βασιλεὺς τῶν Μακεδόνων ἀπήλαυνεν ὀπίσω πάλιν, ὅ τ' Ἀριστείδης ἀφικόμενος ἐπὶ τὴν σκηνὴν τοῦ Παυσανίου, διηγεῖτο τοὺς λόγους· καὶ μετεπέμποντο τοὺς ἄλλους ἡγεμόνας, καὶ παρήγγελλον ἐν κόσμῳ τὸν στρατὸν ἔχειν, ὡς μάχης ἐσομένης.

Ις. Ἐν τούτῳ δ', ὡς Ἡρόδοτος ἱστορεῖ, Παυσανίας Ἀριστείδῃ προσέφερε λόγον, ἀξιῶν τοὺς Ἀθηναίους ἐπὶ τὸ δεξιὸν μετατάξαι, καὶ κατὰ τοὺς Πέρσας ἀντιταχθῆναι· βέλτιον γὰρ ἀγωνιεῖσθαι, τῆς τε μάχης ἐμπείρους γεγονότας, καὶ τῷ προνενικηκέναι θαῤῥοῦντας· αὐτῷ δὲ παραδοῦναι τὸ εὐώνυμον, ὅπου τῶν Ἑλλήνων οἱ μηδίζοντες ἐπιβάλλειν ἔμελλον. Οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων ἀγνώμονα καὶ φορτικὸν ἡγοῦντο τὸν Παυσανίαν, εἰ τὴν ἄλλην ἐῶν τάξιν ἐν χώρᾳ, μόνους ἄνω καὶ κάτω μεταφέρει σφᾶς, ὥσπερ εἴλωτας, κατὰ τὸ μαχιμώτατον προβαλλόμενος. Ὁ δ' Ἀριστείδης διαμαρτάνειν αὐτοὺς ἔφασκε τοῦ παντὸς, εἰ πρώην μὲν ὑπὲρ τοῦ τὸ εὐώνυμον κέρας ἔχειν διεφιλοτιμοῦντο Τεγεάταις, καὶ προκριθέντες ἐσεμνύνοντο· νῦν δὲ, Λακεδαιμονίων ἑκουσίως αὐτοῖς ἐξισαμένων τοῦ δεξιοῦ, καὶ τρόπον τινὰ τὴν ἡγεμονίαν παραδιδόντων, οὔτε τὴν δόξαν ἀγαπῶσιν, οὔτε κέρδος ἡγοῦνται τὸ μὴ πρὸς ὁμοφύλους καὶ συγγενεῖς, ἀλλὰ βαρβάρους καὶ φύσει πολεμίους ἐναγωνίσασθαι. Ἐκ τούτου πάνυ προθύμως οἱ Ἀθηναῖοι διημείβοντο τοῖς Σπαρτιάταις

τιάταις τὴν τάξιν· καὶ λόγος ἐχώρει δι' αὐτῶν πολὺς ἀλλήλοις παρεγγυόντων· « Ὡς οὔτε ὅπλα βελτίω λαβόντες, οὔτε ψυχὰς ἀμείνους, οἱ πολέμιοι τῶν ἐν Μαραθῶνι προσίασιν, ἀλλὰ ταὐτὰ μὲν ἐκείνοις τόξα, ταὐτὰ δ' ἐσθῆτος ποικίλματα, καὶ χρυσὸς ἐπὶ σώμασι μαλακοῖς καὶ ψυχαῖς ἀνάνδροις· ἡμῖν δ' ὅμοια μὲν ὅπλα καὶ σώματα, μεῖζον δὲ ταῖς νίκαις τὸ θάρσος· ὁ δ' ἀγὼν οὐχ ὑπὲρ χώρας καὶ πόλεως μόνον, ὡς ἐκείνοις, ἀλλ' ὑπὲρ τῶν ἐν Μαραθῶνι καὶ Σαλαμῖνι τροπαίων, ὡς μηδ' ἐκεῖνα Μιλτιάδου δοκοίη καὶ τύχης, ἀλλ' Ἀθηναίων. » Οὗτοι μὲν οὖν σπεύδοντες, ἐν ἀμείψει τῶν τάξεων ἦσαν· αἰσθόμενοι δὲ Θηβαῖοι παρ' αὐτομόλων, Μαρδονίῳ φράζουσι. Κἀκεῖνος εὐθὺς, εἴτε δεδιὼς τοὺς Ἀθηναίους, εἴτε τοῖς Λακεδαιμονίοις συμπεσεῖν φιλοτιμούμενος, ἀντιπαρεξῆγε τοὺς Πέρσας ἐπὶ τὸ δεξιόν· τοὺς δ' Ἕλληνας ἐκέλευε τοὺς σὺν αὐτῷ κατὰ τοὺς Ἀθηναίους ἵστασθαι. Γενομένης δὲ τῆς μετακοσμήσεως καταφανοῦς, ὅ τε Παυσανίας ἀποτραπεὶς αὖθις ἐπὶ τοῦ δεξιοῦ κατέστη, καὶ Μαρδόνιος, ὥσπερ εἶχεν ἐξ ἀρχῆς, *εὐθὺς* ἀνέλαβε τὸ εὐώνυμον, κατὰ τοὺς Λακεδαιμονίους γενόμενος. Ἥτε ἡμέρα διεξῆλθεν ἀργή. Καὶ τοῖς Ἕλλησι βουλευομένοις ἔδοξε πορρωτέρω μεταστρατοπεδεῦσαι, καὶ καταλαβεῖν ἔνυδρον χωρίον· ἐπεὶ τὰ πλησίον νάματα καθύβριστο καὶ διέφθαρτο, τῶν βαρβάρων ἱπποκρατούντων.

ΙΖ. Ἐπελθούσης δὲ νυκτὸς, καὶ τῶν στρατηγῶν ἀγόντων ἐπὶ τὴν ἀποδεδειγμένην στρατοπεδείαν, οὐ πάνυ πρόθυμον ἦν ἕπεσθαι καὶ συμμένειν τὸ πλῆθος· ἀλλ' ὡς ἀνέστησαν ἐκ τῶν πρώτων ἐρυμάτων, ἐφέροντο πρὸς τὴν πόλιν τῶν Πλαταιέων οἱ πολλοὶ, καὶ θόρυβος ἦν ἐκεῖ διασκιδναμένων καὶ κατασκηνούντων ἀτάκτως. Λακεδαιμονίοις δὲ συνέβη μὲν ἄκουσι μόνοις ἀπολιπέσθαι τῶν ἄλλων. Ἀρομφάρετος γὰρ, ἀνὴρ θυμοειδὴς καὶ φιλοκίνδυνος, ἔκπαλαι πρὸς τὴν μάχην σπαργῶν, καὶ βαρυνόμενος τὰς πολλὰς ἀναβολὰς καὶ μελλήσεις, τότε δὲ παντάπασι τὴν μετανάστασιν

φυγὴν ἀποκαλῶν καὶ ἀπόδρασιν, οὐκ ἔφη λείψειν τὴν τάξιν, ἀλλ' αὐτόθι μένων μετὰ τῶν ἑαυτοῦ λοχιτῶν ὑποστήσεσθαι Μαρδόνιον. Ὡς δὲ Παυσανίας ἐπελθὼν ἔλεγε ταῦτα πράττειν ἐψηφισμένα καὶ δεδογμένα τοῖς Ἕλλησιν, ἀράμενος ταὶν χεροῖν πέτρον μέγαν ὁ Ἀμομφάρετος, καὶ καταβαλὼν πρὸ τῶν ποδῶν τοῦ Παυσανίου, ταύτην ἔφη ψῆφον αὐτὸς περὶ τῆς μάχης τίθεσθαι, τὰ δὲ τῶν ἄλλων δειλὰ βουλεύματα καὶ δόγματα χαίρειν ἐᾶν. Ἀπορούμενος δὲ Παυσανίας τῷ παρόντι, πρὸς μὲν τοὺς Ἀθηναίους ἔπεμψεν ἀπιόντας ἤδη, περιμεῖναι δεόμενος καὶ κοινῇ βαδίζειν, αὐτὸς δὲ τὴν ἄλλην δύναμιν ἦγε πρὸς τὰς Πλαταιάς, ὡς ἀναστήσων τὸν Ἀμομφάρετον. Ἐν τούτῳ δὲ κατελάμβανεν ἡμέρα, καὶ Μαρδόνιος (οὐ γὰρ ἔλαθον τὴν στρατοπεδείαν ἐκλιπόντες οἱ Ἕλληνες), ἔχων συντεταγμένην τὴν δύναμιν, ἐπεφέρετο τοῖς Λακεδαιμονίοις βοῇ πολλῇ καὶ πατάγῳ τῶν βαρβάρων, ὡς οὐ μάχης ἐσομένης, ἀλλὰ φεύγοντας ἁναρπασομένων τοὺς Ἕλληνας. Ὀλίγας ῥοπῆς ἐδέησε γενέσθαι. Κατιδὼν γὰρ τὸ γινόμενον ὁ Παυσανίας, ἔσχετο μὲν τῆς πορείας, καὶ τὴν ἐπὶ μάχῃ τάξιν ἐκέλευσε λαμβάνειν ἕκαστον· ἔλαθε δ' αὐτὸν, εἴθ' ὑπὸ τῆς πρὸς Ἀμομφάρετον ὀργῆς, εἴτε τῷ τάχει θορυβηθέντα τῶν πολεμίων, σύνθημα δοῦναι τοῖς Ἕλλησιν. Ὅθεν οὔτ' εὐθὺς, οὔτ' ἀθρόοι, κατ' ὀλίγους δὲ καὶ σποράδην, ἤδη τῆς μάχης ἐν χερσὶν οὔσης, προσεβοήθουν. Ὡς δὲ θυόμενος οὐκ ἐκαλλιέρει, προσέταξε τοῖς Λακεδαιμονίοις, τὰς ἀσπίδας πρὸ τῶν ποδῶν θεμένους, ἀτρέμα καθέζεσθαι, καὶ προσέχειν αὐτῷ. μηδένα τῶν πολεμίων ἀμυνομένους· αὐτὸς δὲ πάλιν ἐσφαγιάζετο. Καὶ προσέπιπτον οἱ ἱππεῖς· ἤδη δὲ καὶ βέλος ἐξικνεῖτο, καί τις ἐπέπληκτο τῶν Σπαρτιατῶν. Ἐν τούτῳ δὲ καὶ Καλλικράτης, ὃν ἰδεᾷ τε κάλλιστον Ἑλλήνων, καὶ σώματι μέγιστον ἐν ἐκείνῳ τῷ στρατῷ γενέσθαι λέγουσι, τοξευθεὶς καὶ θνήσκων, οὐκ ἔφη τὸν θάνατον ὀδύρεσθαι· καὶ γὰρ ἐλθεῖν οἴκοθεν ὑπὲρ τῆς Ἑλλάδος ἀποθανούμενον· ἀλλ' ὅτι θνήσκει τῇ χειρὶ μὴ χρησάμενος.

Ἦν οὖν τὸ μὲν πάθος δεινὸν, ἡ δ' ἐγκράτεια θαυμαστὴ τῶν ἀνδρῶν. Οὐ γὰρ ἠμύνοντο τοὺς πολεμίους ἐπιβαίνοντας, ἀλλὰ τὸν παρὰ τοῦ θεοῦ καὶ τοῦ στρατηγοῦ καιρὸν ἀναμένοντες, ἠνείχοντο βαλλόμενοι καὶ πίπτοντες ἐν ταῖς τάξεσιν. Ἔνιοι δέ φασι, τῷ Παυσανίᾳ, μικρὸν ἔξω τῆς παρατάξεως θύοντι καὶ κατευχομένῳ, τῶν Λυδῶν τινας ἄφνω προσπεσόντας, ἁρπάζειν καὶ διαῤῥίπτειν τὰ περὶ τὴν θυσίαν· τὸν δὲ Παυσανίαν καὶ τοὺς περὶ αὐτὸν, οὐκ ἔχοντας ὅπλα, ῥάβδοις καὶ μάσιξι παίειν. Διὸ καὶ νῦν ἐκείνης τῆς ἐπιδρομῆς μιμήματα τὰς περὶ τὸν βωμὸν ἐν Σπάρτῃ πληγὰς τῶν ἐφήβων, καὶ τὴν μετὰ ταῦτα τῶν Λυδῶν πομπὴν, συντελεῖσθαι.

ΙΗ. Δυσφορῶν οὖν ὁ Παυσανίας τοῖς παροῦσιν, ἄλλα τοῦ μάντεως ἐπ' ἄλλοις ἱερεῖα καταβάλλοντος, τρέπεται πρὸς τὸ Ἡραῖον τῇ ὄψει δεδακρυμένος· καὶ τὰς χεῖρας ἀνασχὼν εὔξατο Κιθαιρωνίᾳ Ἥρᾳ, καὶ θεοῖς ἄλλοις, οἱ Πλαταιΐδα γῆν ἔχουσιν, εἰ μὴ πέπρωται τοῖς Ἕλλησι νικᾶν, ἀλλὰ δράσαντάς γέ τι παθεῖν, καὶ δείξαντας ἔργῳ τοῖς πολεμίοις, ὡς ἐπ' ἄνδρας ἀγαθοὺς καὶ μάχεσθαι μεμαθηκότας ἐστράτευσαν. Ταῦτα τοῦ Παυσανίου θεοκλυτοῦντος, ἅμα ταῖς εὐχαῖς ἐφάνη τὰ ἱερὰ, καὶ νίκην οἱ μάντεις ἐμήνυον. Καὶ δοθέντος εἰς ἅπαντας παραγγέλματος καθίσασθαι πρὸς τοὺς πολεμίους, ἥ τε φάλαγξ ὄψιν ἔσχεν αἰφνιδίως ἑνὸς ζώου θυμοειδοῦς πρὸς ἀλκὴν τρεπομένου καὶ φρίξαντος· τοῖς τε βαρβάροις τότε παρέστη λογισμὸς, ὡς πρὸς ἄνδρας ὁ ἀγὼν ἔσοιτο μαχομένους ἄχρι θανάτου. Διὸ καὶ προθέμενοι πολλὰ τῶν γέῤῥων, ἐτόξευον τοὺς Λακεδαιμονίους. Οἱ δὲ τηροῦντες ἅμα τὸν συνασπισμὸν ἐπέβαινον, καὶ προσπεσόντες ἐξεώθουν τὰ γέῤῥα, καὶ τοῖς δόρασι τύπτοντες πρόσωπα καὶ στέρνα τῶν Περσῶν, πολλοὺς κατέβαλλον, οὐκ ἀπράκτως, οὐδ' ἀθύμως πίπτοντας. Καὶ γὰρ ἀντιλαμβανόμενοι τῶν δορατίων ταῖς χερσὶ γυμναῖς συνέθραυον τὰ πλεῖστα· καὶ πρὸς τὰς ξιφουλκίας ἐχώρουν οὐκ

ἀργῶς, ἀλλὰ ταῖς τε κοπίσι καὶ τοῖς ἀκινάκαις χρώμενοι, καὶ τὰς ἀσπίδας παρασπῶντες καὶ συμπλεκόμενοι, χρόνον πολὺν ἀντεῖχον. Οἱ δ' Ἀθηναῖοι τέως μὲν ἠτρέμουν ἀναμένοντες τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ κραυγή τε προσέπιπτε πολλὴ μαχομένων, καὶ παρῆν, ὥς φασιν, ἄγγελος παρὰ Παυσανίου τὰ γινόμενα φράζων, ὥρμησαν κατὰ τάχος βοηθεῖν. Καὶ προχωροῦσιν αὐτοῖς διὰ τοῦ πεδίου πρὸς τὴν βοήν, ἐπέφερον τῶν Ἑλλήνων οἱ μηδίζοντες. Ἀριστείδης δὲ, πρῶτον μὲν ὡς εἶδε, πολὺ προελθών, ἐβόα, μαρτυρόμενος Ἑλληνίους θεοὺς, ἀπέχεσθαι μάχης, καὶ μὴ σφίσιν ἐμποδὼν εἶναι, μηδὲ κωλύειν ἐπαμύνοντας τοῖς προκινδυνεύουσιν ὑπὲρ τῆς Ἑλλάδος. Ἐπεὶ δ' ἐώρα μὴ προστέχοντας αὐτῷ, καὶ συντεταγμένους ἐπὶ τὴν μάχην, οὕτω τῆς ἐκεῖ βοηθείας ἀποτραπόμενος, συνέβαλε τούτοις περὶ πεντακισμυρίους οὖσιν. Ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς ἐνέδωκε καὶ ἀπεχώρησεν, ἅτε δὴ καὶ τῶν βαρβάρων ἀπηλλαγμένων· ἡ δὲ μάχη λέγεται μάλιστα κατὰ Θηβαίους γενέσθαι προθυμότατα, τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων, καὶ τὸ πλῆθος οὐ κατὰ γνώμην, ἀλλ' ὀλιγαρχούμενον ἀγόντων.

ΙΘ. Οὕτω δὲ τοῦ ἀγῶνος δίχα συνεχῶς πρῶτοι μὲν ἐώσαντο τοὺς Πέρσας οἱ Λακεδαιμόνιοι, καὶ τὸν Μαρδόνιον ἀνὴρ Σπαρτιάτης, ὄνομα Ἀρίμνηστος, ἀποκτίννυσι, λίθῳ τὴν κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμανε τὸ ἐν Ἀμφιάρεω μαντεῖον. Ἔπεμψε γὰρ ἄνδρα Λυδὸν ἐνταῦθα, Κᾶρα δὲ ἕτερον εἰς Τροφωνίου ὁ Μαρδόνιος· καὶ τοῦτον μὲν ὁ προφήτης Καρικῇ γλώσσῃ προσεῖπεν· ὁ δὲ Λυδὸς ἐν τῷ σηκῷ τοῦ Ἀμφιάρεω κατευνασθεὶς, ἔδοξεν ὑπηρέτην τινὰ τοῦ θεοῦ παραστῆναι, καὶ κελεύειν αὐτὸν ἀπιέναι· μὴ βουλομένου δὲ, λίθον εἰς τὴν κεφαλὴν ἐμβαλεῖν μέγαν, ὥστε δόξαι πληγέντα τεθνάναι τὸν ἄνθρωπον. Καὶ ταῦτα μὲν οὕτω γενέσθαι λέγεται· τοὺς δὲ φεύγοντας εἰς τὰ ξύλινα τείχη καθεῖρξαν. Ὀλίγῳ δ' ὕστερον Ἀθηναῖοι τοὺς Θηβαίους τρέπονται, τριακοσίους

τοὺς ἐπιφανεστάτους καὶ πρώτους διαφθείραντες ἐν αὐτῇ τῇ μάχῃ. Γεγενημένης γὰρ τῆς τροπῆς, ἦκεν αὐτοῖς ἄγγελος πολιορκεῖσθαι τὸ βαρβαρικὸν εἰς τὰ τείχη κατακεκλεισμένον. Οὕτω δὴ σώζεσθαι τοὺς Ἕλληνας ἐάσαντες, ἐβοήθουν πρὸς τὰ τείχη· καὶ τοῖς Λακεδαιμονίοις παντάπασιν ἀργῶς πρὸς τειχομαχίαν καὶ ἀπείρως ἔχουσιν ἐπιφανέντες, αἱροῦσι τὸ στρατόπεδον, φόνῳ πολλῷ τῶν πολεμίων. Λέγονται γὰρ ἀπὸ τῶν τριάκοντα μυριάδων τετρακισμύριοι φυγεῖν σὺν Ἀρταβάζῳ· τῶν δ' ὑπὲρ τῆς Ἑλλάδος ἀγωνισαμένων ἔπεσον οἱ πάντες ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι. Τούτων Ἀθηναῖοι μὲν ἦσαν δύο καὶ πεντήκοντα, πάντες ἐκ τῆς Αἰαντίδος φυλῆς, ὡς φησι Κλείδημος, ἀγωνισαμένης ἄριστα· διὸ καὶ ταῖς Σφαγίτισι νύμφαις ἔθυον Αἰαντίδαι τὴν πυθόχρηστον θυσίαν ὑπὲρ τῆς νίκης, ἐκ δημοσίου τὸ ἀνάλωμα λαμβάνοντες. Λακεδαιμόνιοι δ' ἑνὶ πλείους τῶν ἐννενήκοντα, Τεγεάται δ' ἑκκαίδεκα. Θαυμαστὸν οὖν τὸ Ἡροδότου, πῶς μόνους τούτους φησὶν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, τῶν δ' ἄλλων Ἑλλήνων μηδένα. Καὶ γὰρ τὸ πλῆθος τῶν πεσόντων μαρτυρεῖ καὶ τὰ μνήματα κοινὸν γενέσθαι τὸ κατόρθωμα· καὶ τὸν βωμὸν οὐκ ἂν ἐπέγραψαν οὕτως, εἰ μόναι τρεῖς πόλεις ἠγωνίσαντο, τῶν ἄλλων ἀτρέμα καθεζομένων·

Τόνδε ποθ' Ἕλληνες νίκας κράτει, ἔργῳ Ἄρηος,
Εὐτόλμῳ ψυχᾶς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
Ἱδρύσαντο Διὸς βωμὸν ἐλευθερίου.

Ταύτην τὴν μάχην ἐμαχέσαντο τῇ τετράδι τοῦ Βοηδρομιῶνος ἰσαμένου κατ' Ἀθηναίους, κατὰ δὲ Βοιωτοὺς, τετράδι τοῦ Πανέμου φθίνοντος, ἣ καὶ νῦν ἔτι τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον, καὶ θύουσι τῷ ἐλευθερίῳ Διὶ Πλαταιεῖς ὑπὲρ τῆς νίκης. Τὴν δὲ τῶν ἡμερῶν ἀνωμαλίαν οὐ θαυμαστέον, ὅπου καὶ νῦν, διηκριβωμένων τῶν ἐν ἀστρολογίᾳ μᾶλλον, ἄλλην ἄλλοι μηνὸς ἀρχὴν καὶ τελευτὴν ἄγουσιν.

Κ. Ἐκ τούτου τῶν Ἀθηναίων τὸ ἀριστεῖον οὐ παραδιδόντων τοῖς Σπαρτιάταις, οὐδὲ τρόπαιον ἱσάναι συγχωρούντων ἐκείνοις, παρ' οὐδὲν ἂν ἦλθεν εὐθὺς ἀπολέσθαι τὰ πράγματα τῶν Ἑλλήνων ἐν τοῖς ὅπλοις διασάντων, εἰ μὴ πολλὰ παρηγορῶν καὶ διδάσκων τοὺς συστρατήγους ὁ Ἀριστείδης, μάλιστα δὲ Λεωκράτη καὶ Μυρωνίδην, ἔσχε καὶ συνέπεισε τὴν κρίσιν ἐφεῖναι τοῖς Ἕλλησιν. Ἐνταῦθα βουλευομένων τῶν Ἑλλήνων, Θεογείτων μὲν ὁ Μεγαρεὺς εἶπεν, ὡς ἑτέρᾳ πόλει δοτέον εἴη τὸ ἀριστεῖον, εἰ μὴ βούλονται συνταράξαι πόλεμον ἐμφύλιον· ἐπὶ τούτῳ δ' ἀναστὰς Κλεόκριτος ὁ Κορίνθιος, δόξαν μὲν παρέσχεν, ὡς Κορινθίοις αἰτήσων τὸ ἀριστεῖον· ἦν γὰρ ἐν ἀξιώματι μεγίστῳ μετὰ τὴν Σπάρτην καὶ τὰς Ἀθήνας ἡ Κόρινθος· εἶπε δὲ πᾶσιν ἀρέσαντα θαυμαστὸν λόγον ὑπὲρ Πλαταιέων, καὶ συνεβούλευσε τὴν φιλονεικίαν ἀνελεῖν, ἐκείνοις τὸ ἀριστεῖον ἀποδόντας, οἷς οὐδετέρους τιμωμένους ἄχθεσθαι. Ῥηθέντων δὲ τούτων, πρῶτος μὲν Ἀριστείδης συνεχώρησεν ὑπὲρ τῶν Ἀθηναίων, ἔπειτα Παυσανίας ὑπὲρ τῶν Λακεδαιμονίων. Οὕτω δὲ διαλλαγέντες, ἑξεῖλον ὀγδοήκοντα τάλαντα τοῖς Πλαταιεῦσιν, ἀφ' ὧν τὸ τῆς Ἀθηνᾶς ᾠκοδόμησαν ἱερὸν, καὶ τὸ ἕδος ἔστησαν, καὶ γραφαῖς τὸν νεὼν διεκόσμησαν, αἳ μέχρι νῦν ἀκμάζουσαι διαμένουσιν. Ἔστησαν δὲ τρόπαιον, ἰδίᾳ μὲν Λακεδαιμόνιοι, χωρὶς δ' Ἀθηναῖοι. Περὶ δὲ θυσίας ἐρομένοις αὐτοῖς ἀνεῖλεν ὁ Πύθιος, Διὸς ἐλευθερίου βωμὸν ἱδρύσασθαι, θῦσαι δὲ μὴ πρότερον, ἢ τὸ κατὰ τὴν χώραν πῦρ ἀποσβέσαντας, ὡς ὑπὸ τῶν βαρβάρων μεμιασμένον, ἐναύσασθαι καθαρὸν ἐκ Δελφῶν ἀπὸ τῆς κοινῆς ἑστίας. Οἱ μὲν οὖν ἄρχοντες τῶν Ἑλλήνων περιιόντες εὐθὺς, ἠνάγκαζον ἀποσβεννύναι τὰ πυρὰ πάντα τοὺς χρωμένους· ἐκ δὲ Πλαταιέων Εὐχίδας, ὑποσχόμενος, ὡς ἐνδέχεται τάχιστα κομιεῖν τὸ παρὰ τοῦ θεοῦ πῦρ, ἦκεν εἰς Δελφούς. Ἁγνίσας δὲ τὸ σῶμα καὶ περιῤῥανάμενος, ἐστεφανώσατο δάφνῃ· καὶ λαβὼν ἀπὸ τοῦ βωμοῦ τὸ πῦρ, δρόμῳ πάλιν εἰς τὰς Πλαταιὰς ἐχώρει, καὶ πρὸ

ἡλίου δυσμῶν ἐπανῆλθε, τῆς αὐτῆς ἡμέρας χιλίους σταδίους ἀνύσας. Ἀσπασάμενος δὲ τοὺς πολίτας, καὶ τὸ πῦρ παραδοὺς, εὐθὺς ἔπεσε, καὶ μετὰ μικρὸν ἐξέπνευσεν. Ἀράμενοι δ' αὐτὸν οἱ Πλαταιεῖς, ἔθαψαν ἐν τῷ ἱερῷ τῆς Εὐκλείας Ἀρτέμιδος, ἐπιγράψαντες τόδε τὸ τετράμετρον·

Εὐχίδας Πυθῶδε θρέξας ἦλθε τᾶῦ' αὐθημερόν.

Τὴν δ' Εὔκλειαν οἱ μὲν πολλοὶ καὶ καλοῦσι καὶ νομίζουσιν Ἄρτεμιν, ἔνιοι δέ φασιν, Ἡρακλέους μὲν θυγατέρα καὶ Μυρτοῦς γενέσθαι, τῆς Μενοιτίου μὲν θυγατρὸς, Πατρόκλου δ' ἀδελφῆς· τελευτήσασαν δὲ παρθένον ἔχειν παρά τε Βοιωτοῖς καὶ Λοκροῖς τιμάς. Βωμοὺς γὰρ αὐτῇ καὶ ἄγαλμα παρὰ πᾶσαν ἀγορὰν ἵδρυται, καὶ προθύουσιν αἵ τε γαμούμεναι καὶ οἱ γαμοῦντες.

ΚΑ. Ἐκ τούτου γενομένης ἐκκλησίας κοινῆς τῶν Ἑλλήνων, ἔγραψεν Ἀριστείδης ψήφισμα, συνιέναι μὲν εἰς Πλαταιὰς καθ' ἕκαστον ἐνιαυτὸν τοὺς ἀπὸ τῆς Ἑλλάδος προβούλους καὶ θεωροὺς, ἄγεσθαι δὲ πενταετηρικὸν ἀγῶνα τῶν Ἐλευθερίων. Εἶναι δὲ σύνταξιν Ἑλληνικὴν, μυρίας μὲν ἀσπίδας, χιλίους δὲ ἵππους, ναῦς δ' ἑκατὸν, ἐπὶ τὸν πρὸς βαρβάρους πόλεμον, Πλαταιεῖς δ' ἀσύλους καὶ ἱεροὺς ἀφεῖσθαι τῷ θεῷ, θύοντας ὑπὲρ τῆς Ἑλλάδος. Κυρωθέντων δὲ τούτων, οἱ Πλαταιεῖς ὑπεδέξαντο τοῖς πεσοῦσι καὶ κειμένοις αὐτόθι τῶν Ἑλλήνων ἐναγίζειν καθ' ἕκαστον ἐνιαυτόν. Καὶ τοῦτο μέχρι νῦν δρῶσι τοῦτον τὸν τρόπον· τοῦ Μαιμακτηριῶνος μηνὸς, ὅς ἐστι παρὰ Βοιωτοῖς Ἀλαλκομένιος, τῇ ἕκτῃ ἐπὶ δέκα πέμπουσι πομπὴν, ἧς προηγεῖται μὲν ἅμ' ἡμέρᾳ σαλπιγκτὴς, ἐγκελευόμενος τὸ πολεμικὸν, ἕπονται δ' ἅμαξαι μυρρίνης μεσταὶ καὶ στεφανωμάτων, καὶ μέλας ταῦρος· καὶ χοὰς οἴνου καὶ γάλακτος ἐν ἀμφορεῦσιν, ἐλαίου τε καὶ μύρου κρωσσοὺς νεανίσκοι κομίζοντες ἐλεύθεροι. Δούλῳ γὰρ οὐδενὸς ἔξεστι τῶν περὶ τὴν διακονίαν ἐκείνην προσάψασθαι, διὰ τὸ τοὺς ἄνδρας ἀποθανεῖν ὑπὲρ ἐλευθερίας. Ἐπὶ πᾶσι δὲ τῶν Πλαταιέων ὁ ἄρχων, ᾧ τὸν

ἄλλον χρόνον οὔτε σιδήρου θίγειν ἔξεσιν, οὔθ' ἑτέραν ἐσθῆτα, πλὴν λευκῆς, ἀναλαβεῖν, τότε χιτῶνα ροινικοῦν ἐνδεδυκὼς, ἁρά-μενός τε ὑδρίαν ἀπὸ τοῦ γραμματοφυλακίου ξιφήρης ἐπὶ τοὺς τάφους προάγει διὰ μέσης τῆς πόλεως. Εἶτα λαβὼν ὕδωρ ἀπὸ τῆς κρήνης, αὐτὸς ἀπολούει τὰς στήλας, καὶ μύρῳ χρίει. Καὶ τὸν ταῦρον εἰς τὴν πυρὰν σφάξας, καὶ κατευξάμενος Διΐ καὶ Ἑρμῇ χθονίῳ, παρακαλεῖ τοὺς ἀγαθοὺς ἄνδρας τοὺς ὑπὲρ τῆς Ἑλ-λάδος ἀποθανόντας ἐπὶ τὸ δεῖπνον καὶ τὴν αἱμακουρίαν. Ἔπειτα κρατῆρα κεράσας οἴνου καὶ χεάμενος, ἐπιλέγει· «Προπίνω τοῖς ἀνδράσι τοῖς ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀποθανοῦσι.» Ταῦτα μὲν οὖν ἔτι καὶ νῦν διαφυλάττουσιν οἱ Πλαταιεῖς.

ΚΒ. Ἐπεὶ δ' ἀναχωρήσαντας εἰς τὸ ἄστυ τοὺς Ἀθηναίους ὁ Ἀριστείδης ζητοῦντας ἑώρα ἀπολαβεῖν τὴν δημοκρατίαν, ἅμα μὲν ἄξιον ἡγούμενος διὰ τὴν ἀνδραγαθίαν ἐπιμελείας τὸν δῆμον, ἅμα δ' οὐκ ἔτι ῥᾴδιον, ἰσχύοντα τοῖς ὅπλοις, καὶ μέγα φρονοῦντα ταῖς νίκαις, ἐκβιασθῆναι, γράφει ψήφισμα, κοινὴν εἶναι τὴν πολι-τείαν, καὶ τοὺς ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι. Θεμι-στοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος, ὡς ἔχει τι βούλευμα καὶ γνώμην ἀπόῤῥητον, ὠφέλιμον δὲ τῇ πόλει καὶ σωτήριον, ἐκέλευ-σαν Ἀριστείδην μόνον ἀκοῦσαι, καὶ συνδοκιμάσαι. Φράσαντος δὲ τῷ Ἀριστείδῃ, ὡς διανοεῖται τὸν ναύσαθμον ἐμπρῆσαι τῶν Ἑλ-λήνων· οὕτω γὰρ ἔσεσθαι μεγίστους ἁπάντων καὶ κυρίους τοὺς Ἀ-θηναίους· παρελθὼν εἰς τὸν δῆμον ὁ Ἀριστείδης, ἔφη, τῆς πράξεως, ἣν ὁ Θεμιστοκλῆς πράττειν διανοεῖται, μήτε λυσιτελεστέραν ἄλ-λην, μήτ' ἀδικωτέραν εἶναι. Ταῦτ' ἀκούσαντες οἱ Ἀθηναῖοι, παύ-σασθαι τὸν Θεμιστοκλέα προσέταξαν. Οὕτω μὲν ὁ δῆμος ἦν φιλο-δίκαιος, οὕτω δὲ τῷ δήμῳ πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.

ΚΓ. Ἐπεὶ δὲ στρατηγὸς ἐκπεμφθεὶς μετὰ Κίμωνος ἐπὶ τὸν πόλεμον, ἑώρα τόν τε Παυσανίαν καὶ τοὺς ἄλλους ἄρχοντας τῶν Σπαρτιατῶν ἐπαχθεῖς καὶ χαλεποὺς τοῖς συμμάχοις ὄντας, αὐτός

τε πρᾴως καὶ φιλανθρώπως ὁμιλῶν, καὶ τὸν Κίμωνα παρέχων εὐάρμοστον αὐτοῖς καὶ κοινὸν ἐν ταῖς στρατείαις, ἔλαθε τῶν Λακεδαιμονίων οὐχ ὅπλοις, οὐδὲ ναυσὶν, οὐδ' ἵπποις, εὐγνωμοσύνῃ δὲ καὶ πολιτείᾳ τὴν ἡγεμονίαν παρελόμενος. Προσφιλεῖς γὰρ ὄντας τοὺς Ἀθηναίους τοῖς Ἕλλησι διὰ τὴν Ἀριστείδου δικαιοσύνην καὶ τὴν Κίμωνος ἐπιείκειαν, ἔτι μᾶλλον ἡ Παυσανίου πλεονεξία καὶ βαρύτης ποθεινοὺς ἐποίει. Τοῖς τε γὰρ ἄρχουσι τῶν συμμάχων ἀεὶ μετ' ὀργῆς ἐνετύγχανε καὶ τραχέως, τούς τε πολλοὺς ἐκόλαζε πληγαῖς, ἢ σιδηρᾶν ἄγκυραν ἐπιτιθεὶς ἠνάγκαζεν ἑστάναι διόλης τῆς ἡμέρας. Στιβάδα δ' οὐκ ἦν λαβεῖν, οὐδὲ χόρτον, οὐδὲ κρήνῃ προσελθεῖν ὑδρευσόμενον οὐδένα πρὸ τῶν Σπαρτιατῶν, ἀλλὰ μάσιγας ἔχοντες ὑπηρέται τοὺς προσιόντας ἀπήλαυνον. Ὑπὲρ ὧν τοῦ Ἀριστείδου ποτ' ἐγκαλέσαι καὶ διδάξαι βουλομένου, συναγαγὼν τὸ πρόσωπον ὁ Παυσανίας, οὐκ ἔφη σχολάζειν, οὐδ' ἤκουσεν. Ἐκ τούτου προσιόντες οἱ ναύαρχοι καὶ στρατηγοὶ τῶν Ἑλλήνων, μάλιστα δὲ Χῖοι καὶ Σάμιοι καὶ Λέσβιοι, τὸν Ἀριστείδην ἔπειθον ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ προσαγαγέσθαι τοὺς συμμάχους, πάλαι δεομένους ἀπαλλαγῆναι τῶν Σπαρτιατῶν, καὶ μετατάξασθαι πρὸς τοὺς Ἀθηναίους. Ἀποκριναμένου δ' ἐκείνου, τοῖς μὲν λόγοις αὐτῶν τό τε ἀναγκαῖον ἑνορᾶν καὶ τὸ δίκαιον, ἔργου δὲ δεῖσθαι τὴν πίστιν, ὃ πραχθὲν οὐκ ἐάσει πάλιν μεταβαλέσθαι τοὺς πολλούς, οὕτως οἱ περὶ τὸν Σάμιον Οὐλιάδην καὶ τὸν Χῖον Ἀνταγόραν συνομοσάμενοι, περὶ Βυζάντιον ἐμβάλλουσιν εἰς τὴν τριήρη τοῦ Παυσανίου, προεκπλέουσαν ἐν μέσῳ λαβόντες. Ὡς δὲ κατιδὼν ἐκεῖνος ἐξανέστη, καὶ μετ' ὀργῆς ἠπείλησεν, ὀλίγῳ χρόνῳ τοὺς ἄνδρας ἐπιδείξειν, οὐκ εἰς τὴν αὐτοῦ ναῦν ἐμβεβληκότας, ἀλλ' εἰς τὰς ἰδίας πατρίδας, ἐκέλευον αὐτὸν ἀπιέναι καὶ ἀγαπᾷν τὴν συναγωνισαμένην τύχην ἐν Πλαταιαῖς· ἐκείνην γὰρ ἔτι τοὺς Ἕλληνας αἰσχυνομένους μὴ λαμβάνειν ἀξίαν δίκην παρ' αὐτοῦ. Τέλος δ' ἀποστάντες ᾤχοντο πρὸς

τοὺς Ἀθηναίους. Ἔνθα δὴ καὶ τὸ φρόνημα τῆς Σπάρτης διεφάνη θαυμαστόν. Ὡς γὰρ ἥσθοντο τῷ μεγέθει τῆς ἐξουσίας διαφθειρομένους αὐτῶν τοὺς ἄρχοντας, ἀφῆκαν ἑκουσίως τὴν ἡγεμονίαν, καὶ πέμποντες ἐπὶ τὸν πόλεμον ἐπαύσαντο στρατηγοὺς, μᾶλλον αἱρούμενοι σωφρονοῦντας ἔχειν καὶ τοῖς ἔθεσιν ἐμμένοντας τοὺς πολίτας, ἢ τῆς Ἑλλάδος ἔχειν τὴν ἀρχὴν ἁπάσης.

ΚΔ. Οἱ δ' Ἕλληνες ἐτέλουν μέντινα καὶ Λακεδαιμονίων ἡγουμένων ἀποφορὰν εἰς τὸν πόλεμον, ταχθῆναι δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον, ᾐτήσαντο παρὰ τῶν Ἀθηναίων Ἀριστείδην, καὶ προσέταξαν αὐτῷ, χώραν τε καὶ προσόδους ἐπισκεψάμενον, ὁρίσαι τὸ κατ' ἀξίαν ἑκάστῳ καὶ δύναμιν. Ὁ δὲ, τηλικαύτης ἐξουσίας κύριος γενόμενος, καὶ τρόπον τινὰ τῆς Ἑλλάδος ἐπ' αὐτῷ μόνῳ τὰ πράγματα πάντα θεμένης, πένης μὲν ἐξῆλθεν, ἐπανῆλθε δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν χρημάτων ποιησάμενος. Ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ' Ἀριστείδου φόρον, εὐποτμίαν τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες, ὕμνουν, καὶ μάλιστα μετ' οὐ πολὺν χρόνον διπλασιασθέντος, εἶτ' αὖθις τριπλασιασθέντος. Ὃν μὲν γὰρ Ἀριστείδης ἔταξεν, ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων ταλάντων λόγον. Τούτῳ δὲ Περικλῆς μὲν ἐπέθηκεν ὀλίγου δεῖν τὸ τρίτον μέρος· ἑξακόσια γὰρ τάλαντα Θουκυδίδης φησὶν, ἀρχομένου τοῦ πολέμου, προσιέναι τοῖς Ἀθηναίοις ἀπὸ τῶν συμμάχων· Περικλέους δ' ἀποθανόντος, ἐπιτείνοντες οἱ δημαγωγοὶ κατὰ μικρὸν, εἰς χιλίων καὶ τριακοσίων ταλάντων κεφάλαιον ἀνήγαγον, οὐχ οὕτω τοῦ πολέμου διὰ μῆκος καὶ τύχας δαπανηροῦ γενομένου καὶ πολυτελοῦς, ὡς τὸν δῆμον εἰς διανομὰς καὶ θεωρικὰ καὶ κατασκευὰς ἀγαλμάτων καὶ ἱερῶν προαγαγόντες. Μέγα δ' οὖν ὄνομα τοῦ Ἀριστείδου καὶ θαυμαστὸν ἔχοντος ἐπὶ τῇ διατάξει τῶν φόρων, ὁ Θεμιστοκλῆς λέγεται κατα-

γελᾶν, ὡς οὐκ ἀνδρὸς ὄντα τὸν ἔπαινον, ἀλλὰ θυλάκου χρυσοφύλακος· ἀνομοίως ἀμυνόμενος τὴν Ἀριστείδου παῤῥησίαν. Ἐκεῖνος γὰρ, εἰπόντος ποτὲ τοῦ Θεμιστοκλέους, ἀρετὴν ἡγεῖσθαι μεγίστην στρατηγοῦ, τὸ γινώσκειν καὶ προαισθάνεσθαι τὰ βουλεύματα τῶν πολεμίων· Τοῦτο μὲν, εἰπεῖν, ἀναγκαῖόν ἐστιν, ὦ Θεμιστόκλεις, καλὸν δὲ καὶ στρατηγικὸν ἀληθῶς, ἡ περὶ τὰς χεῖρας ἐγκράτεια.

ΚΕ. Ὁ δ' Ἀριστείδης ὥρκισε μὲν τοὺς Ἕλληνας, καὶ ὤμοσεν ὑπὲρ τῶν Ἀθηναίων, μύδρους ἐμβαλὼν ἐπὶ ταῖς ἀραῖς εἰς τὴν θάλατταν. Ὕστερον δὲ, τῶν πραγμάτων ἄρχειν ἐγκρατέστερον, ὡς ἔοικεν, ἐκβιαζομένων, ἐκέλευε τοὺς Ἀθηναίους τὴν ἐπιορκίαν τρέψαντας εἰς αὐτὸν, ἢ συμφέρει χρῆσθαι τοῖς πράγμασι. Καθ' ὅλου δ' ὁ Θεόφραστος φησὶ, τὸν ἄνδρα τοῦτον, περὶ τὰ οἰκεῖα καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον, ἐν τοῖς κοινοῖς πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν τῆς πατρίδος, ὡς συχνῆς ἀδικίας δεομένης. Καὶ γὰρ τὰ χρήματα φησὶν ἐκ Δήλου βουλευομένων Ἀθήναζε κομίσαι παρὰ τὰς συνθήκας, καὶ Σαμίων εἰσηγουμένων, εἰπεῖν ἐκεῖνον, ὡς οὐ δίκαιον μὲν, συμφέρον δὲ τοῦτ' ἔσι. Καὶ τέλος, εἰς τὸ ἄρχειν ἀνθρώπων τοσούτων καταστήσας τὴν πόλιν, αὐτὸς ἐνέμεινε τῇ πενίᾳ, καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. Δῆλον δ' ἐκεῖθεν. Καλλίας ὁ δαδοῦχος ἦν αὐτῷ γένει προσήκων· τοῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες, ἐπεὶ περὶ ὧν ἐγράψαντο μετρίως κατηγόρησαν, εἶπόν τινα λόγον ἔξωθεν τοιοῦτον πρὸς τοὺς δικαστάς· « Ἀριστείδην (ἔφησαν) ἴσε τὸν Λυσιμάχου, θαυμαζόμενον ἐν τοῖς Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον ἔχειν, ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προερχόμενον εἰς τὸ δημόσιον; Ἀρ' οὐκ εἰκός ἐστι, τὸν ῥιγοῦντα φανερῶς, καὶ πεινᾶν οἴκοι, καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; Τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν αὐτῷ ὄντα, πλουσιώτατος ὢν Ἀθηναίων, περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον,

πολλὰ κεχρημένος τῷ ἀνδρὶ, καὶ πολλάκις αὐτοῦ τῆς παῤῥησίας δυνάμεως ἀπολελαυκώς.» Ὁ δὲ Καλλίας ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας, ἐκάλει τὸν Ἀριστείδην, ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστὰς, ὅτι πολλάκις αὐτοῦ πολλὰ καὶ διδόντος καὶ δεομένου λαβεῖν, οὐκ ἠθέλησεν, ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ τὴν πενίαν μέγα φρονεῖν, ἢ Καλλίᾳ διὰ πλοῦτον προσήκει. Πλούτῳ μὲν γάρ ἐστι πολλοὺς ἰδεῖν εὖ τε καὶ κακῶς χρωμένους, πενίαν δὲ φέροντι γενναίως οὐ ῥᾴδιον ἐντυχεῖν· αἰσχύνεσθαι δὲ πενίαν, τοὺς ἀκουσίως πενομένους. Ταῦτα δὲ τοῦ Ἀριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος, οὐδεὶς ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἀπῄει πένης μᾶλλον, ὡς Ἀριστείδης, εἶναι βουλόμενος, ἢ πλουτεῖν, ὡς Καλλίας. Ταῦτα μὲν Αἰσχίνης ὁ Σωκρατικὸς ἀναγέγραφε. Πλάτων δὲ, τῶν μεγάλων δοκούντων καὶ ὀνομαστῶν Ἀθήνησι, μόνον ἄξιον λόγου τοῦτον ἀποφαίνει τὸν ἄνδρα. Θεμιστοκλέα μὲν γὰρ καὶ Κίμωνα καὶ Περικλέα σοῶν καὶ χρημάτων καὶ ῥυαρίας πολλῆς ἐμπλῆσαι τὴν πόλιν, Ἀριστείδην δὲ πολιτεύσασθαι πρὸς ἀρετήν. Μεγάλα δ' αὐτοῦ καὶ τὰ πρὸς Θεμιστοκλέα τῆς ἐπιεικείας σημεῖα. Χρησάμενος γὰρ αὐτῷ παρὰ πᾶσαν τὴν πολιτείαν ἐχθρῷ, καὶ δι' ἐκεῖνον ἐξοστρακισθείς, ἐπεὶ τὴν αὐτὴν λαβὴν παρέσχεν ὁ ἀνὴρ ἐν αἰτίᾳ γενόμενος πρὸς τὴν πόλιν, οὐκ ἐμνησικάκησεν· ἀλλ', Ἀλκμαίωνος καὶ Κίμωνος καὶ πολλῶν ἄλλων ἐλαυνόντων καὶ κατηγορούντων, μόνος Ἀριστείδης οὔτ' ἔπραξέ τι, οὔτ' εἶπε φαῦλον, οὔτ' ἀπέλαυσεν ἐχθροῦ δυστυχοῦντος, ὥσπερ οὐδ' εὐημεροῦντι πρότερον ἐφθόνησε.

Κς. Τελευτῆσαι δ' Ἀριστείδην οἱ μὲν ἐν Πόντῳ φασὶν, ἐκπλεύσαντα πράξεων ἕνεκα δημοσίων· οἱ δ' Ἀθήνῃσι, γήρᾳ, τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν πολιτῶν. Κρατερὸς δ' ὁ Μακεδὼν τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. Μετὰ γὰρ τὴν Θεμιστοκλέους φυγὴν φησὶν, ὥσπερ ἐξυβρίσαντα

τὸν δῆμον, ἀναφῦσαι πλῆθος συκοφαντῶν, οἳ τοὺς ἀρίστους καὶ δυνατωτάτους ἄνδρας διώκοντες, ὑπέβαλλον τῷ φθόνῳ τῶν πολλῶν ἐπαιρομένων ὑπ' εὐτυχίας καὶ δυνάμεως. Ἐν τούτοις καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας, Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς, ὅτε τοὺς φόρους ἔπραττε, παρὰ τῶν Ἰώνων χρήματα λαβόντος· ἐκτίσαι δ' οὐκ ἔχοντα τὴν καταδίκην, πεντήκοντα μνῶν οὖσαν, ἐκπλεῦσαι, καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν. Τούτων οὐδὲν ἔγγραφον ὁ Κρατερὸς τεκμήριον παρέσχεν, οὔτε δίκην, οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς γράφειν τὰ τοιαῦτα, καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας. Οἱ δ' ἄλλοι πάντες, ὡς ἔπος εἰπεῖν, ὅσοι τὰ πλημμεληθέντα τῷ δήμῳ περὶ τοὺς στρατηγοὺς διεξιασι, τὴν μὲν Θεμιστοκλέους φυγήν, καὶ τὰ Μιλτιάδου δεσμά, καὶ τὴν Περικλέους ζημίαν, καὶ τὸν Πάχητος ἐν τῷ δικαστηρίῳ θάνατον, ἀνελόντος αὐτὸν ἐπὶ τοῦ βήματος, ὡς ἡλίσκετο, καὶ πολλὰ τοιαῦτα συνάγουσι καὶ θρυλλοῦσιν· Ἀριστείδου δὲ τὸν μὲν ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης οὐδαμοῦ μνημονεύουσι.

ΚΖ. Καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ Φαληροῖ δεικνύμενος, ὅν φασι κατασκευάσαι τὴν πόλιν αὐτῷ, μηδ' ἐντάφια καταλιπόντι. Καὶ τὰς μὲν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου τοῖς νυμφίοις ἐκδοθῆναι, δημοσίᾳ τῆς πόλεως τὸν γάμον ἐγγυώσης, καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέρᾳ ψηφισαμένης· Λυσιμάχῳ δὲ τῷ υἱῷ μνᾶς μὲν ἑκατὸν ἀργυρίου, καὶ γῆς τοσαῦτα πλέθρα πεφυτευμένης ἔδωκεν ὁ δῆμος, ἄλλας δὲ δραχμὰς τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν, Ἀλκιβιάδου τὸ ψήφισμα γράψαντος. Ἔτι δὲ Λυσιμάχου θυγατέρα Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης φησί, καὶ ταύτῃ σίτησιν, ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις, ὁ δῆμος ἐψηφίσατο. Δημήτριος δ' ὁ Φαληρεὺς, καὶ Ἱερώνυμος ὁ Ῥόδιος, καὶ Ἀριστόξενος ὁ μουσικὸς, καὶ Ἀριστοτέλης (εἰ δὴ τὸ Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον), ἱστο-

ροῦσι, Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν. Ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Αυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος ἔβοσκε. Τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας δωρεὰν ἔπεισε τὸν δῆμον διδόναι, τριώβολον ἑκάστης ἡμέρας. Αὐτὸς μέντοι ὁ Δημήτριος νομοθετῶν ἐψηφίσατο δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν. Καὶ οὐδέν ἐστι θαυμαστὸν, οὕτω φροντίσαι τῶν ἐν ἄστει τὸν δῆμον, ὅπου θυγατριδῆν Ἀριστογείτονος ἐν Λήμνῳ πυθόμενοι ταπεινὰ πράττειν, ἀνδρὸς ἀποροῦσαν διὰ πενίαν, κατήγαγον Ἀθήναζε, καὶ συνοικίσαντες ἀνδρὶ τῶν εὖ γεγονότων, τὸ Ποταμοῖ χωρίον εἰς φερνὴν ἐπέδωκαν. Ἧς φιλανθρωπίας καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ' ἡμᾶς ἡ πόλις ἐκφέρουσα δείγματα θαυμάζεται καὶ ζηλοῦται δικαίως.

ΠΛΟΥΤ. ΜΑΡΚΟΣ ΚΑΤΩΝ.

Μάρκωι δὲ Κάτωνι φασὶν ἀπὸ Τούσκλου τὸ γένος εἶναι, δίαιταν δὲ καὶ βίον ἔχειν πρὸ τῶν στρατειῶν καὶ τῆς πολιτείας ἐν χωρίοις πατρῴοις περὶ τοὺς Σαβίνους. Τῶν δὲ προγόνων παντάπασιν ἀγνώσων γεγονέναι δοκούντων, αὐτὸς ὁ Κάτων καὶ τὸν πατέρα Μάρκον, ὡς ἀγαθὸν ἄνδρα καὶ στρατιωτικὸν ἐπαινεῖ, καὶ Κάτωνα τὸν πρόπαππον ἀριστείων πολλάκις τυχεῖν φησι, καὶ πέντε πολεμιστὰς ἵππους ἐν μάχαις ἀποβαλόντα, τὴν τιμὴν ἀπολαβεῖν ἐκ τοῦ δημοσίου δι' ἀνδραγαθίαν. Εἰωθότων δὲ τῶν Ῥωμαίων τοὺς ἀπὸ γένους δόξαν οὐκ ἔχοντας, ἀρχομένους δὲ γνωρίζεσθαι δι' αὑτῶν, Καινοὺς προσαγορεύειν ἀνθρώπους, ὥσπερ καὶ τὸν Κάτωνα προσηγόρευον, αὐτὸς ἔλεγε καινὸς εἶναι πρὸς ἀρχὴν καὶ δόξαν, ἔργοις δὲ προγόνων καὶ ἀρεταῖς παμπάλαιος. Ἐκαλεῖτο δὲ τῷ τρίτῳ τῶν ὀνομάτων πρότερον, οὐ Κάτων, ἀλλὰ Πρίσκος· ὕστερον δὲ τὸν Κάτωνα τῆς δυνάμεως ἐπώνυμον ἔσχε. Ῥωμαῖοι γὰρ τὸν ἔμπειρον Κάτον ὀνομάζουσιν. Ἦν δὲ τὸ μὲν εἶδος ὑπόπυῤῥος καὶ γλαυκὸς, ὡς ὁ ποιήσας τὸ ἐπιγραμμάτιον οὐκ εὐμενῶς παρεμφαίνει·

Πυῤῥὸν, πανδακέτην, γλαυκόμματον, οὐδὲ θανόντα
Πόρκιον εἰς ἀίδην Φερσεφόνη δέχεται.

Τὴν δὲ τοῦ σώματος ἕξιν, αὐτουργίᾳ καὶ διαίτῃ σώφρονι καὶ στρατείαις ἀπ' ἀρχῆς συντρόφου γεγονότος, πάνυ χρησιμὴν εἶχε, καὶ πρὸς ἰσχὺν καὶ πρὸς ὑγείαν ὁμαλῶς συνεσῶσαν. Τὸν δὲ λόγον, ὥσπερ δεύτερον σῶμα, καὶ τῶν καλῶν οὐ μόνον ἀναγκαῖον ὄργανον ἀνδρὶ μὴ ταπεινῶς βιωσομένῳ, μηδ' ἀπράκτως, ἐξηρτύετο καὶ παρεσκεύαζεν, ἐν ταῖς περιοικίσι κώμαις καὶ τοῖς πολιχνίοις ἑκάστοτε συνδικῶν τοῖς δεομένοις. Καὶ πρῶτον μὲν ἀγωνιστὴς

εἶναι δοκῶν πρόθυμος, εἶτα καὶ ῥήτωρ ἱκανός· ἐκ δὲ τούτου μᾶλλον τοῖς χρωμένοις κατεφαίνετο βάρος τι καὶ φρόνημα περὶ αὐτὸν ἦθους, καὶ πραγμάτων μεγάλων καὶ πολιτείας δεόμενον ἡγεμονικῆς. Οὐ γὰρ μόνον, ὡς ἔοικε, μισθαρνίας καθαρὸν ἑαυτὸν ἐπὶ τὰς δίκας καὶ τοὺς ἀγῶνας παρεῖχεν, ἀλλ' οὐδὲ τὴν δόξαν ὡς μέγιστον ἀγαπῶν ἐφαίνετο τὴν ἀπὸ τῶν τοιούτων ἀγώνων. Πολὺ δὲ μᾶλλον ἐν ταῖς μάχαις ταῖς πρὸς τοὺς πολεμίους καὶ ταῖς στρατείαις βουλόμενος εὐδοκιμεῖν, ἔτι μειράκιον ὢν, τραυμάτων τὸ σῶμα μεστὸν ἐναντίων εἶχε. Φησὶ γὰρ αὐτὸς, ἑπτακαίδεκα γεγονὼς ἔτη τὴν πρώτην στρατεύσασθαι στρατείαν, περὶ ὧν Ἀννίβας χρόνον εὐτυχῶν ἐπέφλεγε τὴν Ἰταλίαν. Παρεῖχε δ' αὐτὸν ἐν ταῖς μάχαις τῇ μὲν χειρὶ πλήκτην, τῷ δὲ ποδὶ μόνιμον καὶ βέβαιον, γαῦρον δὲ τῷ προσώπῳ. Λόγου δ' ἀπειλῇ καὶ τραχύτητι φωνῆς πρὸς τοὺς πολεμίους ἐχρῆτο· ὀρθῶς καὶ διανοούμενος καὶ διδάσκων, ὅτι πολλάκις τὰ τοιαῦτα τοῦ ξίφους μᾶλλον καταπλήττεται τοὺς ἐναντίους. Ἐν δὲ ταῖς πορείαις αὐτὸς ἐβάδιζε φέρων τὰ ὅπλα, καὶ θεράπων εἷς εἵπετο, τὰ πρὸς δίαιταν αὐτῷ κομίζων, ᾧ λέγεται μηδέποτε δυσκολᾶναι, μηδὲ μέμψασθαι, παραθέντι ἄριστον, ἢ δεῖπνον, ἀλλὰ καὶ συλλαμβάνειν αὐτὸς τὰ πλεῖστα καὶ συμπαρασκευάζειν, ἀπὸ τῶν στρατιωτικῶν γενόμενος ἔργων. Ὕδωρ δ' ἔπινεν ἐπὶ τῆς στρατείας, πλὴν εἴποτε διψήσας περιφλεγῶς, ὄξος ἤτησεν, ἢ τῆς ἰσχύος ἐνδιδούσης, ἐπιλάβοι μικρὸν οἰνάριον.

Β. Ἦν δὲ πλησίον αὐτοῦ τῶν ἀγρῶν ἡ γενομένη Μανίου Κουρίου τοῦ τρὶς θριαμβεύσαντος ἔπαυλις. Ἐπὶ ταύτην συνεχῶς βαδίζων καὶ θεώμενος τοῦτε χωρίου τὴν μικρότητα, καὶ τῆς οἰκήσεως τὸ λιτὸν, ἔννοιαν ἐλάμβανε τοῦ ἀνδρὸς, ὅτι Ῥωμαίων μέγιστος γενόμενος, καὶ τὰ μαχιμώτατα τῶν ἐθνῶν ὑπαγαγόμενος, καὶ Πύρρον ἐξελάσας τῆς Ἰταλίας, τοῦτο τὸ χωρίδιον αὐτὸς ἔσκαπτε, καὶ ταύτην τὴν ἔπαυλιν ᾤκει μετὰ τρεῖς θριάμβους.

βους. Ἐνταῦθα πρὸς ἐσχάρᾳ καθήμενον αὐτὸν ἕψοντα γογγυλίδας εὑρόντες οἱ Σαννιτῶν πρέσβεις, ἐδίδοσαν πολὺ χρυσίον. Ὁ δ' ἀπεπέμψατο, φήσας, οὐδὲν χρυσίου δεῖν, ᾧ δεῖπνον ἀρκεῖ τοιοῦτον· αὐτῷ μέντοι τοῦ χρυσίον ἔχειν, κάλλιον εἶναι τὸ νικᾶν τοὺς ἔχοντας. Ταῦθ' ὁ Κάτων ἐνθυμούμενος ἀπῄει, καὶ τὸν αὐτοῦ πάλιν οἶκον ἐφορῶν καὶ χωρία καὶ θεράποντας, καὶ δίαιταν, ἐπέτεινε τὴν αὐτουργίαν, καὶ περιέκοπτε τὴν πολυτέλειαν. Φαβίου δὲ Μαξίμου τὴν Ταραντίνων πόλιν ἑλόντος, ἔτυχε μὲν ὁ Κάτων στρατευόμενος ὑπ' αὐτῷ, κομιδῇ μειράκιον ὤν. Νεάρχῳ δέ τινι τῶν Πυθαγορικῶν ξένῳ χρησάμενος, ἐσπούδασε τῶν λόγων μεταλαβεῖν. Ἀκούσας δὲ ταῦτα διαλεγομένου τοῦ ἀνδρὸς, οἷς κέχρηται καὶ Πλάτων, τὴν μὲν ἡδονὴν ἀποκαλῶν μέγιστον κακοῦ δέλεαρ, συμφορὰν δὲ τῇ ψυχῇ τὸ σῶμα πρώτην, λύσιν δὲ καὶ καθαρμὸν, οἷς μάλιστα χωρίζει καὶ ἀφίστησιν αὑτὴν τῶν περὶ τὸ σῶμα παθημάτων λογισμοῖς, ἔτι μᾶλλον ἠγάπησε τὸ λιτὸν καὶ τὴν ἐγκράτειαν. Ἄλλως δὲ παιδείας Ἑλληνικῆς ὀλιγαθὴς γενέσθαι λέγεται, καὶ πόρρω παντάπασιν ἡλικίας ἐληλακὼς Ἑλληνικὰ βιβλία λαβὼν εἰς χεῖρας, βραχέα μὲν ἀπὸ Θουκυδίδου, πλείονα δ' ἀπὸ Δημοσθένους εἰς τὸ ῥητορικὸν ὠφεληθῆναι. Τὰ μέντοι συγγράμματα καὶ δόγμασιν Ἑλληνικοῖς καὶ ἱστορίαις ἐπιεικῶς διαπεποίκιλται· καὶ μεθηρμηνευμένα πολλὰ κατὰ λέξιν ἐν τοῖς ἀπορθέγμασι καὶ ταῖς γνωμολογίαις τέτακται.

Γ. Ἦν δέ τις ἀνὴρ εὐπατρίδης μὲν ἐν τοῖς μάλιστα Ῥωμαίων καὶ δυνατὸς, ἀρετὴν δὲ φυομένην μὲν αἰσθάνεσθαι δεινὸς, εὐμενὴς δὲ καὶ θρέψαι καὶ προαγαγεῖν εἰς δόξαν, Οὐαλέριος Φλάκκος. Οὗτος εἶχεν ὁμορροῦντα χωρία τοῖς Κάτωνος· πυθόμενος δὲ τὴν αὐτουργίαν καὶ δίαιταν αὐτοῦ παρὰ τῶν οἰκετῶν, καὶ θαυμάσας ἐξηγουμένων, ὅτι πρωΐ μὲν εἰς ἀγορὰν βαδίζει καὶ παρίσταται τοις δεομένοις, ἐπανελθὼν δ' εἰς τὸ χωρίον, ἂν μὲν ᾖ χειμὼν, ἐξωμίδα λαβὼν, θέρους δὲ γυμνὸς, ἐργασάμενος μετὰ τῶν οἰ-

κετῶν, ἐσθίει τὸν αὐτὸν ἄρτον ὁμοῦ καθήμενος, καὶ πίνει τὸν αὐτὸν οἶνον· ἄλλην τε πολλὴν ἐπιείκειαν αὐτοῦ καὶ μετριότητα, καί τινας καὶ λόγους ἀποφθεγματικοὺς διαμνημονευόντων, ἐκέλευσε κληθῆναι πρὸς τὸ δεῖπνον. Ἐκ δὲ τούτου χρώμενος καὶ κατανοῶν ἥμερον καὶ ἀσεῖον ἦθος, ὥσπερ φυτὸν, ἀσκήσεως καὶ χώρας ἐπιφανοῦς δεόμενον, προετρέψατο καὶ συνέπεισεν ἅψασθαι τῆς ἐν Ῥώμῃ πολιτείας. Κατελθὼν οὖν, εὐθὺς τοὺς μὲν αὐτὸς ἐκτᾶτο θαυμαστὰς καὶ φίλους διὰ τῶν συνηγοριῶν· πολλὴν δὲ τοῦ Οὐαλερίου τιμὴν καὶ δύναμιν αὐτῷ προστιθέντος, χιλιαρχίας ἔτυχε πρῶτον, εἶτα ἐταμίευσεν. Ἐκ τούτου δὲ λαμπρὸς ὢν ἤδη καὶ περιφανὴς, αὐτῷ τῷ Οὐαλερίῳ περὶ τὰς μεγίστας συνεξέδραμεν ἀρχὰς, ὕπατός τε μετ' ἐκείνου καὶ πάλιν τιμητὴς γενόμενος. Τῶν δὲ πρεσβυτέρων πολιτῶν Μαξίμῳ Φαβίῳ προσένειμεν ἑαυτὸν, ἐνδοξοτάτῳ μὲν ὄντι καὶ μεγίστην ἔχοντι δύναμιν, μᾶλλον δὲ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον, ὡς κάλλιστα παραδείγματα, προθέμενος. Διὸ καὶ Σκιπίωνι τῷ μεγάλῳ, νέῳ μὲν ὄντι τότε, πρὸς δὲ τὴν Φαβίου δύναμιν ἀνταίροντι καὶ φθονεῖσθαι δοκοῦντι, παρ' οὐδὲν ἐποιήσατο γενέσθαι διάφορος. Ἀλλὰ καὶ ταμίας αὐτῷ πρὸς τὸν ἐν Λιβύῃ πόλεμον συνεκπεμφθείς, ὡς ἑώρα τῇ συνήθει πολυτελείᾳ χρώμενον τὸν ἄνδρα, καὶ καταχορηγοῦντα τοῖς στρατεύμασιν ἀφειδῶς τῶν χρημάτων, ἐπαρρησιάζετο πρὸς αὐτὸν, οὐ τὸ τῆς δαπάνης μέγιστον εἶναι φάμενος, ἀλλ' ὅτι διαφθείρει τὴν πάτριον εὐτέλειαν, τῶν στρατιωτῶν ἐφ' ἡδονὰς καὶ τρυφὰς τῷ περιόντι τῆς χρείας τρεπομένων. Εἰπόντος δὲ τοῦ Σκιπίωνος, ὡς οὐδὲν δέοιτο ταμίου λίαν ἀκριβοῦς, πλησίστιος ἐπὶ τὸν πόλεμον φερόμενος, πράξεων γὰρ, οὐ χρημάτων, τῇ πόλει λόγον ὀφείλειν, ἀπῆλθεν ὁ Κάτων ἐκ Σικελίας, καὶ μετὰ τοῦ Φαβίου καταβοῶν ἐν τῷ συνεδρίῳ φθοράν τε χρημάτων ἀμυθήτων ὑπὸ τοῦ Σκιπίωνος, καὶ διατριβὰς αὐτοῦ μειρακιώδεις ἐν παλαίστραις καὶ θεάτροις, ὥσπερ οὐ στρατηγοῦντος, ἀλλὰ πανηγυρίζοντος,



ΕΚ ΤΟΥ ΕΝ ΚΑΠΙΤΩΛΙΩΙ ΜΟΥΣΕΙΟΥ.

ΔΕΣΜΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
• ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ἐξειργάσατο περιφθῆναι δημάρχους ἐπ' αὐτὸν, ἄξοντας εἰς Ῥώμην, ἅπερ ἀληθεῖς αἱ κατηγορίαι φανῶσιν. Ὁ μὲν οὖν Σκιπίων ἐν τῇ παρασκευῇ τοῦ πολέμου τὴν νίκην ἐπιδειξάμενος, καὶ φανεὶς ἡδὺς μὲν ἐπὶ σχολῆς συνεῖναι φίλοις, οὐδαμοῦ δὲ τῷ φιλανθρώπῳ τῆς διαίτης εἰς τὰ σπουδαῖα καὶ μεγάλα ῥᾴθυμος, ἐξέπλευσεν ἐπὶ τὸν πόλεμον.

Δ. Τῷ δὲ Κάτωνι πολλὴ μὲν ἀπὸ τοῦ λόγου δύναμις ηὔξετο, καὶ Ῥωμαῖον αὐτὸν οἱ πολλοὶ Δημοσθένη προσηγόρευον, ὁ δὲ βίος μᾶλλον ὀνομαστὸς ἦν αὐτοῦ καὶ περιβόητος. Ἡ μὲν γὰρ ἐν τῷ λέγειν δεινότης προὔκειτο τοῖς νέοις ἀγώνισμα κοινὸν ἤδη καὶ περισπούδαστον. Ὁ δὲ τὴν πάτριον αὐτουργίαν ὑπομένων, καὶ δεῖπνον ἀφελὲς, καὶ ἄριστον ἄπυρον, καὶ λιτὴν ἐσθῆτα, καὶ δημοτικὴν ἀσπαζόμενος οἴκησιν, καὶ τὸ μὴ δεῖσθαι τῶν περιττῶν μᾶλλον, ἢ τὸ κεκτῆσθαι, θαυμάζων, σπάνιος ἦν, ἤδη τότε τῆς πολιτείας τὸ καθαρὸν ὑπὸ μεγέθους οὐ φυλαττούσης, ἀλλὰ τῷ κρατεῖν πραγμάτων πολλῶν καὶ ἀνθρώπων, πρὸς πολλὰ μιγνυμένης ἔθη, καὶ βίων παραδείγματα παντοδαπῶν ὑποδεχομένης. Εἰκότως οὖν ἐθαύμαζον τὸν Κάτωνα, τοὺς μὲν ἄλλους ὑπὸ τῶν πόνων θραυομένους, καὶ μαλασσομένους ὑπὸ τῶν ἡδονῶν ὁρῶντες, ἐκεῖνον δὲ ὑπ' ἀμφοῖν ἀήττητον, οὐ μόνον ἕως ἔτι νέος καὶ φιλότιμος ἦν, ἀλλὰ καὶ γέροντα καὶ πολιὸν ἤδη, μεθ' ὑπατείαν καὶ θρίαμβον, ὥσπερ ἀθλητὴν νικηφόρον, ἐγκαρτεροῦντα τῇ τάξει τῆς ἀσκήσεως, καὶ διομαλίζοντα μέχρι τῆς τελευτῆς. Ἐσθῆτα μὲν γὰρ οὐδέποτε φησὶ φορέσαι πολυτελεστέραν ἑκατὸν δραχμῶν· πιεῖν δὲ καὶ στρατηγῶν καὶ ὑπατεύων τὸν αὐτὸν οἶνον τοῖς ἐργάταις· ὄψον δὲ παρασκευάζεσθαι πρὸς τὸ δεῖπνον ἐξ ἀγορᾶς, ἀσσαρίων τριάκοντα· καὶ τοῦτο διὰ τὴν πόλιν, ὅπως ἰσχύοι τὸ σῶμα πρὸς τὰς στρατείας. Ἐπίβλημα δὲ τῶν ποικίλων Βαβυλώνιον ἐκ κληρονομίας κτησάμενος, εὐθὺς ἀποδόσθαι· τῶν δ' ἐπαύλεων αὐτοῦ μηδεμίαν εἶναι κεκονιαμένην· οὐδένα δὲ πώ-

ποτε πρίασθαι δοῦλον ὑπὲρ τὰς χιλίας δραχμὰς καὶ πεντακοσίας, ὡς ἂν οὐ τρυφερῶν, οὐδ' ὡραίων, ἀλλ' ἐργατικῶν καὶ σφρεῶν, οἷον ἱπποκόμων καὶ βοηλατῶν, δεόμενος. Καὶ τούτους πρεσβυτέρους γενομένους ᾤετο δεῖν ἀποδίδοσθαι, καὶ μὴ βόσκειν ἀχρήσους. Ὅλως δὲ μηδὲν εὔωνον εἶναι τῶν περιττῶν, ἀλλ' οὗ τις οὐ δεῖται, κἂν ἀσσαρίου πιπράσκηται, πολλοῦ νομίζειν. Κτᾶσθαι δὲ τὰ σπειρόμενα καὶ νεμόμενα μᾶλλον, ἢ τὰ ῥαινόμενα καὶ σαιρόμενα.

Ε. Ταῦτα δ' οἱ μὲν εἰς σμικρολογίαν ἐτίθεντο τοῦ ἀνδρὸς, οἱ δ' ὡς ἐπὶ διορθώσει καὶ σωφρονισμῷ τῶν ἄλλων ἐνδοτέρω συστέλλοντος ἑαυτὸν, ἀπεδέχοντο. Ἦλθε δὲ τοῖς οἰκέταις ὡς ὑποζυγίοις ἀποχρησάμενον, ἐπὶ γήρως ἐλαύνειν καὶ πιπράσκειν, ἀτενοῦς ἄγαν ἦθους ἐγὼ τίθεμαι, καὶ μηδὲν ἀνθρώπῳ πρὸς ἄνθρωπον οἰομένου κοινώνημα τῆς χρείας πλέον ὑπάρχειν. Καίτοι τὴν χρησότητα τῆς δικαιοσύνης πλατύτερον τόπον ὁρῶμεν ἐπιλαμβάνουσαν. Νόμῳ μὲν γὰρ καὶ τῷ δικαίῳ πρὸς ἀνθρώπους μόνον χρῆσθαι περύκαμεν· πρὸς εὐεργεσίας δὲ καὶ χάριτας ἔστιν ὅτε καὶ μέχρι τῶν ἀλόγων ζώων, ὥσπερ ἐκ πηγῆς πλουσίας, ἀπορρεῖ τῆς ἡμερότητος. Καὶ γὰρ ἵππων ἀπειρηκότων ὑπὸ πόνου τροφαὶ, καὶ κυνῶν οὐ σκυλακεῖαι μόνον, ἀλλὰ καὶ γηροκομίαι τῷ χρηστῷ προστήκουσιν. Ὁ δὲ τῶν Ἀθηναίων δῆμος οἰκοδομῶν τὸν Ἑκατόμπεδον, ὅσας κατενόησεν ἡμιόνους μάλιστα τοῖς πόνοις ἐγκαρτερούσας, ἀπέλυσεν ἐλευθέρας νέμεσθαι καὶ ἀρέτους. Ὧν μίαν φασὶ καταβαίνουσαν ἀφ' ἑαυτῆς πρὸς τὰ ἔργα, τοῖς ἀνάγουσι τὰς ἁμάξας ὑποζυγίοις εἰς ἀκρόπολιν συμπαραπρέχειν καὶ προηγεῖσθαι, καθάπερ ἐγκελευομένην καὶ συνεξορμῶσαν· ἣν καὶ τρέφεσθαι δημοσίᾳ μέχρι τελευτῆς ἐψηφίσαντο. Τῶν δὲ Κίμωνος ἵππων, αἷς Ὀλυμπιατρὶς ἐνίκησε, καὶ ταφαὶ πλησίον εἰσὶ τῶν ἐκείνου μνημάτων. Κύνας δὲ συντρόφους γενομένους καὶ συνήθεις ἄλλοι τε πολλοὶ, καὶ Ξάνθιππος ὁ παλαιὸς τὸν εἰς Σα-

λαμῖνα τῇ τριήρει παρανηξάμενον, ὅτε τὴν πόλιν ὁ δῆμος ἐξέλιπεν, ἐπὶ τῆς ἄκρας ἐκήδευσεν, ἣν Κυνὸς σῆμα μέχρι νῦν καλοῦσιν. Οὐ γὰρ, ὡς ὑποδήμασιν, ἢ σκεύεσι, τοῖς ψυχὴν ἔχουσι χρηστέον, κοπέντα καὶ κατατριβέντα ταῖς ὑπηρεσίαις ἀπορρίπτοῦντας, ἀλλ' εἰ διὰ μηδὲν ἄλλο, μελέτης ἕνεκα τοῦ φιλανθρώπου, προεθιστέον ἑαυτὸν ἐν τούτοις πρᾷον εἶναι καὶ μείλιχον. Ἐγὼ μὲν οὖν οὐδὲ βοῦν ἂν ἐργάτην διὰ γῆρας ἀποδοίμην, μήτι γε πρεσβύτερον ἄνθρωπον, ἐκ χώρας συντρόφου καὶ διαίτης συνήθους, ὥσπερ ἐκ πατρίδος, μεθιστάμενον ἀντὶ κερμάτων μικρῶν, ἄχρηστόν γε τοῖς ὠνουμένοις, ὥσπερ τοῖς πιπράσκουσι, γεγενημένον. Ὁ δὲ Κάτων, ὥσπερ νεανιευόμενος ἐπὶ τούτοις, καὶ τὸν ἵππον, ᾧ πρὸς τὰς στρατείας ὑπατεύων ἐχρῆτο, φησὶν ἐν Ἰβηρίᾳ καταλιπεῖν, ἵνα μὴ τῇ πόλει τὸ ναῦλον αὐτοῦ λογίσηται. Ταῦτα μὲν οὖν, εἴτε μεγαλοψυχίας, εἴτε μικρολογίας θετέον, ἔξεστι τῷ πείθοντι χρῆσθαι λογισμῷ.

ς. Τῆς δ' ἄλλης ἐγκρατείας ὑπερφυῶς θαυμαστὸς ὁ ἀνήρ· ὅστις στρατηγῶν ἐλάμβανεν ἑαυτῷ καὶ τοῖς περὶ αὐτὸν οὐ πλέον εἰς τὸν μῆνα πυρῶν, ἢ τρεῖς Ἀττικοὺς μεδίμνους, εἰς δὲ τὴν ἡμέραν, κριθῶν τοῖς ὑποζυγίοις ἔλαττον τριῶν ἡμιμεδίμνων. Ὑπαρχίαν δὲ λαβὼν Σαρδόνα, τῶν πρὸ αὐτοῦ στρατηγῶν εἰωθότων χρῆσθαι σκηνώμασι δημοσίοις καὶ κλίναις καὶ ἱματίοις, πολλῆ τε θεραπείᾳ καὶ φίλων πλήθει, καὶ περὶ δεῖπνα δαπάναις, καὶ παρασκευαῖς βαρυνόντων, ἐκεῖνος ἄπιστον ἐποίησε τὴν διαφορὰν τῆς εὐτελείας. Δαπάνης μὲν γὰρ εἰς οὐδὲν οὐδεμιᾶς προσεδεήθη δημοσίας. Ἐπεφοίτα δὲ ταῖς πόλεσιν, αὐτὸς μὲν ἄνευ ζεύγους πορευόμενος, εἷς δ' ἠκολούθει δημόσιος, ἐσθῆτα καὶ σπονδεῖον αὐτῷ πρὸς ἱερουργίαν κομίζων. Ἐν δὲ τούτοις οὕτως εὔκολος καὶ ἀφελὴς τοῖς ὑπὸ χεῖρα φαινόμενος, αὖθις ἀνταπεδίδου τὴν σεμνότητα καὶ τὸ βάρος, ἀπαραίτητος ὢν ἐν τῷ δικαίῳ, καὶ τοῖς ὑπὲρ τῆς ἡγεμονίας προστάγμασιν ὄρθιος καὶ

αὐθέκαστος· ὥστε μηδέποτε τὴν Ῥωμαίων ἀρχὴν ἐκείνοις μήτε φοβερωτέραν, μήτε προσφιλεστέραν γενέσθαι.

Ζ. Τοιαύτην δέ τινα φαίνεται καὶ ὁ λόγος τοῦ ἀνδρὸς ἰδέαν ἔχειν· εὔχαρις γὰρ ἅμα καὶ δεινὸς ἦν, ἡδὺς καὶ καταπληκτικός, φιλοσκώμμων καὶ αὐστηρός, ἀποφθεγματικὸς καὶ ἀγωνιστικός. Ὥσπερ ὁ Πλάτων τὸν Σωκράτην φησὶν ἔξωθεν ἰδιώτην καὶ σατυρικὸν καὶ ὑβριστὴν τοῖς ἐντυγχάνουσι φαινόμενον, ἔνδοθεν δὲ σπουδῆς καὶ πραγμάτων μεστὸν εἶναι, δάκρυα κινούντων τοῖς ἀκροωμένοις, καὶ τὴν καρδίαν τρεφόντων. Ὅθεν οὐκ οἶδα, τί πεπόνθασιν οἱ τῷ Λυσίου λόγῳ μάλιστα φάμενοι προσεοικέναι τὸν Κάτωνος. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν οἷς μᾶλλον ἰδέας λόγων Ῥωμαϊκῶν αἰσθάνεσθαι προσήκει, διακρινοῦσιν· ἡμεῖς δὲ τῶν ἀπομνημονευομένων βραχέα γράψομεν, οἳ τῷ λόγῳ πολὺ μᾶλλον, ἢ τῷ προσώπῳ, καθάπερ ἔνιοι νομίζουσι, τῶν ἀνθρώπων φαμὲν ἐμφαίνεσθαι τὸ ἦθος.

Η. Μέλλων ποτὲ τὸν Ῥωμαίων δῆμον ὠρμημένον ἀκαίρως ἐπὶ σιτομετρίας καὶ διανομὰς ἀποτρέπειν, ἤρξατο τῶν λόγων οὕτως· Χαλεπὸν μέν ἐστιν, ὦ πολῖται, πρὸς γαστέρα λέγειν ὦτα οὐκ ἔχουσαν. Κατηγορῶν δὲ τῆς πολυτελείας ἔφη, χαλεπὸν εἶναι σωθῆναι πόλιν, ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς, ἢ βοῦς. Ἐοικέναι δ' ἔφη προβάτοις τοὺς Ῥωμαίους· ὡς γὰρ ἐκεῖνα καθ' ἕκαστα μὲν οὐ πείθεται, σύμπαντα δ' ἕπεται μετ' ἀλλήλων τοῖς ἄγουσιν, οὕτω καὶ ὑμεῖς, εἶπεν, οἷς οὐκ ἂν ἀξιώσαιτε συμβούλοις χρήσασθαι κατ' ἰδίαν, ὑπὸ τούτων, εἰς ἓν συνελθόντες, ἄγεσθε· Περὶ δὲ τῆς γυναικοκρατίας διαλεγόμενος· Πάντες, εἶπεν, ἄνθρωποι τῶν γυναικῶν ἄρχουσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων· ἡμῶν δ' αἱ γυναῖκες. Τοῦτο μὲν οὖν ἐστιν ἐκ τῶν Θεμιστοκλέους μετενηνεγμένον ἀποφθεγμάτων. Ἐκεῖνος γὰρ, ἐπιτάττοντος αὐτῷ πολλὰ τοῦ υἱοῦ διὰ τῆς μητρός· Ὦ γύναι, εἶπεν, Ἀθηναῖοι μὲν ἄρχουσι τῶν Ἑλλήνων, ἐγὼ δ' Ἀθηναίων, ἐμοῦ δὲ σὺ, σοῦ δὲ ὁ υἱός. Ὥστε

φειδέσθω τῆς ἐξουσίας, δι' ἣν ἀνόητος ὢν, πλεῖστον Ἑλλήνων δύναται. Τὸν δὲ δῆμον ὁ Κάτων ἔφη τῶν Ῥωμαίων, οὐ μόνον ταῖς πορφύραις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασι, τὰς τιμὰς ἐπιγράφειν. Ὡς γὰρ οἱ βαφεῖς, ἔφη, ταύτην μάλιστα βάπτουσιν, ἣ χαίροντας ὁρῶσιν· οὕτως οἱ νέοι ταῦτα μανθάνουσι καὶ ζηλοῦσιν, οἷς ἂν ὁ παρ' ὑμῶν ἔπαινος ἕπηται. Παρεκάλει δ' αὐτοὺς, εἰ μὲν ἀρετῇ καὶ σωφροσύνῃ γεγόνασι μεγάλοι, μὴ μεταβάλλεσθαι πρὸς τὸ χεῖρον· εἰ δ' ἀκρασίᾳ καὶ κακίᾳ, μεταβάλλεσθαι πρὸς τὸ βέλτιον. ἱκανῶς γὰρ ἤδη μεγάλους ἀπ' ἐκείνων γεγονέναι. Τοὺς δὲ πολλάκις ἄρχειν σπουδάζοντας, ἔφη, καθάπερ ἀγνοοῦντας τὴν ὁδὸν, ἀεὶ μετὰ ῥαβδούχων ζητεῖν πορεύεσθαι, μὴ πλανηθῶσιν. Ἐπετίμα δὲ καὶ τοῖς πολίταις τοὺς αὐτοὺς αἱρουμένους πολλάκις ἄρχοντας. Δόξετε γὰρ, ἔφη, ἢ μὴ πολλοῦ τὸ ἄρχειν ἄξιον, ἢ μὴ πολλοὺς τοὺς ἄρχειν ἀξίους ἡγεῖσθαι. Περὶ δὲ τῶν ἐχθρῶν τινος αἰσχρῶς καὶ ἀδόξως βιοῦν δοκοῦντος· Ἡ τούτου μήτηρ, ἔφη, κατάραν, οὐκ εὐχὴν, ἡγεῖται τὸ τοῦτον ὑπὲρ γῆς ἀπολιπεῖν. Τὸν δὲ πεπρακότα τοὺς πατρῴους ἀγροὺς παραλίους ὄντας ἐπιδεικνύμενος, προσεποιεῖτο θαυμάζειν, ὡς ἰσχυρότερον τῆς θαλάσσης· ἃ γὰρ ἐκείνη μόλις ἔκλυζεν, οὗτος, ἔφη, ῥᾳδίως καταπέπωκεν· Ἐπεὶ δ', Εὐμένους τοῦ βασιλέως ἐπιδημήσαντος εἰς Ῥώμην, ἥ τε σύγκλητος ὑπερφυῶς ὑπεδέξατο, καὶ τῶν πρώτων ἅμιλλα καὶ σπουδὴ περὶ αὐτὸν ἐγίνετο, δῆλος ἦν ὁ Κάτων ὑφορώμενος καὶ φυλαττόμενος αὐτόν. Εἰπόντος δέ τινος· Ἀλλὰ μὴν χρήσιός ἐστι καὶ φιλορώμαιος· Ἔστω, εἶπεν, ἀλλὰ φύσει τοῦτο τὸ ζῷον, ὦ βασιλεῦς, σαρκοφάγον ἐστίν. Οὐδένα δὲ τῶν εὐδαιμονιζομένων βασιλέων ἄξιον εἶναι παραβάλλειν πρὸς Ἐπαμινώνδαν, ἢ Περικλέα, ἢ Θεμιστοκλέα, ἢ Μάνιον Κούριον, ἢ Ἀμίλκαν, τὸν ἐπικληθέντα Βάρκαν. Αὐτῷ δ' ἔλεγε τοὺς ἐχθροὺς φθονεῖν, ὅτι καθ' ἡμέραν νυκτὸς ἀνίσταται, καὶ τῶν ἰδίων ἀμελῶν, τοῖς δημοσίοις σχολάζει. Βούλεσθαι δ' ἔλεγε μᾶλλον εὖ πράξας ἀπο-

σερηθῆναι χάριν, ἢ κακῶς, μὴ τυχεῖν κολάσεως. Καὶ συγγνώμην ἔφη διδόναι πᾶσι τοῖς ἁμαρτάνουσι, πλὴν αὐτοῦ.

Θ. Τῶν δὲ Ῥωμαίων εἰς Βιθυνίαν τρεῖς ἑλομένων πρέσβεις, ὧν ὁ μὲν ποδαγρικὸς ἦν, ὁ δὲ τὴν κεφαλὴν ἐξ ἀνατρήσεως καὶ περικοπῆς κοίλην εἶχεν, ὁ δὲ τρίτος ἐδόκει μωρὸς εἶναι· καταγελῶν ὁ Κάτων, ἔλεγε πρεσβείαν ὑπὸ Ῥωμαίων ἀποσέλλεσθαι, μήτε πόδας, μήτε κεφαλὴν, μήτε καρδίαν, ἔχουταν. Ὑπὲρ δὲ τῶν ἐξ Ἀχαΐας φυγάδων ἐντευχθεὶς διὰ Πολύβιον ὑπὸ Σκιπίωνος, ὡς πολὺς ἐν τῇ συγκλήτῳ λόγος ἐγίνετο, τῶν μὲν διδόντων κάθοδον αὐτοῖς, τῶν δ' ἐνιζαμένων, ἀναστὰς ὁ Κάτων· Ὥσπερ οὐκ ἔχοντες, εἶπεν, ὃ πράττωμεν, καθήμεθα τὴν ἡμέραν ὅλην περὶ γεροντίων Γραικῶν ζητοῦντες, πότερον ὑπὸ τῶν παρ' ἡμῖν, ἢ τῶν ἐν Ἀχαΐᾳ νεκροφόρων, ἐκκομισθῶσι. Ψηφισθείσης δὲ τῆς καθόδου τοῖς ἀνδράσιν, ἡμέρας ὀλίγας οἱ περὶ τὸν Πολύβιον διαλιπόντες, αὖθις ἐπεχείρουν εἰς τὴν σύγκλητον εἰσελθεῖν, ὅπως ἃς πρότερον εἶχον ἐν Ἀχαΐᾳ τιμὰς οἱ φυγάδες ἀναλάβοιεν, καὶ τοῦ Κάτωνος ἀπεπειρῶντο τῆς γνώμης. Ὁ δὲ μειδιάσας ἔφη, τὸν Πολύβιον, ὥσπερ τὸν Ὀδυσσέα, βούλεσθαι πάλιν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον εἰσελθεῖν, τὸ πιλίον ἐκεῖ καὶ τὴν ζώνην ἐπιλελησμένον. Τοὺς δὲ φρονίμους ἔλεγε μᾶλλον ὑπὸ τῶν ἀφρόνων, ἢ τοὺς ἄφρονας ὑπὸ τῶν φρονίμων ὠφελεῖσθαι· τούτους μὲν γὰρ φυλάττεσθαι τὰς ἐκείνων ἁμαρτίας, ἐκείνους δὲ τὰς τούτων μὴ μιμεῖσθαι κατορθώσεις. Τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον, ἢ τοῖς ὠχριῶσι. Στρατιώτου δεῖσθαι μὴ δεῖσθαι, τὰς μὲν χεῖρας ἐν τῷ βαδίζειν, τοὺς δὲ πόδας ἐν τῷ μάχεσθαι κινοῦντος, μεῖζον δὲ βέγχοντος, ἢ ἀλαλάζοντος. Τὸν δὲ ὑπέρπαχυν καὶ ζῶν· Ποῦ δ' ἂν, ἔφη, σῶμα τοιοῦτον τῇ πόλει γένοιτο χρήσιμον, οὗ τὸ μεταξὺ λαιμοῦ καὶ βουβώνων πᾶν ὑπὸ τῆς γαστρὸς κατέχεται; τῶν δὲ φιλήδονων τινὰ βουλόμενον αὐτῷ συνεῖναι παραιτούμενος, ἔφη μὴ δύνασθαι ζῷ μετ' ἀνθρώπου τὴς καρδίας

τὴν ὑπερφὰν εὐαισθητοτέραν ἔχοντος. Τοῦ δ' ἐρῶντος ἔλεγε τὴν ψυχὴν ἐν ἀλλοτρίῳ σώματι ζῆν. Μεταμεληθῆναι δ' αὐτὸς ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας· μίαν μὲν, ἐπὶ τῷ γυναικὶ πιστεῦσαι λόγον ἀπόρρητον· ἑτέραν δὲ, πλεύσας, ὅπου δυνατὸν ἦν πεζεῦσαι· τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἀδιάθετος ἔμεινεν. Πρὸς δὲ πρεσβύτην πονηρευόμενον· ἄνθρωπε, εἶπε, πολλὰ ἔχοντι τῷ γήρᾳ τὰ αἰσχρὰ μὴ προστίθει τὴν ἀπὸ τῆς κακίας αἰσχύνην. Πρὸς δὲ δήμαρχον ἐν διαβολῇ μὲν φαρμακείας γενόμενον, φαῦλον δὲ νόμον εἰσφέροντα καὶ βιαζόμενον· Ὦ μειράκιον, εἶπεν, οὐκ οἶδα, πότερον χεῖρόν ἐστιν, ὃ κίρνης πιεῖν, ἢ, ὃ γράφεις κυρῶσαι. Βλασφημούμενος δ' ὑπ' ἀνθρώπου βεβιωκότος ἀσελγῶς καὶ κακῶς· Ἄνισος, εἶπεν, ἡ πρὸς σέ μοι μάχη ἐστί. Καὶ γὰρ ἀκούεις τὰ κακὰ ῥᾳδίως, καὶ λέγεις εὐχερῶς· ἐμοὶ δὲ καὶ λέγειν ἀηδὲς, καὶ ἀκούειν ἄηθες. Τὸ μὲν οὖν τῶν ἀπομνημονευμάτων ἦθος τοιοῦτόν ἐστιν.

I. Ὕπατος δὲ μετὰ Φλάκκου Οὐαλερίου, τοῦ φίλου καὶ συνήθους, ἀποδειχθεὶς, ἔλαχε τῶν ἐπαρχιῶν, ἣν Ἐντὸς Ἰσπανίαν Ῥωμαῖοι καλοῦσιν. Ἐνταῦθα δ' αὐτῷ τὰ μὲν καταρρεφομένῳ τῶν ἐθνῶν, τὰ δ' οἰκειουμένῳ διὰ λόγων, πολλὴ στρατιὰ τῶν βαρβάρων ἐπέπεσε, καὶ κίνδυνος ἦν αἰσχρῶς ἐκβιασθῆναι· διὸ τῶν ἐγγὺς Κελτιβήρων ἐπεκαλεῖτο συμμαχίαν. Αἰτούντων δ' ἐκείνων τῆς βοηθείας διακόσια τάλαντα μισθὸν, οἱ μὲν ἄλλοι πάντες οὐκ ἀνασχετὸν ἐποιοῦντο, Ῥωμαίους βαρβάροις ἐπικουρίας μισθὸν ὁμολογῆσαι. Ὁ δὲ Κάτων οὐδὲν ἔφη δεινὸν εἶναι· νικῶντας μὲν γὰρ ἀποδώσειν ἀπὸ τῶν πολεμίων, οὐ παρ' αὐτῶν· ἡττημένων δὲ μήτε τοὺς ἀπαιτουμένους ἔσεσθαι, μήτε τοὺς ἀπαιτοῦντας. Ταύτην δὲ τὴν μάχην κατὰ κράτος ἐνίκησε, καὶ τάλλα προύχώρει λαμπρῶς. Πολύβιος μέν γε φησὶ, τὴν ἐντὸς Βαίτιος ποταμοῦ πόλεων ἡμέρᾳ μιᾷ τὰ τείχη, κελεύσαντος αὐτοῦ, περιαιρεθῆναι· πάμπολλαι δ' ἦσαν αὗται, γέμουσαι μαχίμων ἀνδρῶν.

Αὐτὸς δέ φησιν ὁ Κάτων πλείονας εἰληφέναι πόλεις, ὧν διήγαγεν ἡμερῶν ἐν Ἰβηρίᾳ· καὶ τοῦτο κόμπος οὐκ ἔστιν, εἴπερ ὡς ἀληθῶς τετρακόσιαι τὸ πλῆθος ἦσαν· Τοῖς μὲν οὖν στρατιώταις, πολλὰ παρὰ τὴν στρατείαν ὠφεληθεῖσιν, ἔτι καὶ λίτραν ἀργυρίου κατ' ἄνδρα προσδιένειμεν, εἰπὼν, ὡς κρεῖττον ἦν, πολλοὺς Ῥωμαίων ἀργύριον, ἢ χρυσίον ὀλίγους, ἔχοντας ἐπανελθεῖν. Εἰς δ' αὐτὸν ἐκ τῶν ἁλισκομένων οὐδὲν ἐλθεῖν λέγει, πλὴν ὅσα πέπωκεν, ἢ βέβρωκε. «Καὶ οὐκ αἰτιῶμαι (φησὶ) τοὺς ὠφελεῖσθαι ζητοῦντας ἐκ τούτων, ἀλλὰ βούλομαι μᾶλλον περὶ ἀρετῆς τοῖς ἀρίστοις, ἢ περὶ χρημάτων τοῖς πλουσιωτάτοις ἁμιλλᾶσθαι, καὶ τοῖς φιλαργυρωτάτοις περὶ φιλαργυρίας.» Οὐ μόνον δ' αὐτὸν, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν ἐφύλαττε καθαροὺς παντὸς λήμματος. Ἦσαν δὲ πέντε θεράποντες ἐπὶ στρατείας σὺν αὐτῷ· Τούτων εἷς, ὄνομα Πάκκος, ἠγόρασε τῶν αἰχμαλώτων τρία παιδάρια· τοῦ δὲ Κάτωνος αἰσθομένου, πρὶν εἰς ὄψιν ἐλθεῖν, ἀπήγξατο. Τοὺς δὲ παῖδας ὁ Κάτων ἀποδόμενος, εἰς τὸ δημόσιον ἀνήνεγκε τὴν τιμήν.

ΙΑ. Ἔτι δ' αὐτοῦ διατρίβοντος ἐν Ἰβηρίᾳ, Σκιπίων ὁ μέγας, ἐχθρὸς ὢν καὶ βουλόμενος ἐνστῆναι κατορθοῦντι, καὶ τὰς Ἰβηρικὰς πράξεις ὑπολαβεῖν, διεπράξατο τῆς ἐπαρχίας ἐκείνης ἀποδειχθῆναι διάδοχος. Σπεύσας δ' ὡς ἐνῆν τάχιστα, κατέπαυσε τὴν ἀρχὴν τοῦ Κάτωνος. Ὁ δὲ, λαβὼν σπείρας ὁπλιτῶν πέντε, καὶ πεντακοσίους ἱππεῖς προπομπούς, κατεστρέψατο μὲν τὸ Λακετανῶν ἔθνος, ἑξακοσίους δὲ τῶν αὐτομολησάντων κομισάμενος ἀπέκτεινεν. Ἐφ' οἷς σχετλιάζοντα τὸν Σκιπίωνα κατειρωνευόμενος, οὕτως ἔφη τὴν Ῥώμην ἔσεσθαι μείζονα, τῶν μὲν ἐνδόξων καὶ μεγάλων τὰ τῆς ἀρετῆς πρωτεῖα μὴ μεθιέντων τοῖς ἀσημοτέροις, τῶν δ', ὥσπερ αὐτός ἐστι, δημοτικῶν, ἁμιλλωμένων ἀρετῇ πρὸς τοὺς τῷ γένει καὶ τῇ δόξῃ προήκοντας. Οὐ μὴν ἀλλὰ τῆς συγκλήτου ψηφισαμένης, μηδὲν ἀλλάττειν, μηδὲ κινεῖν, τῶν διωκημένων ὑπὸ τοῦ Κάτωνος, ἡ μὲν ἀρχὴ τῷ Σκιπίωνι, τῆς

αὐτοῦ μᾶλλον, ἢ τῆς Κάτωνος, ἀφελοῦσα δόξης, ἐν ἀπραξίᾳ καὶ σχολῇ μάτην διῆλθεν. Ὁ δὲ Κάτων θριαμβεύσας, οὐχ, ὥσπερ οἱ πλεῖστοι τῶν μὴ πρὸς ἀρετὴν, ἀλλὰ πρὸς δόξαν ἀμιλλωμένων, ὅταν εἰς τὰς ἄκρας τιμὰς ἐξίκωνται, καὶ τύχωσιν ὑπατείας καὶ θριάμβων, ἤδη τὸ λοιπὸν εἰς ἡδονὴν καὶ σχολὴν συσκευασάμενοι τὸν βίον, ἐκ τῶν κοινῶν ἀπίασιν, οὕτω καὶ αὐτὸς ἐξανῆκε καὶ κατέλυσε τὴν ἀρετήν· ἀλλ' ὅμοια τοῖς πρῶτον ἁπτομένοις πολιτείας, καὶ διψῶσι τιμῆς καὶ δόξης, ἀφ' ἑτέρας ἀρχῆς συντείνας ἑαυτὸν, ἐν μέσῳ παρεῖχε καὶ φίλοις χρῆσθαι καὶ πολίταις, οὔτε τὰς συνηγορίας, οὔτε τὰς στρατείας ἀπειπάμενος.

ΙΒ. Τιβερίῳ μὲν οὖν Σεμπρωνίῳ τὰ περὶ Θρᾴκην καὶ Ἴστρον ὑπατεύοντι πρεσβεύων συγκατειργάσατο. Μανίῳ δ' Ἀκιλίῳ χιλιαρχῶν ἐπ' Ἀντίοχον τὸν μέγαν συνεξῆλθεν εἰς τὴν Ἑλλάδα, φοβήσαντα Ῥωμαίους ὡς οὐδένα ἕτερον μετ' Ἀννίβαν. Τὴν γὰρ Ἀσίαν, ὅσην ὁ Νικάτωρ Σέλευκος εἶχεν, ὀλίγου δεῖν ἅπασαν ἐξ ὑπαρχῆς ἀνειληφὼς, ἔθνη τε πάμπολλα καὶ μάχιμα βαρβάρων ὑπήκοα πεποιημένος, ἐπῆρτο συμπεσεῖν Ῥωμαίοις, ὡς μόνοις ἔτι πρὸς αὐτὸν ἀξιομάχοις οὖσιν. Εὐπρεπῆ δὲ τοῦ πολέμου ποιησάμενος αἰτίαν, τοὺς Ἕλληνας ἐλευθεροῦν, μηδὲν δεομένους, ἀλλὰ καὶ ἐλευθέρους καὶ αὐτονόμους χάριτι Ῥωμαίων ἀπὸ Φιλίππου καὶ Μακεδόνων νεωστὶ γεγονότας, διέβη μετὰ δυνάμεως. Καὶ σάλον εὐθὺς ἡ Ἑλλὰς εἶχε, καὶ μετέωρος ἦν, ἐλπίσι διαφθειρομένη βασιλικαῖς ὑπὸ τῶν δημαγωγῶν. Ἔπεμπον οὖν πρέσβεις ὁ Μάνιος ἐπὶ τὰς πόλεις. Καὶ τὰ μὲν πλεῖστα τῶν νεωτεριζόντων Τίτος Φλαμινῖνος ἔσχεν ἄνευ ταραχῆς, καὶ κατεπράϋνεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· Κάτων δὲ Κορινθίους καὶ Πατρεῖς, ἔτι δ' Αἰγιεῖς παρεσήσατο. Πλεῖστον δὲ χρόνον ἐν Ἀθήναις διέτριψε. Καὶ λέγεται μέντις αὐτοῦ φέρεσθαι λόγος, ὃν Ἕλλησι πρὸς τὸν δῆμον εἶπεν, ὡς ζηλῶντε τὴν ἀρετὴν τῶν

παλαιῶν Ἀθηναίων, τῆς τε πόλεως διὰ τὸ κάλλος καὶ τὸ μέγεθος ἡδέως εἴη γεγονὼς θεατής. Τὸ δ' οὐκ ἀληθές ἐστιν· ἀλλὰ δι' ἑρμηνέως ἐνέτυχε τοῖς Ἀθηναίοις, δυνηθεὶς ἂν αὐτὸς εἰπεῖν, ἐμμένων δὲ τοῖς πατρίοις, καὶ καταγελῶν τῶν τὰ Ἑλληνικὰ τεθαυμακότων. Ποσούμιον γοῦν Ἀλβῖνον, ἱστορίαν Ἕλλησι γράψαντα, καὶ συγγνώμην αἰτούμενον ἐπέσκωψεν, εἰπών, δοτέον εἶναι τὴν συγγνώμην, εἰ, τῶν Ἀμφικτυόνων ψηφισαμένων, ἀναγκασθεὶς ὑπέμεινε τὸ ἔργον. Θαυμάσαι δέ φησι τοὺς Ἀθηναίους τὸ τάχος αὐτοῦ καὶ τὴν ὀξύτητα τῆς φράσεως· ἃ γὰρ αὐτὸς ἐξέφερε βραχέως, τὸν ἑρμηνέα μακρῶς καὶ διὰ πολλῶν ἀπαγγέλλειν. Τὸ δ' ὅλον, οἴεσθαι τὰ ῥήματα τοῖς μὲν Ἕλλησιν ἀπὸ χειλέων, τοῖς δὲ Ῥωμαίοις ἀπὸ καρδίας φέρεσθαι.

ΙΓ. Ἐπεὶ δ' Ἀντίοχος φράξας τὰ περὶ Θερμοπύλας γενὰ τῷ στρατοπέδῳ, καὶ τοῖς αὐτομύσι τῶν τόπων ἐρύμασι προσβαλὼν χαρακώματα καὶ διατειχίσματα, καθῆστο τὸν πόλεμον ἐκκεκλεικέναι νομίζων, τὸ μὲν κατὰ στόμα βιάζεσθαι παντάπασιν ἀπεγίνωσκον οἱ Ῥωμαῖοι, τὴν δὲ Περσικὴν ἐκείνην περιήλυσιν καὶ κύκλωσιν ὁ Κάτων εἰς νοῦν βαλόμενος, ἐξώδευσε νύκτωρ, ἀναλαβὼν μέρος τι τῆς στρατιᾶς. Ἐπεὶ δ' ἄνω προελθόντων, ὁ καθοδηγῶν αἰχμάλωτος ἐξέπεσε τῆς ὁδοῦ, καὶ πλανώμενος ἐν τόποις ἀπόροις καὶ κρημνώδεσι δεινὴν ἀθυμίαν καὶ φόβον ἐνειργάσατο τοῖς στρατιώταις, ὁρῶν ὁ Κάτων τὸν κίνδυνον, ἐκέλευσε τοὺς ἄλλους ἅπαντας ἀτρεμεῖν καὶ περιμένειν. Αὐτὸς δὲ Λευκιόν τινα Μάλλιον, ἄνδρα δεινὸν ὁρειβατεῖν, παραλαβών, ἐχώρει πολυπόνως καὶ παραβόλως ἐν ἀσελήνῳ νυκτὶ καὶ βαθείᾳ, κολωνοῖς καὶ πάγοις ἀνατεταμένοις διασπάσματα πολλὰ τῆς ὄψεως καὶ ἀσάφειαν ἐχούσης· ἕως ἐμβαλόντες εἰς ἀτραπόν, ὡς ᾤοντο, κάτω περαίνουσαν ἐπὶ τὸ στρατόπεδον τῶν πολεμίων, ἔθεντο σημεῖα πρός τινας εὐσκόπους κεραίας ὑπὲρ τὸ Καλλίδρομον ἀνεχούσας. Οὕτω δὲ πάλιν ἐπανελθόντες ὀπίσω, τὴν στρατιὰν ἀνέλαβον, καὶ

πρὸς τὰ σημεῖα προαγαγόντες, ἥψαντο μὲν ἐκείνης τῆς ἀτραποῦ, καὶ κατεστήσαντο τὴν πορείαν. Μικρὸν δὲ προελθοῦσιν αὐτοῖς ἐπέλιπε, φάραγγος ὑπολαμβανούσης· καὶ πάλιν ἦν ἀπορία καὶ δέος, οὐκ ἐπισαμένων, οὐδὲ συνορώντων, ὅτι πλησίον ἐτύγχανον τῶν πολεμίων γεγονότες. Ἤδη δὲ διέλαμπεν ἡμέρα, καὶ φθογγῆς τις ἐδοξεν ὑπακοῦσαι, τάχα δὲ καὶ καθορᾶν Ἑλληνικὸν χάρακα καὶ προφυλακὴν ὑπὸ τὸ κρημνῶδες. Οὕτως οὖν ἐπισήσας ἐνταῦθα τὴν στρατιὰν ὁ Κάτων, ἐκέλευσεν αὐτῷ προσελθεῖν ἄνευ τῶν ἄλλων τοὺς Φιρμιανούς, οἷς ἀεὶ πιστοῖς ἐχρῆτο καὶ προθύμοις. Συνδραμόντων δὲ καὶ περιστάντων αὐτὸν ἀθρόων, εἶπεν· «Ἄνδρα χρὴ ζωλαβεῖν τῶν πολεμίων ζῶντα, καὶ πυθέσθαι, τίνες οἱ προφυλάσσοντες οὗτοι· πόσον πλῆθος αὐτῶν· τίς ὁ τῶν ὅλων διάκοσμος, ἡ τάξις, ἡ παρασκευή, μεθ' ἧς ὑπομενοῦσιν ἡμᾶς. Τὸ δ' ἔργον, ἅρπασμα τάχους γενέσθω, καὶ τόλμης, ἣ καὶ λέοντες ἄνοπλοι θαρροῦντες, ἐπὶ τὰ δειλὰ τῶν θηρίων βαδίζουσι.» Ταῦτα δ' εἰπόντος τοῦ Κάτωνος, αὐτόθεν ὁρμήσαντες, ὥσπερ εἶχον, οἱ Φιρμιανοὶ, κατὰ τῶν ὀρῶν ἔθεον ἐπὶ τὰς προφυλακάς· καὶ προσπεσόντες ἀπροσδόκητοι, πάντας μὲν διετάραξαν καὶ διεσκέδασαν, ἕνα δ' αὐτοῖς ὅπλοις ἁρπάσαντες, ἐνεχείρισαν τῷ Κάτωνι. Παρὰ τούτου μαθὼν, ὡς ἡ μὲν ἄλλη δύναμις ἐν τοῖς σενοῖς κάθηται μετὰ τοῦ βασιλέως, οἱ δὲ φρουροῦντες αὐτοῦ τὰς ὑπερβολὰς, Αἰτωλῶν εἰσὶν ἑξακόσιοι λογάδες, καταφρονήσας τῆς ὀλιγότητος ἅμα καὶ τῆς ὀλιγωρίας, εὐθὺς ἐπῆγεν ἅμα σάλπιγξι καὶ ἀλαλαγμῷ, πρῶτος σπασάμενος τὴν μάχαιραν. Οἱ δ', ὡς εἶδον ἀπὸ τῶν κρημνῶν ἐπιφερομένους, φεύγοντες εἰς τὸ μέγα στρατόπεδον, ταραχῆς ἐνεπίμπλασαν ἅπαντα.

ΙΔ. Ἐν τούτῳ δὲ, καὶ τοῦ Μανίου κάτωθεν πρὸς τὰ διατειχίσματα βιαζομένου, καὶ τοῖς σενοῖς προσβάλλοντος ἀθρόαν τὴν δύναμιν, ὁ μὲν Ἀντίοχος εἰς τὸ στόμα λίθῳ πληγεὶς, ἐκτιναχθέντων αὐτοῦ τῶν ὀδόντων, ἀπέστρεψε τὸν ἵππον ὀπίσω,

περιαλγὴς γενόμενος· τοῦδὲ στρατοῦ μέρος οὐδὲν ὑπέμεινε τοὺς Ῥωμαίους, ἀλλὰ καίπερ ἀπόρους καὶ ἀμηχάνους τῆς φυγῆς ὁδοὺς καὶ πλάνας ἐχούσης, ἑλῶν βαθέων καὶ πετρῶν ἀποτόμων τὰ πτώματα καὶ τὰς ὀλισθήσεις ὑποδεχομένων, εἰς ταῦτα διὰ τῶν σενῶν ὑπερχεόμενοι, καὶ συνωθοῦντες ἀλλήλους, φόβῳ πληγῆς καὶ σιδήρου πολεμίων, αὐτοὺς διέφθειρον. Ὁ δὲ Κάτων ἀεὶ μέντις ἦν, ὡς ἔοικε, τῶν ἰδίων ἐγκωμίων ἀφειδής, καὶ τὴν ἄντικρυς μεγαλαυχίαν, ὡς ἐπακολούθημα τῆς μεγαλουργίας, οὐκ ἔφευγε. Πλεῖστον δὲ ταῖς πράξεσι ταύταις ὄγκον περιτέθεικε, καί φησι τοῖς ἰδοῦσιν αὐτὸν τότε διώκοντα καὶ παίοντα τοὺς πολεμίους, παρασῆναι, μηδὲν ὀφείλειν Κάτωνα τῷ δήμῳ τοσοῦτον, ὅσον Κάτωνι τὸν δῆμον· αὐτόν τε Μάνιον τὸν ὕπατον, θερμὸν ἀπὸ τῆς νίκης ἔτι θερμῷ περιπλακέντα, πολὺν χρόνον ἀσπάζεσθαι, καὶ βοᾶν ὑπὸ χαρᾶς, ὡς οὔτ' ἂν αὐτὸς, οὔθ' ὁ σύμπας δῆμος ἐξισώσειε τὰς ἀμοιβὰς ταῖς Κάτωνος εὐεργεσίαις. Μετὰ δὲ τὴν μάχην εὐθὺς εἰς Ῥώμην ἐπέμπετο τῶν ἠγωνισμένων αὐτάγγελος· καὶ διέπλευσεν μὲν εἰς Βρεντέσιον εὐτυχῶς, μιᾷ δ' ἡμέρᾳ διελάσας ἐκεῖθεν εἰς Τάραντα, καὶ τέσσαρας ἄλλας ὁδεύσας, πεμπταῖος εἰς Ῥώμην ἀπὸ θαλάσσης ἀφίκετο, καὶ πρῶτος ἀπήγγειλε τὴν νίκην. Καὶ τὴν μὲν πόλιν ἐνέπλησεν εὐφροσύνης καὶ θυσιῶν, φρονήματος δὲ τὸν δῆμον, ὡς πάσης γῆς καὶ θαλάσσης κρατεῖν δυνάμενον.

ΙΕ. Τῶν μὲν οὖν πολεμικῶν πράξεων τοῦ Κάτωνος αὗται σχεδόν εἰσιν αἱ ἐλλογιμώταται· τῆς δὲ πολιτείας φαίνεται τὸ περὶ τὰς κατηγορίας καὶ τοὺς ἐλέγχους τῶν πονηρῶν μόριον οὐ μικρᾶς ἄξιον σπουδῆς ἡγησάμενος. Αὐτός τε γὰρ ἐδίωξε πολλοὺς, καὶ διώκουσιν ἑτέροις συνηγωνίσατο, καὶ παρεσκεύασεν ἄλλους διώκοντας, ὡς ἐπὶ Σκιπίωνα τοὺς περὶ Πετίλλιον. Τοῦτον μὲν οὖν ἀπ' οἴκου τε μεγάλου καὶ φρονήματος ἀληθινοῦ ποιησάμενον ὑπὸ πόδας τὰς διαβολὰς, μὴ ἀποκτεῖναι δυνηθεὶς, ἀφῆκε. Λεύ-

κιον δὲ, τὸν ἀδελφὸν αὐτοῦ, μετὰ τῶν κατηγόρων συγὰς, καταδίκῃ περιέβαλε χρημάτων πολλῶν πρὸς τὸ δημόσιον· ἣν οὐκ ἔχων ἐκεῖνος ἀπολύσασθαι, καὶ κινδυνεύων δεθῆναι, μόλις ἐπικλήσει τῶν δημάρχων ἀφείθη. Λέγεται δὲ καὶ νεανίσκῳ τινὶ, τεθνηκότος πατρὸς ἐχθρὸν ἠτιμωκότι, καὶ πορευομένῳ δι ἀγορᾶς μετὰ τὴν δίκην, ἀπαντήσας ὁ Κάτων δεξιώσασθαι, καὶ εἰπεῖν· ὅτι ταῦτα χρὴ τοῖς γονεῦσιν ἐναγίζειν, οὐκ ἄρνας, οὐδ' ἐρίφους, ἀλλ' ἐχθρῶν δάκρυα καὶ καταδίκας. Οὐ μὴν οὐδ' αὐτὸς ἐν τῇ πολιτείᾳ περιῆν ἀθῶος, ἀλλ' ὅπου τινὰ λαβὴν παράσχοι τοῖς ἐχθροῖς, κρινόμενος καὶ κινδυνεύων διετέλει. Λέγεται γὰρ ὀλίγον ἀπολιπούσας τῶν πεντήκοντα φυγεῖν δίκας, μίαν δὲ τελευταίαν, ἓξ ἔτη καὶ ὀγδοήκοντα γεγονώς. Ἐν ᾗ καὶ τὸ μνημονευόμενον εἶπεν· ὡς χαλεπόν ἐστιν ἐν ἄλλοις βεβιωκότα ἀνθρώποις, ἐν ἄλλοις ἀπολογεῖσθαι. Καὶ τοῦτο πέρας οὐκ ἐποιήσατο τῶν ἀγώνων. Τεσσάρων δ' ἄλλων ἐνιαυτῶν διελθόντων, Σερουίου Γάλβα κατηγόρησεν, ἐννενήκοντα γεγονὼς ἔτη. Κινδυνεύει γὰρ, ὡς ὁ Νέστωρ, εἰς τριγονίαν τῷ βίῳ καὶ ταῖς πράξεσι κατελθεῖν. Σκιπίωνι γάρ, ὡς λέλεκται, τῷ μεγάλῳ πολλὰ διερισάμενος ἐν τῇ πολιτείᾳ, διέτεινεν εἰς Σκιπίωνα τὸν νέον, ὃς ἦν ἐκείνου κατὰ ποίησιν υἱωνὸς, υἱὸς δὲ Παύλου τοῦ Περσέα καὶ Μακεδόνας καταπολεμήσαντος.

Ις. Τῆς δ' ὑπατείας κατόπιν ἔτεσι δέκα, τιμητείαν ὁ Κάτων παρήγγειλε. Κορυφὴ δέ τις ἐστὶ τιμῆς ἁπάσης ἡ ἀρχὴ, καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις, ἄλλην τε πολλὴν ἐξουσίαν ἔχουσα, καὶ τὴν περὶ τὰ ἤθη καὶ τοὺς βίους ἐξέτασιν. Οὔτε γὰρ γάμον, οὔτε παιδοποιΐαν τινὸς, οὔτε δίαιταν, οὔτε συμπόσιον ᾤοντο δεῖν ἄκριτον καὶ ἀνεξέταστον, ὡς ἕκαστος ἐπιθυμίας ἔχοι καὶ προαιρέσεως, ἀφεῖσθαι. Πολὺ δὲ μᾶλλον ἐν τούτοις νομίζοντες, ἢ ταῖς ὑπαίθροις καὶ πολιτικαῖς πράξεσι, τρόπον ἀνδρὸς ἐνορᾶσθαι, φύλακα καὶ σωφρονιστὴν καὶ κολαστὴν τοῦ μη-

δένα καθ' ἡδονὰς ἐκτρέπεσθαι. καὶ παρεκβαίνειν τὸν ἐπιχώριον καὶ συνήθη βίον, ἡροῦντο τῶν καλουμένων πατρικίων ἕνα, καὶ τῶν δημοτικῶν ἕνα. Τιμητὰς δὲ τούτους προσηγόρευον, ἐξουσίαν ἔχοντας ἀφελέσθαι μὲν ἵππον, ἐκβαλεῖν δὲ συγκλήτου τὸν ἀκολάστως βιοῦντα καὶ ἀτάκτως. Οὗτοι δὲ καὶ τὰ τιμήματα τῶν οὐσιῶν λαμβάνοντες ἐπεσκόπουν, καὶ ταῖς ἀπογραφαῖς τὰ γένη καὶ τὰς πολιτείας διέκρινον. Ἄλλας τε μεγάλας ἔχει δυνάμεις ἡ ἀρχή. Διὸ καὶ τῷ Κάτωνι πρὸς τὴν παραγγελίαν ἀπήντησαν ἐνισχύμενοι σχεδὸν οἱ γνωριμώτατοι καὶ πρῶτοι τῶν συγκλητικῶν. Τοὺς μὲν γὰρ εὐπατρίδας ὁ ὄχλος ἐλύπει, παντάπασιν οἰομένους προπηλακίζεσθαι τὴν εὐγένειαν, ἀνθρώπων ἀπ' ἀρχῆς ἀδόξων εἰς τὴν ἄκραν τιμὴν καὶ δύναμιν ἀναβιβαζομένων· οἱ δὲ μυχθηρὰ συνειδότες αὑτοῖς ἐπιτηδεύματα, καὶ τῶν πατρίων ἐκδιαίτησιν ἐθῶν, ἐφοβοῦντο τὴν αὐστηρίαν τοῦ ἀνδρὸς, ἀπαραίτητον ἐν ἐξουσίᾳ καὶ χαλεπὴν ἐσομένην. Διὸ συμφρονήσαντες καὶ παρασκευάσαντες, ἔπτὰ κατῆγον ἐπὶ τὴν παραγγελίαν ἀντιπάλους τῷ Κάτωνι, θεραπεύοντας ἐλπίσι χρηταῖς τὸ πλῆθος, ὡς δὴ μαλακῶς καὶ πρὸς ἡδονὴν ἄρχεσθαι δέομενον. Τοὐναντίον δ' ὁ Κάτων οὐδεμίαν ἐνδιδοὺς ἐπιείκειαν, ἀλλ' ἄντικρυς ἀπειλῶν τε τοῖς πονηροῖς ἀπὸ τοῦ βήματος, καὶ κεκραγὼς μεγάλου καθαρμοῦ χρῄζειν τὴν πόλιν, ἠξίου τοὺς πολλοὺς, εἰ σωφρονοῦσι, μὴ τὸν ἥδιστον, ἀλλὰ τὸν σφοδρότατον αἱρεῖσθαι τῶν ἰατρῶν. Τοῦτον δ' αὐτὸν εἶναι, καὶ τῶν πατρικίων ἕνα, Φλάκκον Οὐαλέριον. Μετ' ἐκείνου γὰρ οἴεσθαι μόνου τὴν τρυφὴν καὶ τὴν μαλακίαν, ὥσπερ ὕδραν, τέμνων καὶ ἀποκαίων, προὔργου τι ποιήσειν· τῶν δ' ἄλλων ὁρᾶν ἕκαστον ἄρξαι κακῶς βιαζόμενον, ὅτι τοὺς καλῶς ἄρξοντας δέδοικεν. Οὕτω δ' ἄρα μέγας ἦν ὡς ἀληθῶς καὶ μεγάλων ἄξιος δημαγωγῶν ὁ Ῥωμαίων δῆμος, ὥστε μὴ φοβηθῆναι τὴν ἀνάτασιν καὶ τὸν ὄγκον τοῦ ἀνδρὸς, ἀλλὰ τοὺς ἡδεῖς ἐκείνους καὶ πρὸς χάριν ἅπαντα ποιήσειν δοκοῦντας ἀπορρίψας, ἑλέσθαι

μετὰ

μετὰ τοῦ Κάτωνος τὸν Φλάκκον, ὥσπερ οὐκ αἰτοῦντος ἀρχὴν, ἀλλ' ἄρχοντος ἤδη καὶ προστάττοντος ἀκροώμενος.

ΙΖ. Προέγραψε μὲν οὖν ὁ Κάτων τῆς συγκλήτου τὸν συνάρχοντα καὶ φίλον, Λεύκιον Οὐαλέριον Φλάκκον· ἐξέβαλε δὲ τῆς βουλῆς ἄλλους τε συχνοὺς, καὶ Λεύκιον Κοΐντιον, ὕπατον μὲν ἑπτὰ πρότερον ἐνιαυτοῖς γεγενημένον· ὃ δ' ἦν αὐτῷ πρὸς δόξαν ὑπατείας μεῖζον, ἀδελφὸν Τίτου Φλαμινίνου, τοῦ καταπολεμήσαντος Φίλιππον. Αἰτίαν δὲ τῆς ἐκβολῆς ἔσχε τοιαύτην. Μειράκιον, ἐκ τῆς παιδικῆς ὥρας ἑταιροῦν, ἀνειληφὼς ὁ Λεύκιος, ἀεὶ περὶ αὐτὸν εἶχε, καὶ συνεπήγετο στρατηγῶν ἐπὶ τιμῆς καὶ δυνάμεως τοσαύτης, ὅσην οὐδεὶς εἶχε τῶν πρώτων παρ' αὐτῷ φίλων καὶ οἰκείων. Ἐτύγχανε μὲν οὖν ἡγούμενος ὑπατικῆς ἐπαρχίας. Ἐν δὲ συμποσίῳ τινὶ, τὸ μειράκιον, ὥσπερ εἰώθει, συγκατακείμενον, ἄλλην τε κολακείαν ἐκίνει πρὸς τὸν ἄνθρωπον ἐν οἴνῳ ῥᾳδίως ἀγόμενον, καὶ φιλεῖν αὐτὸν οὕτως ἔλεγεν, ὥς', ἔφη, θέας οὔσης οἴκοι μονομάχων, οὐ τεθεαμένος πρότερον, ἐξώρμησα πρὸς σὲ, καίπερ ἐπιθυμῶν ἰδεῖν ἄνθρωπον σφαττόμενον. Ὁ δὲ Λεύκιος ἀντιφιλοφρονούμενος, Ἀλλὰ τούτου γε χάριν, εἶπε, μή μοι κατάκεισο λυπούμενος· ἐγὼ γὰρ ἰάσομαι. Καὶ κελεύσας ἕνα τῶν ἐπὶ θανάτῳ κατακρίτων εἰς τὸ συμπόσιον ἀχθῆναι, καὶ τὸν ὑπηρέτην ἔχοντα πέλεκυν παρασῆναι, πάλιν ἠρώτησε τὸν ἐρώμενον, εἰ βούλεται τυπτόμενον θεάσασθαι. Φήσαντος δὲ βούλεσθαι, προσέταξε τοῦ ἀνθρώπου τὸν τράχηλον ἀποκόψαι. Οἱ μὲν οὖν πλεῖστοι ταῦτα ἱστοροῦσι, καὶ ὅ γε Κικέρων αὐτὸν τὸν Κάτωνα διηγούμενον ἐν τῷ περὶ γήρως διαλόγῳ πεποίηκεν. Ὁ δὲ Λίβιος αὐτόμολον εἶναί φησι Γαλάτην τὸν ἀναιρεθέντα, τὸν δὲ Λεύκιον οὐ δι' ὑπηρέτου κτεῖναι τὸν ἄνθρωπον, ἀλλ' αὐτὸν ἰδίᾳ χειρί· καὶ ταῦτα ἐν τῷ λόγῳ γεγράφθαι Κάτωνος. Ἐκβληθέντος οὖν τοῦ Λευκίου τῆς βουλῆς ὑπὸ τοῦ Κάτωνος, ὁ ἀδελφὸς αὐτοῦ βαρέως φέρων, ἐπὶ τὸν δῆμον κατέφυγε, καὶ

τὴν αἰτίαν ἐκέλευεν εἰπεῖν τὸν Κάτωνα τῆς ἐκβολῆς. Εἰπόντος δὲ καὶ διηγησαμένου τὸ συμπόσιον, ἐπεχείρει μὲν ὁ Λεύκιος ἀρνεῖσθαι· προκαλουμένου δὲ τοῦ Κάτωνος εἰς ὅρκισμὸν, ἀνεδύετο. Καὶ τότε μὲν ἄξια παθεῖν κατεγνώσθη· θέας δ' οὔσης ἐν θεάτρῳ, τὴν ὑπατικὴν χώραν παρελθὼν, καὶ πορφυρωτάτῳ που καθεσθεὶς, οἶκτον ἔσχε παρὰ τῷ δήμῳ, καὶ βοῶντες ἠνάγκασαν αὐτὸν μετελθεῖν, ὡς ἦν δυνατὸν ἐπανορθούμενοι καὶ θεραπεύοντες τὸ γεγενημένον. Ἄλλον δὲ βουλῆς ἐξέβαλεν ὑπατεύσειν ἐπίδοξον ὄντα, Μανίλλιον, ὅτι τὴν αὐτοῦ γυναῖκα μεθ' ἡμέραν ὁρώσης τῆς θυγατρὸς κατεφίλησεν. Αὐτῷ δ' ἔφη τὴν γυναῖκα μηδέποτε, πλὴν βροντῆς μεγάλης γενομένης, περιπλακῆναι· καὶ μετὰ παιδιᾶς εἰπεῖν αὐτὸν, ὡς μακάριός ἐσι, τοῦ Διὸς βροντῶντος.

ΙΗ. Ἤνεγκε δέ τινα τῷ Κάτωνι καὶ Λεύκιος, ὁ Σκιπίωνος ἀδελφὸς, ἐπίφθονον αἰτίαν, θριαμβικὸς ἀνὴρ, ἀφαιρεθεὶς ὑπ' αὐτοῦ τὸν ἵππον· ἔδοξε γὰρ οἷον ἐφυβρίζων Ἀφρικανῷ Σκιπίωνι τοῦτο ποιῆσαι. Τοὺς δὲ πλείσους ἠνίασε μάλισα τῇ περικοπῇ τῆς πολυτελείας, ἣν ἄντικρυς μὲν ἀφελέσθαι, νενοσηκότων ἤδη καὶ διεφθαρμένων ὑπ' αὐτῆς τῶν πολλῶν, ἀδύνατον ἦν, κύκλῳ δὲ περιιὼν, ἠνάγκαζεν ἐσθῆτος, ὀχήματος, κόσμου γυναικείου, σκευῶν τῶν περὶ δίαιταν, ὧν ἑκάσου τὸ τίμημα δραχμὰς χιλίας καὶ πεντακοσίας ὑπερέβαλλεν, ὑπερτιμᾶσθαι τὴν ἀξίαν εἰς τὸ δεκαπλάσιον, βουλόμενος ἀπὸ μειζόνων τιμημάτων αὐτοῖς μείζονας καὶ τὰς εἰσφορὰς εἶναι. Καὶ προσετίμησε τρεῖς χαλκοῦς τοῖς χιλίοις, ὅπως βαρυνόμενοι ταῖς ἐπιβολαῖς, καὶ τοὺς εὐσαλεῖς καὶ λιτοὺς ὁρῶντες ἀπὸ τῶν ἴσων ἐλάττονα τελοῦντας εἰς τὸ δημόσιον, ἀπαγορεύσωσιν. Ἦσαν οὖν αὐτῷ χαλεποὶ μὲν οἱ τὰς εἰσφορὰς διὰ τὴν τρυφὴν ὑπομένοντες, χαλεποὶ δ' αὖ πάλιν οἱ τὴν τρυφὴν ἀποτιθέμενοι διὰ τὰς εἰσφοράς. Πλούτου γὰρ ἀφαίρεσιν οἱ πολλοὶ νομίζουσι τὴν κώλυσιν αὐτοῦ τῆς ἐπιδεί-

ξεως· ἐπιδείκνυσθαι δὲ τοῖς περιττοῖς, οὐ τοῖς ἀναγκαίοις. Ὃ δὴ καὶ μάλιστά φασι τὸν φιλόσοφον Ἀρίστωνα θαυμάζειν, ὅτι τοὺς τὰ περιττὰ κεκτημένους μᾶλλον ἡγοῦνται μακαρίους, ἢ τοὺς τῶν ἀναγκαίων καὶ χρησίμων εὐπορουῦντας. Σκοπᾶς δὲ ὁ Θεσσαλὸς, αἰτουμένου τινὸς τῶν φίλων παρ' αὐτοῦ τοιοῦτον, ὃ μὴ σφόδρα ἦν χρήσιμον ἐκείνῳ, καὶ λέγοντος, ὡς οὐδὲν αἰτεῖ τῶν ἀναγκαίων καὶ χρησίμων· Καὶ μὴν ἐγὼ τούτοις, εἶπεν, εὐδαίμων καὶ πλούσιός εἰμι, τοῖς ἀχρήστοις καὶ περιττοῖς. Οὕτως ὁ τοῦ πλούτου ζῆλος, οὐδενὶ πάθει φυσικῷ συνημμένος, ἐκ τῆς ὀχλώδους καὶ θυραίου δόξης ἐπεισόδιός ἐστιν.

ΙΘ. Οὐ μὴν ἀλλὰ τῶν ἐγκαλούντων ἐλάχιστα φροντίζων ὁ Κάτων, ἔτι μᾶλλον ἐπέτεινεν· ἀποκόπτων μὲν ὀχετοὺς, οἷς τὸ παραῤῥέον δημόσιον ὕδωρ ὑπολαμβάνοντες ὑπῆγον εἰς οἰκίας ἰδίας καὶ κήπους, ἀνατρέπων δὲ καὶ καταβάλλων ὅσα προὔβαινεν εἰς τὸ δημόσιον οἰκοδομήματα, συνέλλων δὲ τοῖς μισθοῖς τὰς ἐργολαβείας, τὰ δὲ τέλη ταῖς πράσεσιν ἐπὶ τὰς ἐσχάτας ἐλαύνων τιμάς. Ἀφ' ὧν αὐτῷ πολὺ συνήχθη μῖσος. Οἱ δὲ περὶ τὸν Τίτον συσάντες ἐπ' αὐτὸν, ἔν τε τῇ βουλῇ τὰς γεγενημένας ἐκδόσεις καὶ μισθώσεις τῶν ἱερῶν καὶ δημοσίων ἔργων ἔλυσαν, ὡς γεγενημένας ἀλυσιτελῶς, καὶ τῶν δημάρχων τοὺς θρασυτάτους παρώξυνον ἐν δήμῳ προσκαλέσασθαι τὸν Κάτωνα, καὶ ζημιῶσαι δυσὶ ταλάντοις. Πολλὰ δὲ καὶ πρὸς τὴν τῆς Βασιλικῆς κατασκευὴν ἠναντιώθησαν, ἣν ἐκεῖνος ἐκ χρημάτων κοινῶν ὑπὸ τὸ βουλευτήριον τῇ ἀγορᾷ παρέβαλε, καὶ Πορκίαν Βασιλικὴν προσηγόρευσε. Φαίνεται δὲ θαυμαστῶς ἀποδεξάμενος αὐτοῦ τὴν τιμητείαν ὁ δῆμος. Ἀνδριάντα γοῦν ἀναθεὶς ἐν τῷ ναῷ τῆς Ὑγιείας, ἐπέγραψεν οὐ τὰς στρατηγίας, οὐδὲ τὸν θρίαμβον τοῦ Κάτωνος, ἀλλ', ὡς ἄν τις μεταφράσειε τὴν ἐπιγραφὴν, « Ὅτι τὴν Ῥωμαίων πολιτείαν ἐγκεκλιμένην καὶ ῥέπουσαν ἐπὶ τὰ χείρω, τιμητὴς γενόμενος, χρηταῖς ἀγωγαῖς καὶ σώφροσιν ἐθισμοῖς καὶ

διδασκαλίαις εἰς ὀρθὸν αὖθις ἀποκατέστησε.» Καίτοι πρότερον αὐτὸς κατεγέλα τῶν ἀγαπώντων τὰ τοιαῦτα, καὶ λανθάνειν αὐτοὺς ἔλεγεν, ἐπὶ χαλκέων καὶ ζωγράφων ἔργοις μέγα φρονοῦντας, αὐτοῦ δὲ καλλίσας εἰκόνας ἐν ταῖς ψυχαῖς περιφέρειν τοὺς πολίτας. Πρὸς δὲ τοὺς θαυμάζοντας, ὅτι, πολλῶν ἀδόξων ἀνδριάντας ἐχόντων, ἐκεῖνος οὐκ ἔχει· Μᾶλλον γάρ, ἔφη, βούλομαι ζητεῖσθαι, διὰ τί μου ἀνδριὰς οὐ κεῖται, ἢ διὰ τί κεῖται. Τὸ δ' ὅλον, οὐδ' ἐπαινούμενον ἠξίου τὸν ἀγαθὸν πολίτην ὑπομένειν, εἰ μὴ τοῦτο χρησίμως γίγνοιτο τῷ κοινῷ. Καὶ πλεῖστα πάντων ἑαυτὸν ἐγκεκωμίακεν, ὅταν καὶ τοὺς ἁμαρτάνοντάς τι περὶ τὸν βίον, εἶτ' ἐλεγχομένους, λέγειν φησὶν, ὡς οὐκ ἄξιον ἐγκαλεῖν αὐτοῖς. Οὐ γὰρ Κάτωνές εἰσι· καὶ τοὺς ἔνια μιμεῖσθαι τῶν ὑπ' αὐτοῦ πραττομένων οὐκ ἐμμελῶς ἐπιχειροῦντας, ἐπαριστεροὺς καλεῖσθαι Κάτωνας. Ἀφορᾶν δὲ τὴν βουλὴν πρὸς αὐτὸν ἐν τοῖς ἐπισφαλεστάτοις καιροῖς, ὥσπερ ἐν πλῷ πρὸς κυβερνήτην· καὶ πολλάκις μὴ παρόντος, ὑπερτίθεσθαι τὰ πλείστης ἄξια σπουδῆς. Ἃ δὴ (καὶ) παρὰ τῶν ἄλλων αὐτῷ μαρτυρεῖται· μέγα γὰρ ἔσχεν ἐν τῇ πόλει, καὶ διὰ τὸν βίον, καὶ διὰ τὸν λόγον, καὶ διὰ τὸ γῆρας, ἀξίωμα.

Κ. Γέγονε δὲ καὶ πατὴρ ἀγαθὸς, καὶ περὶ γυναῖκα χρηστὸς ἀνὴρ, καὶ χρηματιστὴς οὐκ εὐκαταφρόνητος, οὐδ', ὥς τι μικρὸν, ἢ φαῦλον, ἐν παρέργῳ μεταχειρισάμενος τὴν τοιαύτην ἐπιμέλειαν. Ὅθεν οἶομαι δεῖν καὶ περὶ τούτων, ὅσα καλῶς ἔχει, διεξελθεῖν. Γυναῖκα μὲν οὖν εὐγενεστέραν, ἢ πλουσιωτέραν, ἔγημεν, ἡγούμενος, ὁμοίως μὲν ἀμφοτέρας ἔχειν βάρος καὶ φρόνημα, τὰς δὲ γενναίας, αἰδουμένας τὰ αἰσχρὰ, μᾶλλον ὑπηκόους εἶναι πρὸς τὰ καλὰ τοῖς γεγαμηκόσι. Τὸν δὲ τύπτοντα γαμετὴν, ἢ παῖδα, τοῖς ἁγιωτάτοις ἔλεγεν ἱεροῖς προσφέρειν τὰς χεῖρας. Ἐν ἐπαίνῳ δὲ μείζονι τίθεσθαι τὸ γαμέτην ἀγαθὸν, ἢ τὸ μέγαν εἶναι συγκλητικόν. Ἐπεὶ καὶ Σωκράτους οὐδὲν ἄλλο θαυμάζειν τοῦ

παλαιοῦ, πλὴν ὅτι γυναικὶ χαλεπῇ καὶ παισὶν ἀποπλήκτοις χρώμενος ἐπιεικῶς καὶ πράως διετέλεσε. Γενομένου δὲ τοῦ παιδὸς, οὐδὲν ἦν ἔργον οὕτως ἀναγκαῖον, εἰ μή τι δημόσιον, ὡς μὴ παρεῖναι τῇ γυναικὶ λουούσῃ τὸ βρέφος καὶ σπαργανούσῃ. Αὐτὴ γὰρ ἔτρεφεν ἰδίῳ γάλακτι. Πολλάκις δὲ καὶ τὰ τῶν δούλων παιδάρια τῷ μασθῷ προσιεμένη, κατεσκεύασεν εὔνοιαν ἐκ τῆς συντροφίας πρὸς τὸν υἱόν. Ἐπεὶ δ' ἤρξατο συνιέναι, παραλαβὼν αὐτὸς ἐδίδασκε γράμματα. Καίτοι χαρίεντά δοῦλον εἶχε γραμματιστὴν, ὄνομα Χίλωνα, πολλοὺς διδάσκοντα παῖδας. Οὐκ ἠξίου δὲ τὸν υἱὸν, ὥς φησιν αὐτὸς, ὑπὸ δούλου κακῶς ἀκούειν, ἢ τοῦ ὠτὸς ἀνατείνεσθαι, μανθάνοντα βράδιον· οὐδέ γε μαθήματος τηλικούτου τῷ δούλῳ χάριν ὀφείλειν. Ἀλλ' αὐτὸς μὲν ἦν γραμματιστὴς, αὐτὸς δὲ νομοδιδάκτης, αὐτὸς δὲ γυμναστής· οὐ μόνον ἀκοντίζειν, οὐδ' ὁπλομαχεῖν, οὐδ' ἱππεύειν διδάσκων τὸν υἱὸν, ἀλλὰ καὶ τῇ χειρὶ πὺξ παίειν, καὶ καῦμα καὶ ψύχος ἀνέχεσθαι, καὶ τὰ δινώδη καὶ τραχύνοντα τοῦ ποταμοῦ νηχόμενον ἀποβιάζεσθαι. Καὶ τὰς ἱστορίας δὲ συγγράψαι φησὶν αὐτὸς ἰδίᾳ χειρὶ καὶ μεγάλοις γράμμασιν, ὅπως οἴκοθεν ὑπάρχῃ τῷ παιδὶ πρὸς ἐμπειρίαν τῶν παλαιῶν καὶ πατρίων ὠφελεῖσθαι. Τὰ δ' αἰσχρὰ τῶν ῥημάτων οὐχ ἧττον εὐλαβεῖσθαι, τοῦ παιδὸς παρόντος, ἢ τῶν ἱερῶν παρθένων, ἃς Ἑστιάδας καλοῦσι. Συλλούσασθαι δὲ μηδέποτε· καὶ τοῦτο κοινὸν ἔθος ἔοικε Ῥωμαίων εἶναι. Καὶ γὰρ πενθεροῖς γαμβροὶ ἐφυλάττοντο συλλούεσθαι, δυσωπούμενοι τὴν ἀποκάλυψιν καὶ γύμνωσιν. Εἶτα μέντοι παρ' Ἑλλήνων τὸ γυμνοῦσθαι μαθόντες, αὐτοὶ πάλιν τοῦ καὶ μετὰ γυναικῶν τοῦτο πράσσειν ἀναπεπλήκασι τοὺς Ἕλληνας. Οὕτω δὲ *καλὸν ἔργον* εἰς ἀρετὴν τῷ Κάτωνι πλάττοντι καὶ δημιουργοῦντι τὸν υἱὸν, ἐπεὶ τὰ τῆς προθυμίας ἄμεμπτα ἦν, καὶ δι' εὐφυΐαν ὑπήκουεν ἡ ψυχὴ, τὸ δὲ σῶμα μαλακώτερον ἐφαίνετο τοῦ πονεῖν, ἐπανῆκεν αὐτῷ τὸ σύντονον ἄγαν καὶ κεκολασμένον τῆς

διαίτης. Ὁ δὲ, καίπερ οὕτως ἔχων, ἀνὴρ ἀγαθὸς ἦν ἐν ταῖς στρατείαις, καὶ τὴν πρὸς Περσέα μάχην ἠγωνίσατο λαμπρῶς, Παύλου στρατηγοῦντος. Εἶτα μέντοι τοῦ ξίφους ἐκκρουσθέντος ὑπὸ πληγῆς, καὶ δι' ὑγρότητα τῆς χειρὸς ἐξολισθόντος, ἀχθεσθεὶς τρέπεται πρός τινας τῶν συνήθων, καὶ παραλαβὼν ἐκείνους, αὖθις εἰς τοὺς πολεμίους ἐνέβαλε. Πολλῷ δ' ἀγῶνι καὶ βίᾳ μεγάλῃ διαφωτίσας τὸν τόπον, εὗρε μόλις ἐν πολλοῖς σάγμασιν ὅπλων καὶ σώμασι νεκρῶν ὁμοῦ φίλων τε καὶ πολεμίων κατασεσωρευμένων. Ἐφ' ᾧ καὶ Παῦλος ὁ στρατηγὸς ἠγάσθη τὸ μειράκιον. Καὶ Κάτωνος αὐτοῦ φέρεταί τις ἐπιστολὴ πρὸς τὸν υἱὸν, ὑπερφυῶς ἐπαινοῦντος τὴν περὶ τὸ ξίφος φιλοτιμίαν αὐτοῦ καὶ σπουδήν. Ὕστερον δὲ καὶ Παύλου θυγατέρα, Τερτίαν, ἔγημεν ὁ νεανίας, ἀδελφὴν Σκιπίωνος, οὐχ ἧττον ἤδη δι' αὐτὸν, ἢ τὸν πατέρα, καταμιγνύμενος εἰς γένος τηλικοῦτον. Ἡ μὲν οὖν περὶ τὸν υἱὸν τοῦ Κάτωνος ἐπιμέλεια τέλος ἄξιον ἔσχεν.

ΚΑ. Οἰκέτας δὲ πολλοὺς ἐκτᾶτο, τῶν αἰχμαλώτων ὠνούμενος μάλιστα τοὺς μικροὺς καὶ δυναμένους ἔτι τροφὴν καὶ παίδευσιν, ὡς σκύλακας, ἢ πώλους, ἐνεγκεῖν. Τούτων οὐδεὶς εἰσῆλθεν εἰς οἰκίαν ἑτέραν, εἰ μὴ πέμψαντος αὐτοῦ Κάτωνος, ἢ τῆς γυναικός. Ὁ δ' ἐρωτηθεὶς, τί πράττει Κάτων, οὐδὲν ἀπεκρίνετο, πλὴν ἀγνοεῖν. Ἔδει δ' ἢ πράττειν τι τῶν ἀναγκαίων οἶκοι τὸν δοῦλον, ἢ καθεύδειν. Καὶ σφόδρα τοῖς κοιμωμένοις ὁ Κάτων ἔχαιρε, πραοτέρους τε τῶν ἐγρηγορότων νομίζων, καὶ πρὸς ὁτιοῦν βελτίονας χρῆσθαι, τῶν δεομένων ὕπνου τοὺς ἀπολελαυκότας. Οἰόμενος δὲ τὰ μέγιστα ῥᾳδιουργεῖν ἀφροδισίων ἕνεκα τοὺς δούλους, ἔταξεν ὡρισμένου νομίσματος ὁμιλεῖν ταῖς θεραπαινίσιν, ἑτέρᾳ δὲ γυναικὶ μηδένα πλησιάζειν. Ἐν ἀρχῇ μὲν οὖν ἔτι πένης ὢν καὶ στρατευόμενος, πρὸς οὐδὲν ἐδυσκόλαινε τῶν περὶ δίαιταν, ἀλλ' αἴσχιστον ἀπέφαινε διὰ γαστέρα πρὸς οἰκέτην ὑγρομαχεῖν. Ὕστερον δὲ, τῶν πραγμάτων ἐπιδιδόντων, ποιού-

μενος ἑστιάσεις φίλων καὶ συναρχόντων, ἐκόλαζεν εὐθὺς μετὰ τὸ δεῖπνον ἰμάντι τοὺς ἀμελέστερον ὑπουργήσαντας ὁτιοῦν, ἢ σκευάσαντας. Ἀεὶ δέ τινα φάσιν ἔχειν τοὺς δούλους ἐμηχανᾶτο καὶ διαφορὰν πρὸς ἀλλήλους, ὑπονοῶν τὴν ὁμόνοιαν αὐτῶν καὶ δεδοικώς. Τοὺς δ' ἄξιον εἰργᾶσθαί τι θανάτου δόξαντας, ἐδικαίου, κριθέντας ἐν τοῖς οἰκέταις πᾶσιν, ἀποθνήσκειν, εἰ καταγνωσθεῖεν. Ἁπτόμενος δὲ συντονώτερον πορισμοῦ, τὴν μὲν γεωργίαν μᾶλλον ἡγεῖτο διαγωγὴν, ἢ πρόσοδον· εἰς δ' ἀσφαλῆ πράγματα καὶ βέβαια κατατιθέμενος τὰς ἀφορμὰς, ἐκτᾶτο λίμνας, ὕδατα θερμὰ, τόπους κναφεῦσιν ἀνειμένους, ἐργατησίαν χώραν, ἔχουσαν αὐτοφυεῖς νομὰς καὶ ὕλας. Ἀφ' ὧν αὐτῷ χρήματα προσήει πολλὰ, μηδ' ὑπὸ τοῦ Διὸς, ὥς φησιν αὐτὸς, βλαβῆναι δυναμένων. Ἐχρήσατο δὲ καὶ τῷ διαβεβλημένῳ μάλιστα τῶν δανεισμῶν ἐπὶ ναυτικοῖς, τὸν τρόπον τοῦτον. Ἐκέλευε τοὺς δανειζομένους, ἐπὶ κοινωνίᾳ πολλοὺς παρακαλεῖν. Γενομένων δὲ πεντήκοντα, καὶ πλοίων τοσούτων, αὐτὸς εἶχε μίαν μερίδα διὰ Κουϊντίωνος ἀπελευθέρου, τοῖς δανειζομένοις συμπραγματευομένου καὶ συμπλέοντος. Ἦν δ' οὖν οὐκ εἰς ἅπαν ὁ κίνδυνος, ἀλλ' εἰς μέρος μικρὸν, ἐπὶ κέρδεσι μεγάλοις. Ἐδίδου δὲ καὶ τῶν οἰκετῶν τοῖς βουλομένοις ἀργύριον. Οἱ δ' ὠνοῦντο παῖδας, εἶτα τούτους ἀσκήσαντες καὶ διδάξαντες ἀναλώμασι τοῦ Κάτωνος, μετ' ἐνιαυτὸν ἀπεδίδοντο. Πολλοὺς δὲ καὶ κατεῖχεν ὁ Κάτων, ὅσην ὁ πλείστην διδοὺς ἐωνεῖτο τιμὴν ὑπολογιζόμενος. Προτρέπων δὲ τὸν υἱὸν ἐπὶ ταῦτα, φησὶν, οὐκ ἀνδρὸς, ἀλλὰ χήρας γυναικὸς, εἶναι, τὸ μειῶσαί τι τῶν ὑπαρχόντων. Ἐκεῖνο δ' ἤδη σφροδότερον τοῦ Κάτωνος, ὅτι θαυμαστὸν ἄνδρα καὶ θεῖον εἰπεῖν ἐτόλμησε πρὸς δόξαν, ὃς ἀπολείπει πλέον ἐν τοῖς λόγοις, ὃ προσέθηκεν, οὗ παρέλαβεν.

ΚΒ. Ἤδη δὲ αὐτοῦ γέροντος γεγονότος, πρέσβεις Ἀθήνηθεν ἦλθον εἰς Ῥώμην οἱ περὶ Καρνεάδην, τὸν Ἀκαδημαϊκὸν, καὶ

Διογένη, τὸν Στωϊκὸν φιλόσοφον, καταδίκην τινὰ παραιτησόμενοι τοῦ δήμου τῶν Ἀθηναίων, ἦν ἐρήμην ὤφλον, Ὡρωπίων μὲν διωξάντων, Σικυωνίων δὲ καταψηφισαμένων, τίμημα πεντακοσίων ταλάντων ἔχουσαν. Εὐθὺς οὖν οἱ φιλολογώτατοι τῶν νεανίσκων ἐπὶ τοὺς ἄνδρας ἵεντο, καὶ συνῆσαν ἀκροώμενοι καὶ θαυμάζοντες αὐτούς. Μάλιστα δ' ἡ Καρνεάδου χάρις, ἥς δύναμίς τε πλείστη, καὶ δόξα τῆς δυνάμεως οὐκ ἀποδέουσα, μεγάλων ἐπιλαβομένη καὶ φιλανθρώπων ἀκροατηρίων, ὡς πνεῦμα, τὴν πόλιν ἠχῆς ἐνέπλησε. Καὶ λόγος κατεῖχεν, ὡς ἀνὴρ Ἕλλην εἰς ἔκπληξιν ὑπερφυὴς, πάντα κηλῶν καὶ χειρούμενος, ἔρωτα δεινὸν ἐμβέβληκε τοῖς νέοις, ὑφ' οὗ τῶν ἄλλων ἡδονῶν καὶ διατριβῶν ἐκπεσόντες ἐνθουσιῶσι περὶ φιλοσοφίαν. Ταῦτα τοῖς μὲν ἄλλοις ἤρεσκε Ῥωμαίοις γιγνόμενα, καὶ τὰ μειράκια παιδείας Ἑλληνικῆς μεταλαμβάνοντα, καὶ συνόντα θαυμαζομένοις ἀνδράσιν ἡδέως ἑώρων. Ὁ δὲ Κάτων ἐξ ἀρχῆς τε, τοῦ ζήλου τῶν λόγων παραῤῥέοντος εἰς τὴν πόλιν ἤχθετο, φοβούμενος, μὴ τὸ φιλότιμον ἐνταῦθα τρέψαντες οἱ νέοι, τὴν ἐπὶ τῷ λέγειν δόξαν ἀγαπήσωσι μᾶλλον τῆς ἀπὸ τῶν ἔργων καὶ τῶν στρατειῶν. Ἐπεὶ δὲ προὔβαινεν ἡ δόξα τῶν φιλοσόφων ἐν τῇ πόλει, καὶ τοὺς πρώτους λόγους αὐτῶν ἀνὴρ εἰς τὴν σύγκλητον ἐπιφανὴς, σπουδάσας αὐτὸς καὶ δεηθείς, ἡρμήνευσε, Γάϊος Ἀκίλιος, ἔγνω μετ' εὐπρεπείας ἀποδιοπομπήσασθαι τοὺς φιλοσόφους ἅπαντας ἐκ τῆς πόλεως. Καὶ παρελθὼν εἰς τὴν σύγκλητον ἐμέμψατο τοῖς ἄρχουσιν, ὅτι πρεσβεία κάθηται πολὺν χρόνον ἄπρακτος ἀνδρῶν, οἳ περὶ παντὸς, οὓς βούλοιντο, ῥᾳδίως πείθειν δύνανται· δεῖν οὖν τὴν ταχίστην γνῶναί τε καὶ ψηφίσασθαι περὶ τῆς πρεσβείας, ὅπως οὗτοι μὲν ἐπὶ τὰς σχολὰς τραπόμενοι, διαλέγωνται παισὶν Ἑλλήνων, οἱ δὲ Ῥωμαίων νέοι τῶν νόμων καὶ τῶν ἀρχόντων, ὡς πρότερον, ἀκούωσι.

ΚΓ. Ταῦτα δ' οὐχ, ὡς ἔνιοι νομίζουσι, Καρνεάδῃ δυσχε-

ράνας ἔπραξεν, ἀλλ' ὅλως φιλοσοφίᾳ προσκεκρουκὼς, καὶ πᾶσαν Ἑλληνικὴν μοῦσαν καὶ παιδείαν ὑπὸ φιλοτιμίας προπηλακίζων· ὅς γε καὶ Σωκράτη φησὶ λάλον καὶ βίαιον γενόμενον ἐπιχειρεῖν, ᾧ τρόπῳ δυνατὸν ἦν, τυραννεῖν τῆς πατρίδος καταλύοντα τὰ ἔθη, καὶ πρὸς ἐναντίας τοῖς νόμοις δόξας ἔλκοντα καὶ μεθιστάντα τοὺς πολίτας. Τὴν δ' Ἰσοκράτους διατριβὴν ἐπισκώπτων, γηρᾷν φησὶ παρ' αὐτῷ τοὺς μαθητὰς, ὡς ἐν ᾅδου παρὰ Μίνῳ χρησομένους ταῖς τέχναις, καὶ δίκας ἐροῦντας. Τὸν δὲ παῖδα διαβάλλων πρὸς τὰ Ἑλληνικὰ, φωνῇ κέχρηται θρασυτέρᾳ τοῦ γήρως, οἷον ἀποθεσπίζων καὶ προμαντεύων, ὡς ἀπολοῦσι Ῥωμαῖοι τὰ πράγματα, γραμμάτων Ἑλληνικῶν ἀναπλησθέντες. Ἀλλὰ ταύτην μὲν αὐτοῦ τὴν δυσφημίαν ὁ χρόνος ἀποδείκνυσι κενὴν, ἐν ᾧ τοῖς τε πράγμασιν ἡ πόλις ἤρθη μεγίστη, καὶ πρὸς Ἑλληνικὰ μαθήματα καὶ παιδείαν ἅπασαν ἔσχεν οἰκείως. Ὁ δ' οὐ μόνον ἀπηχθάνετο τοῖς φιλοσοφοῦσιν Ἑλλήνων, ἀλλὰ καὶ τοὺς ἰατρεύοντας ἐν Ῥώμῃ δι' ὑποψίας εἶχε. Καὶ τὸν Ἱπποκράτους, ὡς ἔοικεν, ἀκηκοὼς λόγον, ὃν εἶπε, τοῦ μεγάλου βασιλέως καλοῦντος αὐτὸν ἐπὶ πολλοῖς τισι τα-λάντοις, οὐκ ἄν ποτε βαρβάροις Ἑλλήνων πολεμίοις ἑαυτὸν παρασχεῖν, ἔλεγε κοινὸν ὅρκον εἶναι τοῦτον ἰατρῶν ἁπάντων, καὶ παρεκελεύετο φυλάττεσθαι τῷ παιδὶ πάντας· αὐτῷ δὲ γεγραμμένον ὑπόμνημα εἶναι, καὶ πρὸς τοῦτο θεραπεύειν καὶ διαιτᾶν τοὺς νοσοῦντας οἴκοι· νῆσιν μὲν οὐδέποτε διατηρῶν οὐδένα, τρέφων δὲ λαχάνοις, καὶ σαρκιδίοις νήσσης, ἢ φάσσης, ἢ λαγῶ. Καὶ γὰρ τοῦτο κοῦφον εἶναι καὶ πρόσφορον ἀσθενοῦσι, πλὴν ὅτι πολλὰ συμβαίνει τοῖς φαγοῦσιν ἐνυπνιάζεσθαι. Τοιαύτῃ δὲ θεραπείᾳ καὶ διαίτῃ χρώμενος, ὑγιαίνειν μὲν αὐτὸς, ὑγιαίνοντας δὲ τοὺς ἑαυτοῦ διαφυλάττειν.

ΚΔ. Καὶ περίγε τοῦτο φαίνεται γεγονὼς οὐκ ἀνεμέσητος· καὶ γὰρ τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀπέβαλεν. Αὐτὸς δὲ τῷ σώματι πρὸς εὐεξίαν καὶ ῥώμην ἀσφαλῶς πεπηγὼς, ἐπὶ πλεῖσον ἀντεῖ-

χεν, ὥστε γυναικὶ πρεσβύτης ὢν σφόδρα πλησιάζειν, καὶ γῆμαι γάμον οὐ καθ' ἡλικίαν ἐκ τοιαύτης προφάσεως. Ἀποβαλὼν τὴν γυναῖκα, τῷ μὲν υἱῷ Παύλου θυγατέρα, Σκιπίωνος δὲ ἀδελφήν, ἠγάγετο πρὸς γάμον, αὐτὸς δὲ χηρεύων ἐχρῆτο παιδίσκῃ κρύφα φοιτώσῃ πρὸς αὐτόν. Ἦν οὖν ἐνοικίᾳ μικρᾷ νύμφην ἐχούσῃ τοῦ πράγματος αἴσθησις· καί ποτε τοῦ γυναίου θρασύτερον παρασοβῆσαι παρὰ τὸ δωμάτιον δόξαντος, ὁ νεανίας εἶπε μὲν οὐδέν, ἐμβλέψας δὲ πικρότερον καὶ διατραπεὶς οὐκ ἔλαθε τὸν πρεσβύτην. Ὡς οὖν ἔγνω τὸ πρᾶγμα δυσχεραινόμενον ὑπ' αὐτῶν, οὐδὲν ἐγκαλέσας, οὐδὲ μεμψάμενος, ἀλλὰ καταβαίνων, ὥσπερ εἰώθει, μετὰ φίλων εἰς ἀγορὰν, Σαλωνῖνόν τινα τῶν ὑπογεγραμματευκότων αὐτῷ, παρόντα καὶ συμπροπέμποντα, μεγάλῃ φωνῇ προσαγορεύσας, ἠρώτησεν, εἰ τὸ θυγάτριον συνήρμοσε νυμφίῳ. Τοῦ δ' ἀνθρώπου φήσαντος, ὡς οὐδὲ μέλλει, μὴ πρότερον ἐκείνῳ κοινωσάμενος· «Καὶ μὴν ἐγώ σοι (φησὶν) εὕρηκα κηδεστὴν ἐπιτήδειον, εἰ μὴ νηδία τὰ τῆς ἡλικίας δυσχεραίνοιτο· τἄλλα γὰρ οὐ μεμπτός ἐστι, σφόδρα δὲ πρεσβύτης. Ὡς οὖν ὁ Σαλωνῖνος ἐκέλευε ταῦτα φροντίζειν, καὶ διδόναι τὴν κόρην, ᾧ προαιρεῖται, πελάτιν οὖσαν αὐτοῦ καὶ δεομένην τῆς ἐκείνου κηδεμονίας, οὐδεμίαν ὁ Κάτων ἀναβολὴν ποιησάμενος, αὐτὸς ἔφη τὴν παρθένον αἰτεῖν ἑαυτῷ. Καὶ τὸ μὲν πρῶτον, ὡς εἰκὸς, ὁ λόγος ἐξέπληξε τὸν ἄνθρωπον, πόρρω μὲν γάμου τὸν Κάτωνα, πόρρω δ' αὐτὸν οἰκίας ὑπατικῆς καὶ θριαμβευτικῶν κηδευμάτων τιθέμενον· σπουδῇ δὲ χρώμενον ὁρῶν ἀσμένως ἐδέξατο, καὶ καταβάντες εἰς ἀγορὰν, εὐθὺς ἐποιοῦντο τὴν ἐγγύην. Πραττομένου δὲ τοῦ γάμου, παραλαβὼν τοὺς ἐπιτηδείους ὁ υἱὸς τοῦ Κάτωνος, ἠρώτησε τὸν πατέρα, μή τι μεμφόμενος, ἢ λελυπημένος ὑπ' αὐτοῦ, μητρυιὰν ἐπάγεται. Ὁ δὲ Κάτων ἀναβοήσας· Εὐφήμησον, εἶπεν, ὦ παῖ. Πάντα γὰρ ἀγαστά μοι τὰ παρὰ σοῦ, καὶ μεμπτὸν οὐδέν· ἐπιθυμῶ δὲ πλείονας ἐμαυτῷ τε παῖδας καὶ

πολίτας τῇ πατρίδι τοιούτους ἀπολιπεῖν. Ταύτην δὲ τὴν γνώμην πρότερον εἰπεῖν φασι Πεισίστρατον, τὸν Ἀθηναίων τύραννον, ἐπιγήμαντα τοῖς ἐνηλίκοις παισὶ τὴν Ἀργολίδα Τιμώνασσαν, ἐξ ἧς Ἰωφῶντα καὶ Θεσσαλὸν αὐτῷ λέγουσι γενέσθαι. Γήμαντι δὲ τῷ Κάτωνι γίνεται παῖς, ᾧ παρωνύμιον ἀπὸ τῆς μητρὸς ἔθετο Σαλωνῖνον. Ὁ δὲ πρεσβύτερος υἱὸς ἐτελεύτησε στρατηγῶν. Καὶ μέμνηται μὲν αὐτοῦ πολλάκις ἐν τοῖς βιβλίοις ὁ Κάτων, ὡς ἀνδρὸς ἀγαθοῦ γεγονότος· πράῳ δὲ καὶ φιλοσόφως λέγεται τὴν συμφορὰν ἐνεγκεῖν, καὶ μηδὲν ἀμβλύτερος δι' αὐτὴν εἰς τὰ πολιτικὰ γενέσθαι. Οὐ γὰρ, ὡς Λεύκιος Λούκουλλος ὕστερον, καὶ Μέτελλος ὁ Πίος, ἐξέκαμεν ὑπὸ γήρως πρὸς τὰ δημόσια, λειτουργίαν τὴν πολιτείαν ἡγούμενος· οὐδ' ὡς πρότερον Σκιπίων ὁ Ἀφρικανὸς, διὰ τὸν ἀντικρούσαντα πρὸς τὴν δόξαν αὐτοῦ φθόνον, ἀποσραφεὶς τὸν δῆμον, ἐκμεταβολῆς ἐποιήσατο τοῦ λοιποῦ βίου τέλος ἀπραγμοσύνην· ἀλλ', ὥσπερ Διονύτιόν τις ἔπεισε κάλλιστον ἐντάφιον ἡγεῖσθαι τὴν τυραννίδα, κάλλιστον αὐτὸς ἐγγράμα τὴν πολιτείαν ποιησάμενος, ἀναπαύσεσιν ἐχρῆτο καὶ παιδιαῖς, ὁπότε σχολάζοι, τῷ συντάττεσθαι βιβλία καὶ τῷ γεωργεῖν.

ΚΕ. Συνετάττετο μὲν οὖν λόγους τε παντοδαπούς καὶ ἱστορίας. Γεωργίᾳ δὲ προσεῖχε, νέος μὲν ὢν ἔτι, καὶ διὰ τὴν χρείαν (φησὶ γὰρ δυσὶ κεχρῆσθαι μόνοις πορισμοῖς, γεωργίᾳ καὶ φειδοῖ)· τότε δὲ διαγωγὴν καὶ θεωρίαν αὐτῷ τὰ γιγνόμενα κατ' ἀγρὸν παρεῖχε. Καὶ συντέτακταί γε βιβλίον γεωργικὸν, ἐν ᾧ καὶ περὶ πλακούντων σκευασίας, καὶ τηρήσεως ὑπώρας γέγραφεν, ἐν παντὶ φιλοτιμούμενος περιττὸς εἶναι καὶ ἴδιος. Ἦν δὲ καὶ τὸ δεῖπνον ἐν ἀγρῷ δαψιλέστερον· ἐκάλει γὰρ ἑκάστοτε τῶν ἀγροικοτέρων καὶ περιχώρων τοὺς συνήθεις, καὶ συνδιῆγεν ἱλαρῶς, οὐ τοῖς καθ' ἡλικίαν μόνοις ἥδιστος ὢν συγγενέσθαι καὶ πιθανὸς, ἀλλὰ καὶ τοῖς νέοις, ἅτε δὴ πολλῶν μὲν ἔμπειρος πραγμάτων γεγονὼς, πολλοῖς δὲ πράγμασι καὶ λόγοις ἀξίοις ἀκοῆς συντετυχηκώς· Τὴν δὲ

τράπεζαν ἐν τοῖς μάλιστα φιλοποιὸν ἡγεῖτο· καὶ πολλὴ μὲν εὐφημία τῶν καλῶν καὶ ἀγαθῶν πολιτῶν ἐπεισήγετο, πολλὴ δ' ἦν ἀμνησία τῶν ἀχρήστων καὶ πονηρῶν, μήτε ψόγῳ, μήτ' ἐπαίνῳ, πάροδον ὑπὲρ αὐτῶν τοῦ Κάτωνος εἰς τὸ συμπόσιον διδόντος.

Κς. Ἔσχατον δὲ τῶν πολιτευμάτων αὐτοῦ τὴν Καρχηδόνος ἀνάστασιν οἴονται γεγονέναι, τῷ μὲν ἔργῳ τέλος ἐπιθέντος τοῦ νέου Σκιπίωνος, βουλῇ δὲ καὶ γνώμῃ μάλιστα τοῦ Κάτωνος ἀραμένων τὸν πόλεμον, ἐξ αἰτίας τοιᾶσδε. Κάτων ἐπέμφθη πρὸς Καρχηδονίους καὶ Μασσανάσσην τὸν Νομάδα, πολεμοῦντας ἀλλήλοις, ἐπισκεψόμενος τὰς τῆς διαφορᾶς προφάσεις. Ὁ μὲν γὰρ ἦν τοῦ δήμου φίλος ἀπ' ἀρχῆς, οἱ δ' ἐγεγόνεισαν ἔνσπονδοι μετὰ τὴν ὑπὸ Σκιπίωνος ἧτταν, ἀφαιρέσει τε τῆς ἀρχῆς καὶ βαρεῖ δασμῷ χρημάτων κολουθέντες. Εὑρὼν δὲ τὴν πόλιν οὐχ, ὡς ᾤοντο Ῥωμαῖοι, κεκακωμένην καὶ ταπεινὰ πράττουσαν, ἀλλὰ πολλῷ μὲν εὐανδροῦσαν ἡλικίᾳ, μεγάλων δὲ πλούτων γέμουσαν, ὅπλων δὲ παντοδαπῶν καὶ παρασκευῆς πολεμικῆς μεστήν, καὶ μικρὸν οὐδὲν ἐπὶ τούτοις φρονοῦσαν, οὐ τὰ Νομάδων ᾤετο καὶ Μασσανάσσου πράγματα Ῥωμαίους ὥραν ἔχειν τίθεσθαι, καὶ διαιτᾶν, ἀλλ' εἰ μὴ καταλήψονται πόλιν, ἄνωθεν ἐχθρὰν καὶ βαρύθυμον, νύξημένην ἀπίσω, πάλιν ἐν τοῖς ἴσοις κινδύνοις ἔσεσθαι. Ταχέως οὖν ὑποσρέψας, ἐδίδασκε τὴν βουλήν, ὡς αἱ πρότερον ἥτται καὶ συμφοραὶ Καρχηδονίων, οὐ τοσοῦτον τῆς δυνάμεως, ὅσον τῆς ἀνοίας, ἀπαρύσασαι, κινδυνεύουσιν αὐτοὺς οὐκ ἀσθενεστέρους, ἐμπειροτέρους δὲ πολέμων ἀπεργάσασθαι· ἤδη δὲ καὶ προανακινεῖσθαι τοῖς Νομαδικοῖς τοὺς πρὸς Ῥωμαίους ἀγῶνας· εἰρήνην δὲ καὶ σπονδὰς ὄνομα τοῦ πολέμου τῇ μελλήσει κεῖσθαι, καιρὸν περιμένοντος.

ΚΖ. Πρὸς τούτοις φασὶ τὸν Κάτωνα καὶ σῦκα τῶν Λιβυκῶν ἐπίτηδες ἐκβαλεῖν ἐν τῇ βουλῇ, τὴν τήβεννον ἀναβαλλόμενον· εἶτα θαυμασάντων τὸ μέγεθος καὶ τὸ κάλλος, εἰπεῖν, ὡς ἡ ταῦτα φέρουσα χώρα τριῶν ἡμερῶν πλοῦν ἀπέχει τῆς Ῥώμης. Ἐκεῖνο

δ' ἤδη καὶ βιαιότερον, τὸ περὶ παντὸς οὗ δήποτε πράγματος γνώμην ἀποφαινόμενον, προσεπιφωνεῖν οὕτως· «Δοκεῖ δέ μοι καὶ Καρχηδόνα μὴ εἶναι.» Τοὐναντίον δὲ Πόπλιος Σκιπίων, ὁ Νασικᾶς ἐπικαλούμενος, ἀεὶ διετέλει λέγων καὶ ἀποφαινόμενος· «Δοκεῖ μοι Καρχηδόνα εἶναι.» Πολλὰ γὰρ, ὡς ἔοικεν, ὕβρει τὸν δῆμον ὁρῶν ἤδη πλημμελοῦντα, καὶ δι' εὐτυχίαν καὶ φρόνημα τῇ βουλῇ δυσκάθεκτον ὄντα, καὶ τὴν πόλιν ὅλην ὑπὸ δυνάμεως ὅπη ῥέψειε ταῖς ὁρμαῖς, βίᾳ συνεφελκόμενον, ἐβούλετο τοῦτον γοῦν τὸν φόβον ὥσπερ χαλινὸν ἐπικεῖσθαι σωφρονιστῆρα τῇ θρασύτητι τῶν πολλῶν· ἔλαττον μὲν ἡγούμενος ἰσχύειν Καρχηδονίους τοῦ περιγενέσθαι Ῥωμαίων, μεῖζον δὲ τοῦ καταφρονεῖσθαι. Τῷ δὲ Κάτωνι τοῦτ' αὐτὸ δεινὸν ἐφαίνετο, βακχεύοντι τῷ δήμῳ καὶ σφαλλομένῳ τὰ πολλὰ δι' ἐξουσίαν, πόλιν ἀεὶ μεγάλην, νυνὶ δὲ καὶ νήφουσαν ὑπὸ συμφορῶν καὶ κεκολασμένην, ἐπικρέμασθαι, καὶ μὴ παντάπασι τοὺς ἔξωθεν ἀνελεῖν τῆς ἡγεμονίας φόβους, ἀναφορὰς αὐτοῖς πρὸς τὰς οἰκοθεν ἁμαρτίας ἀπολιπόντας. Οὕτω μὲν ἐξεργάσασθαι λέγεται τὸν τρίτον καὶ τελευταῖον ὁ Κάτων ἐπὶ Καρχηδονίους πόλεμον. Ἀρξαμένων δὲ πολεμεῖν, ἐτελεύτησεν, ἀποθεσπίσας περὶ τοῦ μέλλοντος ἐπιθήσειν τῷ πολέμῳ τέλος ἀνδρός· ὃς ἦν τότε μὲν νεανίας, χιλίαρχος δὲ στρατευόμενος, ἀπεδείκνυτο καὶ γνώμης ἔργα καὶ τόλμης πρὸς τοὺς ἀγῶνας. Ἀπαγγελλομένων δὲ τούτων εἰς Ῥώμην, πυνθανόμενον τὸν Κάτωνα φασὶν εἰπεῖν·

Οἷος πέπνυται· τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν.

Ταύτην μὲν οὖν τὴν ἀπόφασιν ταχὺ δι' ἔργων ἐβεβαίωσεν ὁ Σκιπίων. Ὁ δὲ Κάτων ἀπέλιπε γενεὰν ἕνα μὲν υἱὸν ἐκ τῆς ἐπιγαμηθείσης, ᾧ παρωνύμιον ἔφαμεν γενέσθαι Σαλωνῖνον, ἕνα δὲ υἱωνὸν ἐκ τοῦ τελευτήσαντος υἱοῦ. Καὶ Σαλωνῖνος μὲν ἐτελεύτησε στρατηγῶν, ὁ δ' ἐξ αὐτοῦ γενόμενος Μάρκος ὑπάτευσεν. Ἦν δὲ πάππος οὗτος τοῦ φιλοσόφου Κάτωνος, ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν κατ' αὐτὸν ἐπιφανεστάτου γενομένου.

ΑΡΙΣΤΕΙΔΟΥ ΚΑΙ ΚΑΤΩΝΟΣ ΣΥΓΚΡΙΣΙΣ.

ΓΕΓΡΑΜΜΕΝΩΝ δὲ καὶ περὶ τούτων τῶν ἀξίων μνήμης, ὅλος ὁ τούτου βίος ὅλῳ τῷ θατέρου παρατεθεὶς, οὐκ εὐθεώρητον ἔχει τὴν διαφοράν, ἐναφανιζομένην πολλαῖς καὶ μεγάλαις ὁμοιότησιν. Εἰ δὲ δεῖ κατὰ μέρος τῇ συγκρίσει διαλαβεῖν, ὥσπερ ἔπος, ἢ γραφὴν, ἑκάτερον, τὸ μὲν ἐξ οὐχ ὑπαρχούσης ἀφορμῆς εἰς πολιτείαν καὶ δόξαν ἀρετῇ καὶ δυνάμει προελθεῖν, ἀμφοτέροις κοινόν ἐστι. Φαίνεται δ' ὁ μὲν Ἀριστείδης, οὔπω τότε μεγάλων οὐσῶν τῶν Ἀθηνῶν, καὶ ταῖς οὐσίαις ἔτι συμμέτροις καὶ ὁμαλοῖς ἐπιβαλὼν δημαγωγοῖς καὶ στρατηγοῖς, ἐπιφανὴς γενέσθαι. Τὸ γὰρ μέγιστον ἦν τίμημα τότε τὸ τῶν Πεντακοσιομεδίμνων, τὸ δὲ δεύτερον Ἱππεῖς, τριακοσίων· ἔσχατον δὲ καὶ τρίτον οἱ Ζευγῖται, διακοσίων. Ὁ δὲ Κάτων ἐκ πολίχνης τε μικρᾶς καὶ διαίτης ἀγροίκου δοκούσης φέρων ἀφῆκεν ἑαυτὸν, ὥσπερ εἰς πέλαγος ἀχανὲς, τὴν ἐν Ῥώμῃ πολιτείαν, οὐκέτι Κουρίων καὶ Φαβρικίων καὶ Ὁσιλίων ἔργον οὖσαν ἡγεμόνων, οὐδ' ἀπ' ἀρότρου καὶ σκαφίου πέντητας καὶ αὐτουργοὺς ἀναβαίνοντας ἐπὶ τὸ βῆμα προσιεμένην ἄρχοντας καὶ δημαγωγοὺς, ἀλλὰ πρὸς γένη μεγάλα, καὶ πλούτους, καὶ νομὰς, καὶ σπουδαρχίας, ἀποβλέπειν εἰθισμένην, καὶ δι' ὄγκον ἤδη καὶ δύναμιν, ἐντρυφῶσαν τοῖς ἄρχειν ἀξιοῦσιν. Οὐκ ἦν δ' ὅμοιον ἀντιπάλῳ χρῆσθαι Θεμιστοκλεῖ, μήτ' ἀπὸ γένους λαμπρῷ, καὶ κεκτημένῳ μέτρια (πέντε γὰρ, ἢ τριῶν ταλάντων οὐσίαν αὐτῷ γενέσθαι λέγουσιν, ὅτε πρῶτον ἥψατο τῆς πολιτείας)· καὶ πρὸς Σκιπίωνας Ἀφρικανοὺς, καὶ Σερουίους Γάλβας,

καὶ Κοΐντιους Φλαμινίνους ἁμιλλᾶσθαι περὶ πρωτείων, μηδὲν ὁρμητήριον ἔχοντα, πλὴν φωνὴν παῤῥησιαζομένην ὑπὲρ τῶν δικαίων.

Β. Ἔτι δ' Ἀριστείδης μὲν ἐν Μαραθῶνι, καὶ πάλιν ἐν Πλαταιαῖς, δέκατος ἦν στρατηγός· Κάτων δὲ δεύτερος μὲν ὕπατος ἠρέθη, πολλῶν ἀντιμετιόντων, δεύτερος δὲ τιμητὴς, ἑπτὰ τοὺς ἐπιφανεστάτους καὶ πρώτους ἁμιλλωμένους ὑπερβαλόμενος. Καὶ μὴν Ἀριστείδης μὲν ἐν οὐδενὶ τῶν κατορθωμάτων γέγονε πρῶτος, ἀλλὰ Μιλτιάδης [μὲν] ἔχει τοῦ Μαραθῶνος τὸ πρωτεῖον, Θεμιστοκλῆς δὲ τῆς Σαλαμῖνος· ἐν δὲ Πλαταιαῖς φησὶν Ἡρόδοτος ἀνελέσθαι καλλίστην νίκην Παυσανίαν· Ἀριστείδῃ δὲ καὶ τῶν δευτερείων ἀμφισβητοῦσι Σωφᾶναι, καὶ Ἀρειναῖοι, καὶ Καλλίμαχοι, καὶ Κυναίγειροι, διαπρεπῶς ἀριστεύσαντες ἐν ἐκείνοις τοῖς ἀγῶσι. Κάτων δ' οὐ μόνον αὐτὸς ὑπατεύων ἐπρώτευσε καὶ χειρὶ καὶ γνώμῃ κατὰ τὸν Ἰβηρικὸν πόλεμον, ἀλλὰ καὶ χιλιαρχῶν περὶ Θερμοπύλας, ὑπατεύοντος ἑτέρου, τὴν δόξαν ἔσχε τῆς νίκης, μεγάλας ἐπ' Ἀντίοχον Ῥωμαίοις ἀναπετάσας κλεισιάδας, καὶ πρόσω μόνον ὁρῶντι τῷ βασιλεῖ περισῄσας κατὰ νώτου τὸν πόλεμον. Ἐκείνη γὰρ ἡ νίκη, περιφανῶς ἔργον οὖσα Κάτωνος, ἐξῄλασε τῆς Ἑλλάδος τὴν Ἀσίαν, καὶ παρέσχεν ἐπιβατὴν αὖθις Σκιπίωνι. Πολεμοῦντες μὲν οὖν ἀήττητοι γεγόνασιν ἀμφότεροι· περὶ δὲ τὴν πολιτείαν Ἀριστείδης μὲν ἔπταισεν, ἐξοστρακισθεὶς καὶ κατασασιασθεὶς ὑπὸ Θεμιστοκλέους· Κάτων δ', οἵπερ ἦσαν ἐν Ῥώμῃ δυνατώτατοι καὶ μέγιστοι, πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἀντιπάλοις χρώμενος, καὶ μέχρι γήρως, ὥσπερ ἀθλητὴς, ἀγωνιζόμενος, ἀπτῶτα διετήρησεν ἑαυτόν. Πλείσας δὲ καὶ φυγὼν δημοσίας δίκας, καὶ διώξας, πολλὰς μὲν εἶλε, πάσας δ' ἀπέφυγε, πρόβλημα τοῦ βίου, καὶ δραστήριον ὄργανον ἔχων τὸν λόγον· ᾧ δικαιότερον ἄν τις, ἢ τύχῃ καὶ δαίμονι τοῦ ἀνδρὸς, τὸ μηδὲν παθεῖν παρ' ἀξίαν ἀνατιθείη. Μέγα γὰρ καὶ Ἀριστοτέλει τῷ φιλοσόφῳ τοῦτο

προσεμαρτύρησεν Ἀντίπατρος, γράφων περὶ αὐτοῦ μετὰ τὴν τελευτὴν, ὅτι πρὸς τοῖς ἄλλοις ὁ ἀνὴρ καὶ τὸ πιθανὸν εἶχεν.

Γ. Ὅτι μὲν δὴ τῆς πολιτικῆς ἄνθρωπος ἀρετῆς οὐ κτᾶται τελειοτέραν, ὁμολογούμενόν ἐστι. Ταύτης δέ που μόριον οἱ πλεῖστοι τὴν οἰκονομικὴν οὐ μικρὸν τίθενται. Καὶ γὰρ ἡ πόλις, οἴκων τι σύστημα καὶ κεφάλαιον οὖσα, ῥώννυται πρὸς τὰ δημόσια, τοῖς ἰδίοις βίοις τῶν πολιτῶν εὐθενούντων. Ὅπου καὶ Λυκοῦργος ἐξοικίσας μὲν ἀργύριον, ἐξοικίσας δὲ χρυσὸν τῆς Σπάρτης, νόμισμα δὲ διεφθαρμένου περὶ σιδήρου θέμενος αὐτοῖς, οἰκονομίας οὐκ ἀπήλλαξε τοὺς πολίτας, ἀλλὰ τὰ τρυφῶντα καὶ ὕπουλα καὶ φλεγμαίνοντα τοῦ πλούτου περιελὼν, ὅπως εὐπορήσωσι τῶν ἀναγκαίων καὶ χρησίμων ἅπαντες, ὡς ἄλλος οὐδεὶς νομοθέτης προύνόησε, τὸν ἄπορον καὶ ἀνέστιον καὶ πένητα σύνοικον ἐπὶ κοινωνίᾳ πολιτείας μᾶλλον τοῦ πλουσίου καὶ ὑπερόγκου φοβηθείς. Φαίνεται τοίνυν ὁ μὲν Κάτων οὐδέν τι φαυλότερος οἴκου προστάτης, ἢ πόλεως, γενόμενος. Καὶ γὰρ αὐτὸς ηὔξησε τὸν αὑτοῦ βίον, καὶ κατέστη διδάσκαλος οἰκονομίας καὶ γεωργίας ἑτέροις, πολλὰ καὶ χρήσιμα περὶ τούτων συλλεξάμενος. Ἀριστείδης δὲ τῇ πενίᾳ καὶ τὴν δικαιοσύνην συνδιέβαλεν, ὡς οἰκοφθόρον καὶ πτωχοποιὸν, καὶ πᾶσι μᾶλλον, ἢ τοῖς κεκτημένοις, ὠφέλιμον. Καίτοι πολλὰ μὲν Ἡσίοδος πρὸς δικαιοσύνην ἅμα καὶ οἰκονομίαν παρακαλῶν ἡμᾶς εἴρηκε, καὶ τὴν ἀργίαν ὡς ἀδικίας ἀρχὴν λελοιδόρηκεν· εὖ δὲ καὶ Ὁμήρῳ πεποίηται·

Ἔργον δέμοι οὐ φίλον ἦεν,
Οὐδ' οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα·
Ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν,
Καὶ πόλεμοι καὶ ἄκοντες εὐξεστοὶ καὶ ὀϊστοί·

ὡς τοὺς αὐτοὺς ἀμελοῦντας οἰκίας, καὶ πορίζομένους ἐξ ἀδικίας. Οὐ γὰρ, ὡς τοὔλαιον οἱ ἰατροί φασι τοῦ σώματος εἶναι τοῖς μὲν ἐκτὸς ὠφελιμώτατον, τοῖς δ' ἐντὸς βλαβερώτατον, οὕτως

ὁ

ὁ δίκαιος ἑτέροις μέν ἐστι χρήσιμος, αὐτοῦ δὲ καὶ τῶν ἰδίων ἀκηδής. Ἀλλ' ἔοικε ταύτῃ πεπηρῶσθαι τῷ Ἀριστείδῃ τὸ πολιτικόν, εἴπερ, ὡς οἱ πλεῖστοι λέγουσιν, οὐδὲ προῖκα τοῖς θυγατρίοις, οὐδὲ ταφὴν αὑτῷ καταλιπέσθαι προὐνόησεν. Ὅθεν ὁ μὲν Κάτωνος οἶκος, ἄχρι γένους τετάρτου, στρατηγοὺς καὶ ὑπάτους τῇ Ῥώμῃ παρεῖχε· καὶ γὰρ υἱωνοί, καὶ τούτων ἔτι παῖδες, ἦρξαν ἀρχὰς τὰς μεγίστας. Τῆς δ' Ἀριστείδου, τοῦ πρωτεύσαντος Ἑλλήνων, γενεᾶς ἡ πολλὴ καὶ ἄπορος πενία, τοὺς μὲν εἰς ἀγυρτικοὺς κατέβαλε πίνακας, τοὺς δὲ δημοσίῳ τὰς χεῖρας ἐράνῳ δὶ ἔνδειαν ὑπέχειν ἠνάγκασεν, οὐδενὶ δὲ λαμπρὸν οὐδὲν, οὐδ' ἄξιον ἐκείνου τοῦ ἀνδρὸς φρονῆσαι παρέσχεν.

Δ. Ἢ τοῦτο πρῶτον ἀμφιλογίαν ἔχει. Πενία γὰρ αἰσχρὸν οὐδαμοῦ μὲν δὶ αὐτὴν, ἀλλ' ὅπου δεῖγμα ῥαθυμίας ἐστὶν, ἀκρασίας, πολυτελείας, ἀλογιστίας· ἀνδρὶ δὲ σώφρονι, καὶ φιλοπόνῳ, καὶ δικαίῳ, καὶ ἀνδρείῳ, καὶ δημοσιεύοντι ταῖς ἀρεταῖς ἁπάσαις, συνοῦσα, μεγαλοψυχίας ἐστὶ καὶ μεγαλοφροσύνης σημεῖον. Οὐ γάρ ἐστι πράττειν μεγάλα, φροντίζοντα μικρῶν· οὐδὲ πολλοῖς δεομένοις βοηθεῖν, πολλῶν αὐτὸν δεόμενον. Μέγα δ' εἰς πολιτείαν ἐφόδιον, οὐχ ὁ πλοῦτος, ἀλλ' αὐτάρκεια, τῷ μηδενὸς ἰδίᾳ τῶν περιττῶν δεῖσθαι, πρὸς οὐδεμίαν ἀσχολίαν ἄγουσα τῶν δημοσίων. Ἀπροσδεὴς μὲν γὰρ ἁπλῶς ὁ θεὸς, ἀνθρωπίνης δ' ἀρετῆς, ᾧ συνάγεται πρὸς τὸ ἐλάχιστον ἡ χρεία, τοῦτο τελειότατον. Ὡς γὰρ σῶμα τὸ καλῶς πρὸς εὐεξίαν κεκραμένον, οὔτ' ἐσθῆτος, οὔτε τροφῆς δεῖται περιττῆς, οὕτω καὶ βίος καὶ οἶκος ὑγιαίνων ἀπὸ τῶν τυχόντων διοικεῖται. Δεῖ δὲ τῇ χρείᾳ σύμμετρον ἔχειν τὴν κτῆσιν· ὡς ὅ γε πολλὰ συνάγων, ὀλίγοις δὲ χρώμενος, οὐκ ἔστιν αὐτάρκης, ἀλλ' εἴτε μὴ δεῖται, τῇ παρασκευῇ ὧν οὐκ ὀρέγεται, μάταιος, εἴτ' ὀρέγεται, μικρολογίᾳ κολούων τὴν ἀπόλαυσιν, ἄθλιος. Αὐτοῦ γέ τοι Κάτωνος ἡδέως ἂν πυθοίμην· Εἰ μὲν ἀπολαυστὸν ὁ πλοῦτός ἐστι, τί σεμνύνῃ τῷ πολλὰ κεκτη-

μένος ἀρκεῖσθαι μετρίοις; εἰ δὲ λαμπρόν ἐστιν, ὥσπερ ἐστίν, ἄρτῳτε χρήσασθαι τῷ προστυχόντι, καὶ πιεῖν, ὃν ἐργάται πίνουσι καὶ θεράποντες, οἶνον, καὶ πορφύρας μὴ δεηθῆναι, μήτ' οἰκίας κεκονιαμένης, οὐδὲν οὔτ' Ἀριστείδης οὔτ' Ἐπαμινώνδας, οὔτε Μάνιος Κούριος, οὔτε Γάϊος Φαβρίκιος ἐνέλιπον τοῦ προσήκοντος, χαίρειν ἐάσαντες τὴν κτῆσιν, ὧν τὴν χρῆσιν ἀπεδοκίμαζον. Οὐ γὰρ ἦν ἀναγκαῖον ἀνθρώπῳ, γογγυλίδας ἥδιστον ὄψον πεποιημένῳ, καὶ δι' αὐτοῦ ταύτας ἕψοντι, ματτούσης ἅμα τῆς γυναικὸς ἄλφιτα, τοσαῦτα περὶ ἀσσαρίου θρυλλεῖν, καὶ γράφειν, ἀφ' ἧς ἄν τις ἐργασίας τάχιστα πλούσιος γένοιτο. Μέγα γὰρ τὸ εὐτελὲς καὶ αὔταρκες, ὅτι τῆς ἐπιθυμίας ἅμα καὶ τῆς φροντίδος ἀπαλλάττει τῶν περιττῶν. Διὸ καὶ τοῦτο φασὶν ἐν τῇ Καλλίου δίκῃ τὸν Ἀριστείδην εἰπεῖν, ὡς αἰσχύνεσθαι πενίαν προσήκει τοῖς ἀκουσίως πενομένοις, τοῖς δ', ὥσπερ αὐτὸς, ἑκουσίως, ἐγκαλλωπίζεσθαι. Γελοῖον γὰρ οἴεσθαι ῥᾳθυμίας εἶναι τὴν Ἀριστείδου πενίαν, ᾧ παρῆν, αἰσχρὸν εἰργασμένῳ μηδὲν, ἀλλ' ἕνα σκυλεύσαντι βάρβαρον, ἢ μίαν σκηνὴν καταλαβόντι, πλουσίῳ γενέσθαι. Ταῦτα μὲν οὖν περὶ τούτων.

Ε. Στρατηγίαι δὲ τοῦ μὲν Κάτωνος οὐδὲν ὡς μεγάλοις πράγμασι μέγα προσέθηκαν, ἐν δὲ ταῖς Ἀριστείδου τὰ κάλλιστα καὶ λαμπρότατα καὶ πρῶτα τῶν Ἑλληνικῶν ἔργων ἐστὶν, ὁ Μαραθὼν, ἡ Σαλαμὶς, αἱ Πλαταιαί. Καὶ οὐκ ἄξιον δήπου παραβάλλειν τῷ Ξέρξῃ τὸν Ἀντίοχον, καὶ τὰ περιαιρεθέντα τῶν Ἰβηρικῶν πόλεων τείχη, ταῖς τοσαύταις μὲν ἐν γῇ, τοσαύταις δ' ἐν θαλάσσῃ πεσούσαις μυριάσιν. Ἐν οἷς Ἀριστείδης ἔργῳ μὲν οὐδενὸς ἐλείπετο, δόξης δὲ καὶ σεφάνων, ὥσπερ ἀμέλει πλούτου καὶ χρημάτων, ὑφήκατο τοῖς μᾶλλον δεομένοις, ὅτι καὶ πάντων τούτων διέφερεν. Ἐγὼ δ' οὐ μέμφομαι μὲν Κάτωνος τὸ μεγαλύνειν ἀεὶ καὶ πρῶτον ἑαυτὸν ἁπάντων τίθεσθαι· καίτοι φησὶν ἔν τινι λόγῳ, τὸ ἐπαινεῖν αὐτὸν, ὥσπερ τὸ λοιδορεῖν, ἄτοπον εἶναι. Τελειότερος

δέμοι δοκεῖ πρὸς ἀρετὴν, τοῦ πολλάκις ἑαυτὸν ἐγκωμιάζοντος, ὁ μηδ' ἑτέρων τοῦτο ποιούντων δεόμενος. Τὸ γὰρ ἀφιλότιμον, οὐ μικρὸν εἰς πραότητα πολιτικὴν ἐφόδιον· καὶ τοὐναντίον ἡ φιλοτιμία χαλεπὸν, καὶ ῥθόνου γονιμώτατον, ἧς ὁ μὲν ἀπήλλακτο παντάπασιν, ὁ δὲ καὶ πάνυ πολλῆς μετεῖχεν. Ἀριστείδης μέν γε, Θεμιστοκλεῖ τὰ μέγιστα συμπράττων, καὶ τρόπον τινὰ τὴν στρατηγίαν αὐτοῦ δορυφορῶν, ὤρθωσε τὰς Ἀθήνας. Κάτων δ', ἀντιπράττων Σκιπίωνι, μικροῦ μὲν ἀνέτρεψε καὶ διελυμήνατο τὴν ἐπὶ Καρχηδονίους αὐτοῦ στρατηγίαν, ἢ τὸν ἀήττητον Ἀννίβαν καθεῖλε. Τέλος δὲ, μηχανώμενος ἀεί τινας ὑποψίας καὶ διαβολὰς, αὐτὸν μὲν ἐξήλασε τῆς πόλεως, τὸν δ' ἀδελφὸν αἰσχίστῃ κλοπῆς καταδίκῃ περιέβαλεν.

ς. Ἦν τοίνυν πλείοις ὁ Κάτων κεκόσμηκε καὶ καλλίοις ἐπαίνοις ἀεὶ σωφροσύνην, Ἀριστείδης μὲν ἄθικτον ὡς ἀληθῶς καὶ καθαρὰν ἐτήρησεν· αὐτοῦ δὲ τοῦ Κάτωνος ὁ παρ' ἀξίαν ἅμα καὶ παρ' ὥραν γάμος οὐ μικράν, οὐδὲ φαύλην εἰς τοῦτο διαβολὴν κατεσκέδασε. Πρεσβύτην γὰρ ἤδη τοσοῦτον ἐνηλίκῳ παιδὶ, καὶ γυναικὶ νύμφῃ παιδὸς, ἐπιγῆμαι κόρην ὑπηρέτου καὶ δημοσιεύοντος ἐπὶ μισθῷ πατρὸς, οὐδαμοῦ καλόν. Ἀλλ' εἴτε πρὸς ἡδονὴν ταῦτ' ἔπραξεν, εἴτ' ὀργῇ, διὰ τὴν ἑταίραν ἀμυνόμενος τὸν υἱὸν, αἰσχύνην ἔχει καὶ τὸ ἔργον καὶ ἡ πρόφασις. Ὧ δ' αὐτὸς ἐχρήσατο λόγῳ κατειρωνευόμενος τὸ μειράκιον, οὐκ ἦν ἀληθής. Εἰ γὰρ ἐβούλετο παῖδας ἀγαθοὺς ὁμοίως τεκνῶσαι, γάμον ἔδει λαβεῖν γενναῖον, ἐξ ἀρχῆς σκεψάμενον· οὐχ ἕως μὲν ἐλάνθανεν ἀνεγγύῳ γυναικὶ καὶ κοινῇ συγκοιμώμενος, ἀγαπᾷν· ἐπεὶ δ' ἐφωράθη, ποιήσασθαι πενθερὸν, ὃν ῥᾷστα πείσειν, οὐχ ᾧ κάλλιστα κηδεύσειν ἔμελλεν.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΠΛΟΥΤΑΡΧΟΥ ΦΙΛΟΠΟΙΜΗΝ.

Κλέανδρος ἦν ἐν Μαντινείᾳ γένους τε πρώτου, καὶ δυνηθεὶς ἐν τοῖς μάλιστα τῶν πολιτῶν· τύχῃ δὲ χρησάμενος, καὶ τὴν ἑαυτοῦ φυγὼν, ἦκεν εἰς Μεγάλην πόλιν, οὐχ ἥκιστα διὰ τὸν Φιλοποίμενος πατέρα, Κραῦγιν, ἄνδρα πάντων ἕνεκα λαμπρὸν, ἰδίᾳ δὲ πρὸς ἐκεῖνον οἰκείως ἔχοντα. Ζῶντος μὲν οὖν αὐτοῦ πάντων ἐτύγχανε, τελευτήσαντος δὲ τὴν ἀμοιβὴν τῆς φιλοξενίας ἀποδιδοὺς, ἔθρεψεν αὐτοῦ τὸν υἱὸν ὀρφανὸν ὄντα, καθάπερ φησὶν Ὅμηρος ὑπὸ τοῦ Φοίνικος τὸν Ἀχιλλέα τραφῆναι, γενναίαν τινὰ καὶ βασιλικὴν τοῦ ἤθους εὐθὺς ἐξ ἀρχῆς πλάσιν καὶ αὔξησιν λαμβάνοντος. Ἤδη δὲ τοῦ Φιλοποίμενος ἀντίπαιδος ὄντος, Ἔκδημος καὶ Δημοφάνης, οἱ Μεγαλοπολῖται, διεδέξαντο τὴν ἐπιμέλειαν, Ἀρκεσιλάῳ συνήθεις ἐν Ἀκαδημίᾳ γεγονότες, καὶ φιλοσοφίαν μάλιστα τῶν καθ' ἑαυτοὺς ἐπὶ πολιτείαν καὶ πράξεις προαγαγόντες. Οὗτοι καὶ τὴν ἑαυτῶν πατρίδα τυραννίδος ἀπήλλαξαν, τοὺς ἀποκτενοῦντας Ἀριστόδημον κρύφα παρασκευάσαντες· καὶ Νικοκλέα τὸν Σικυώνιον τύραννον Ἀράτῳ συνεξέβαλον, καὶ Κυρηναίοις δεηθεῖσιν, τεταραγμένων τῶν κατὰ τὴν πόλιν καὶ νοσούντων, πλεύσαντες εὐνομίαν ἔθεντο, καὶ διεκόσμησαν ἄριστα τὴν πόλιν. Αὐτοί γε μὴν ἐν τοῖς ἄλλοις ἔργοις καὶ τὴν Φιλοποίμενος ἐποιοῦντο παίδευσιν, ὡς κοινὸν ὄφελος τῇ Ἑλλάδι τὸν ἄνδρα τοῦτον ὑπὸ φιλοσοφίας ἀπεργασόμενοι. Καὶ γὰρ, ὥσπερ ὀψίγονον ἐν γήρᾳ, ταῖς τῶν παλαιῶν ἡγεμόνων ἐπιτεκοῦσα τοῦτον ἀρεταῖς ἡ Ἑλλὰς, ἠγάπησε διαφερόντως, καὶ συνηύξησε τῇ δόξῃ τὴν δύναμιν. Ῥωμαίων δέ τις ἐπαινῶν, ἔσχατον αὐτὸν Ἑλλήνων προσεῖπεν, ὡς οὐδένα μέγαν μετὰ τοῦτον ἔτι τῆς Ἑλλάδος ἄνδρα γεναμένης, οὐδὲ αὐτῆς ἄξιον.

Β. Ἦν δὲ τὸ μὲν εἶδος οὐκ αἰσχρὸς, ὡς ἔνιοι νομίζουσιν. Εἰκόνα γὰρ αὐτοῦ διαμένουσαν ἐν Δελφοῖς ὁρῶμεν. Τὴν δὲ τῆς ξένης τῆς Μεγαρικῆς ἄγνοιαν συμβῆναι λέγουσι δι' εὐκολίαν τινὰ καὶ ἀφέλειαν αὐτοῦ. Πυνθανομένη γὰρ ἔρχεσθαι πρὸς αὐτοὺς τὸν στρατηγὸν τῶν Ἀχαιῶν, ἐθορυβεῖτο, παρασκευάζουσα δεῖπνον, οὐ παρόντος κατὰ τύχην τοῦ ἀνδρός. Ἐν τούτῳ δὲ τοῦ Φιλοποίμενος εἰσελθόντος, χλαμύδιον εὐτελὲς ἔχοντος, οἰομένη τινὰ τῶν ὑπηρετῶν εἶναι καὶ προδρόμων, παρεκάλει τῆς διακονίας συνεφάψασθαι. Καὶ ὁ μὲν εὐθὺς ἀπορρίψας τὴν χλαμύδα τῶν ξύλων ἔσχιζεν· ὁ δὲ ξένος ἐπεισελθὼν, καὶ θεασάμενος· Τί τοῦτο, ἔφη, Φιλοποίμην; Τί γὰρ ἄλλο, ἔφη δωρίζων ἐκεῖνος, ἢ κακῆς ὄψεως δίκας δίδωμι; τοῦ δ' ἄλλου σώματος τὴν φύσιν ἐπισκώπτων ὁ Τίτος εἶπεν· « Ὦ Φιλοποίμην, ὡς καλὰς χεῖρας ἔχεις καὶ σκέλη γαστέρα δ' οὐκ ἔχεις. » Ἦν γὰρ ἐκ τῶν μέσων γενώτερος. Τὸ μέντοι σκῶμμα πρὸς τὴν δύναμιν αὐτοῦ μᾶλλον ἐλέχθη. Καὶ γὰρ ὁπλίτας ἔχων ἀγαθοὺς καὶ ἱππεῖς, χρημάτων πολλάκις οὐκ εὐπόρει. Ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς περὶ τοῦ Φιλοποίμενος λέγεται.

Γ. Τοῦ δ' ἤθους τὸ φιλότιμον οὐκ ἦν παντάπασι φιλονεικίας καθαρὸν, οὐδ' ὀργῆς ἀπηλλαγμένον· ἀλλὰ, καίπερ Ἐπαμινώνδου βουλόμενος εἶναι μάλιστα ζηλωτὴς, τὸ (μὲν) δραστήριον καὶ συνετὸν αὐτοῦ, καὶ ὑπὸ χρημάτων ἀπαθὲς, ἰσχυρῶς ἐμιμεῖτο· τῷ δὲ πράῳ καὶ βαθεῖ καὶ φιλανθρώπῳ παρὰ τὰς πολιτικὰς διαφορὰς ἐμμένειν οὐ δυνάμενος δι' ὀργὴν καὶ φιλονεικίαν, μᾶλλον ἐδόκει στρατιωτικῆς, ἢ πολιτικῆς, ἀρετῆς οἰκεῖος εἶναι. Καὶ γὰρ ἐκ παίδων εὐθὺς ἦν φιλοστρατιώτης, καὶ τοῖς πρὸς τοῦτο χρησίμοις μαθήμασιν ὑπήκουε προθύμως, ὁπλομαχῶν καὶ ἱππεύων. Ἐπεὶ δὲ καὶ παλαίειν εὐφυῶς ἐδόκει, καὶ παρεκάλουν αὐτὸν ἐπὶ τὴν ἄθλησιν ἔνιοι τῶν φίλων καὶ τῶν ἐπιτρόπων, ἠρώτησεν αὐτοὺς, μή τι πρὸς τὴν στρατιωτικὴν ἄσκησιν ὑπὸ τῆς ἀθλήσεως βλαβήσοιτο.

Τῶν δὲ φαμένων, ὅπερ ἦν, ἀθλητικὸν στρατιωτικοῦ σῶμα καὶ βίον διαφέρειν τοῖς πᾶσι, μάλιστα δὲ δίαιταν ἑτέραν καὶ ἄσκησιν εἶναι, τῶν μὲν ὕπνῳ τε πολλῷ καὶ πλησμοναῖς ἐνδελεχέσι, καὶ κινήσεσι τεταγμέναις καὶ ἡσυχίαις, αὐξόντων τε καὶ διαφυλαττόντων τὴν ἕξιν, ὑπὸ πάσης ῥοπῆς καὶ παρεκβάσεως τοῦ συνήθους ἀκροσφαλῆ πρὸς μεταβολὴν οὖσαν· τὰ δὲ, πάσης μὲν πλάνης ἔμπειρα καὶ πάσης ἀνωμαλίας προσῆκον εἶναι, μάλιστα δὲ φέρειν ῥᾳδίως μὲν ἔνδειαν εἰθισμένα, ῥᾳδίως δ' ἀγρυπνίαν· ἀκούσας ὁ Φιλοποίμην, οὐ μόνον αὐτὸς ἔφυγε τὸ πρᾶγμα καὶ κατεγέλασεν, ἀλλὰ καὶ στρατηγῶν ὕστερον, ἀτιμίαις καὶ προπηλακισμοῖς, ὅσον ἦν ἐπ' αὐτῷ, πᾶσαν ἄθλησιν ἐξέβαλεν, ὡς τὰ χρησιμώτατα τῶν σωμάτων εἰς τοὺς ἀναγκαίους ἀγῶνας ἄχρηστα ποιοῦσαν.

Δ. Ἀπαλλαγεὶς δὲ διδασκάλων καὶ παιδαγωγῶν, ἐν μὲν ταῖς πολιτικαῖς στρατείαις, ἃς ἐποιοῦντο κλωπείας ἕνεκα καὶ λεηλασίας εἰς τὴν Λακωνικὴν ἐμβάλλοντες, εἴθισεν αὐτὸν, πρῶτον μὲν ἐκστρατευόντων, ὕστερον δ' ἀπερχομένων βαδίζειν. Σχολῆς δ' οὔσης, ἢ κυνηγῶν διεπόνει τὸ σῶμα, καὶ κατεσκεύαζε κοῦφον ἅμα καὶ ῥωμαλέον, ἢ γεωργῶν. Ἦν γὰρ ἀγρὸς αὐτῷ καλὸς ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως. Εἰς τοῦτον ἐβάδιζε καθ' ἡμέραν μετὰ τὸ ἄριστον, ἢ μετὰ τὸ δεῖπνον, καὶ καταβαλὼν ἑαυτὸν ἐπὶ σταδίου τοῦ τυχόντος, ὥσπερ ἕκαστος τῶν ἐργατῶν, ἀνεπαύετο. Πρωῒ δὲ ἀναστὰς καὶ συνεφαψάμενος ἔργου τοῖς ἀμπελουργοῦσιν, ἢ βοηλατοῦσιν, αὖθις εἰς [τὴν] πόλιν ἀπῄει, καὶ περὶ τὰ δημόσια τοῖς φίλοις καὶ τοῖς ἄρχουσι συνησχολεῖτο. Τὰ μὲν οὖν ἐκ τῶν στρατειῶν προσιόντα κατανήλισκεν εἰς ἵππους καὶ ὅπλα καὶ λύσεις αἰχμαλώτων. Τὸν δ' οἶκον ἀπὸ τῆς γεωργίας αὔξειν ἐπειρᾶτο, δικαιοτάτου τῶν χρηματισμῶν· οὐδὲ τοῦτο ποιούμενος πάρεργον, ἀλλὰ καὶ πάνυ προσήκειν οἰόμενος οἰκεῖα κεκτῆσθαι τὸν ἀλλοτρίων ἀφεξόμενον. Ἡκροᾶτο δὲ λόγων, καὶ συγγράμμασι φιλο-

σόφων ἐνετύγχανεν, οὐ πᾶσιν, ἀλλ' ἀφ' ὧν ἐδόκει πρὸς ἀρετὴν ὠφελεῖσθαι. Καὶ τῶν Ὁμηρικῶν, ὅσα τὰς πρὸς ἀνδρείαν ἐγείρειν καὶ παροξύνειν ἐνόμιζε φαντασίας, τούτοις προσεῖχε. Τῶν δ' ἄλλων ἀναγνωσμάτων μάλιστα τοῖς Εὐαγγέλου τακτικοῖς ἐνεφύετο, καὶ τὰς περὶ Ἀλέξανδρον ἱστορίας κατεῖχε, τοὺς λόγους ἐπὶ τὰ πράγματα καταστρέφειν οἰόμενος, εἰ μὴ σχολῆς ἕνεκα καὶ λαλιᾶς ἀκάρπου περαίνοιντο. Καὶ γὰρ τῶν τακτικῶν θεωρημάτων τὰς ἐπὶ τοῖς πινακίοις διαγραφὰς ἐῶν χαίρειν, ἐπὶ τῶν τόπων αὐτὸν ἐλάμβανεν ἔλεγχον καὶ μελέτην ἐποιεῖτο, χωρίων συγκλινίας, καὶ πεδίων ἀποκοπάς, καὶ ὅσα παρὰ ῥείθροις, ἢ τάφροις, ἢ γενωποῖς, πάθη καὶ σχήματα διασπωμένης καὶ πάλιν συστελλομένης φάλαγγος, ἐπισκοπῶν αὐτὸς πρὸς αὑτὸν ἐν ταῖς ὁδοιπορίαις, καὶ τοῖς μεθ' ἑαυτοῦ προβάλλων. Ἔοικε γὰρ οὗτος ἀνὴρ περαιτέρω τῆς ἀνάγκης ἐμφιλοκαλῆσαι τοῖς στρατιωτικοῖς, καὶ τὸν πόλεμον ὡς ποικιλωτάτην ὑπόθεσιν τῆς ἀρετῆς ἀσπάσασθαι, καὶ ὅλως καταφρονεῖν τῶν ἀπολειπομένων, ὡς ἀπράκτων.

Ε. Ἤδη δ' αὐτοῦ τριάκοντα ἔτη γεγονότος, Κλεομένης, ὁ βασιλεὺς Λακεδαιμονίων, νυκτὸς ἐξαίφνης προσπεσὼν τῇ Μεγάλῃ πόλει, καὶ τὰς φυλακὰς βιασάμενος, ἐντὸς παρῆλθε καὶ τὴν ἀγορὰν κατέλαβεν. Ἐκβοηθήσας δὲ Φιλοποίμην, τοὺς μὲν πολεμίους οὐ κατίσχυσεν ἐξελάσαι, καίπερ ἐῤῥωμένως καὶ παραβόλως διαγωνισάμενος· τοὺς δὲ πολίτας τρόπον τινὰ τῆς πόλεως ἐξέκλεψε, προσμαχόμενος τοῖς ἐπιδιώκουσι, καὶ τὸν Κλεομένην περισπῶν ἐφ' ἑαυτόν, ὡς χαλεπῶς καὶ μόλις ὕστατος ἀπελθεῖν ἀποβαλὼν τὸν ἵππον, καὶ τραυματίας γενόμενος. Ἐπεὶ δὲ προσέπεμψεν αὐτοῖς ὁ Κλεομένης, εἰς Μεσσήνην ἀπελθοῦσι, τήν τε πόλιν μετὰ τῶν χρημάτων ἀποδιδοὺς καὶ τὴν χώραν, ὁρῶν ὁ Φιλοποίμην τοὺς πολίτας ἀσμένως δεχομένους, καὶ σπεύδοντας ἐπανελθεῖν, ἐνέστη καὶ διεκώλυσε, τῷ λόγῳ διδάσκων, ὡς οὐκ ἀποδίδωσι τὴν πόλιν Κλεομένης, προσκτᾶται δὲ τοὺς πολίτας,

ἐπὶ τῷ καὶ τὴν πόλιν ἔχειν βεβαιότερον· οὐ γὰρ ἕξειν αὐτὸν, ὅπως οἰκίας καὶ τείχη κενὰ φυλάξῃ καθήμενος, ἀλλὰ καὶ τούτων ὑπ' ἐρημίας ἐκπεσεῖσθαι. Ταῦτα λέγων, τοὺς μὲν πολίτας ἀπέτρεψε, τῷ δὲ Κλεομένει πρόφασιν παρέσχε λυμήνασθαι καὶ καταβαλεῖν τὰ πλεῖστα τῆς πόλεως, καὶ χρημάτων εὐπορήσαντι μεγάλων ἀπελθεῖν.

ς. Ἐπεὶ δ' Ἀντίγονος ὁ βασιλεὺς βοηθῶν ἐπὶ τὸν Κλεομένην μετὰ τῶν Ἀχαιῶν ἐστράτευσε, καὶ, τὰς περὶ Σελλασίαν ἄκρας καὶ τὰς ἐμβολὰς κατέχοντος αὐτοῦ, παρέταξε τὴν δύναμιν, ἐγγὺς ἐπιχειρεῖν καὶ βιάζεσθαι διανοούμενος· ἦν μὲν ἐν τοῖς ἱππεῦσι μετὰ τῶν αὐτοῦ πολιτῶν τεταγμένος ὁ Φιλοποίμην, καὶ παρασάτας εἶχεν Ἰλλυριοὺς, οἷς τὰ λήγοντα τῆς παρατάξεως συνεπέφρακτο, πολλοῖς οὖσι καὶ μαχίμοις. Εἴρητο δ' αὐτοῖς ἐρεδρεύουσιν ἡσυχίαν ἔχειν, ἄχρις ἂν ἀπὸ θατέρου κέρως ὑπὸ τοῦ βασιλέως ἀρθῇ φοινικὶς ὑπὲρ σαρίσσης διατεταμένη. Τῶν δ' ἡγεμόνων τοῖς Ἰλλυριοῖς πειρωμένων ἐκβιάζεσθαι τοὺς Λακεδαιμονίους, καὶ τῶν Ἀχαιῶν, ὥσπερ προσετέτακτο, τὴν ἐφεδρείαν ἐν τάξει διαφυλαττόντων, Εὐκλείδας, ὁ τοῦ Κλεομένους ἀδελφὸς, καταμαθὼν τὸ γενόμενον διάσπασμα περὶ τοὺς πολεμίους, ταχὺ τοὺς ἐλαφροτάτους τῶν ψιλῶν περιέπεμψεν, ἐξόπισθεν τοῖς Ἰλλυριοῖς ἐπιπεσεῖν κελεύσας, καὶ περισπᾶν ἐρήμους τῶν ἱππέων ἀπολελειμμένους. Γινομένων δὲ τούτων, καὶ τῶν ψιλῶν τοὺς Ἰλλυριοὺς περισπώντων καὶ διαταραττόντων, συνιδὼν ὁ Φιλοποίμην οὐ μέγα ὂν ἔργον ἐπιθέσθαι τοῖς ψιλοῖς, καὶ τὸν καιρὸν ὑφηγούμενον τοῦτο, πρῶτον μὲν ἔφραζε τοῖς βασιλικοῖς· ὡς δ' οὐκ ἔπειθεν, ἀλλὰ μαίνεσθαι δοκῶν κατεφρονεῖτο, οὐδέπω μεγάλης, οὐδ' ἀξιοπίστου πρὸς τηλικοῦτο στρατήγημα δόξης περὶ αὐτὸν οὔσης, αὐτὸς ἐμβάλλει, συνεπισπασάμενος τοὺς πολίτας. Γενομένης δὲ ταραχῆς τὸ πρῶτον, εἶτα φυγῆς καὶ φόνου πολλοῦ τῶν ψιλῶν, βουλόμενος ἔτι μᾶλλον ἐπιρρῶσαι τοὺς βασιλικοὺς, καὶ προσ-

μίξαι κατὰ τάχος θορυβουμένοις τοῖς πολεμίοις, τὸν μὲν ἵππον ἀφῆκεν, αὐτὸς δὲ πρὸς χωρία σκολιὰ καὶ μεταῤῥείθρων καὶ φαράγγων πεζὸς ἐν ἱππικῷ θώρακι, καὶ σκευῇ βαρυτέρᾳ, χαλεπῶς καὶ ταλαιπώρως ἀμιλλώμενος, διελαύνεται διαμπερὲς ὁμοῦ τοὺς μηροὺς ἑκατέρους *ἐν* μεσαγκύλῳ, καιρίας μὲν οὐ γενομένης, ἰσχυρᾶς δὲ τῆς πληγῆς, ὥστε τὴν αἰχμὴν ἐπὶ θάτερα διῶσαι. Τὸ μὲν οὖν πρῶτον ἐνσχεθεὶς ὥσπερ δεσμῷ, παντάπασιν ἀπόρως εἶχε· τὸ γὰρ ἕναμμα τῆς ἀγκύλης χαλεπὴν ἐποίει τοῦ ἀκοντίσματος ἀνελκομένου διὰ τῶν τραυμάτων τὴν πάροδον. Ὡς δὲ ὤκνουν οἱ παρόντες ἅψασθαι, καὶ τῆς μάχης ἀκμὴν ὀξεῖαν ἐχούσης, ἐσφάδαζεν ὑπὸ θυμοῦ καὶ φιλοτιμίας πρὸς τὸν ἀγῶνα, τῇ παραβάσει καὶ τῇ παραλλάξει τῶν σκελῶν διὰ μέσου κλάσας τὸ ἀκόντισμα, χωρὶς ἐκέλευσεν ἑλκύσαι τῶν ἀγμάτων ἑκάτερον. Οὕτω δ' ἀπαλλαγείς, καὶ σπασάμενος τὸ ξίφος, ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τοὺς πολεμίους, ὥστε πολλὴν προθυμίαν καὶ ζῆλον ἀρετῆς παρασχεῖν τοῖς ἀγωνιζομένοις. Νικήσας οὖν ὁ Ἀντίγονος, ἀπεπειρᾶτο τῶν Μακεδόνων, ἐρωτῶν, διά τί, μὴ κελεύσαντος αὐτοῦ, τὸ ἱππικὸν ἐκίνησαν. Τῶν δ' ἀπολογουμένων, ὡς παρὰ γνώμην βιασθεῖεν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, μειρακίου Μεγαλοπολιτικοῦ προεμβαλόντος, γελάσας ὁ Ἀντίγονος· Ἐκεῖνο τοίνυν τὸ μειράκιον, εἶπεν, ἔργον ἡγεμόνος μεγάλου πεποίηκεν.

Ζ. Ἐκ τούτου δόξαν ἔσχεν, ὥσπερ εἰκὸς, ὁ Φιλοποίμην. Καὶ τοῦ μὲν Ἀντιγόνου σπουδάσαντος, ὅπως στρατεύοιτο μετ' αὐτοῦ, καὶ διδόντος ἡγεμονίαν καὶ χρήματα, παρητήσατο, μάλιστα τὴν ἑαυτοῦ φύσιν καταμαθὼν πρὸς τὸ ἄρχεσθαι δυσκόλως καὶ χαλεπῶς ἔχουσαν. Ἀργεῖν δὲ καὶ σχολάζειν οὐ βουλόμενος, ἀσκήσεως ἕνεκα καὶ μελέτης τῶν πολεμικῶν εἰς Κρήτην ἔπλευσεν ἐπὶ στρατείαν. Κἀκεῖ συχνὸν χρόνον ἐγγυμνασάμενος ἀνδράσι μαχίμοις καὶ ποικίλοις μεταχειρίσασθαι πόλεμον, ἔτι δὲ σώφροσι καὶ κεκολασμένοις περὶ δίαιταν, ἐπανῆλθεν οὕτω λαμπρὸς εἰς τοὺς

Ἀχαιοὺς, ὥσ' εὐθὺς ἵππαρχος ἀποδειχθῆναι. Παραλαβὼν δὲ τοὺς ἱππεῖς φαύλοις μὲν ἱππαρίοις ἐκ τοῦ προστυχόντος, ὅτε συμβαίνοι τῷ στρατείᾳ, προσχρωμένους, αὐτοὺς δὲ τὰς πολλὰς τῶν στρατειῶν ἀποδιδράσκοντας, ἑτέρους δὲ πέμποντας ἀνθ' ἑαυτῶν, δεινὴν δ' ἀπειρίαν μετ' ἀτολμίας πάντων οὖσαν, περιορῶντας δὲ ταῦτα τοὺς ἄρχοντας ἀεὶ, διά τε τὸ πλεῖστον ἐν τοῖς Ἀχαιοῖς τοὺς ἱππεῖς δύνασθαι, καὶ μάλιστα κυρίους εἶναι τιμῆς καὶ κολάσεως, οὐχ ὑπεῖξεν, οὐδ' ἀνῆκεν· ἀλλὰ καὶ τὰς πόλεις ἐπιὼν, καὶ κατ' ἄνδρα τῶν νέων ἕκαστον ἐπὶ τὴν φιλοτιμίαν συνεξορμῶν, καὶ κολάζων τοὺς ἀνάγκης δεομένους, μελέταις τε καὶ πομπαῖς, καὶ πρὸς ἀλλήλους ἁμίλλαις χρώμενος, ὅπου πλεῖστοι θεᾶσθαι μέλλοιεν, ὀλίγῳ χρόνῳ πᾶσι ῥώμην τε θαυμαστὴν καὶ προθυμίαν παρέστησε· καὶ, ὃ μέγιστον ἦν ἐν τοῖς τακτικοῖς, ἐλαφροὺς καὶ ὀξεῖς, πρός τε τὰς κατ' οὐλαμὼν ἐπιστροφὰς καὶ περισπασμοὺς, καὶ τὰς καθ' ἵππον ἐπιστροφὰς καὶ κλίσεις, ἀπειργάσατο καὶ συνείθισεν, ὡς ἑνὶ σώματι κινουμένῳ καθ' ὁρμὴν ἑκούσιον ἐοικέναι τὴν ὅλου τοῦ συστήματος ἐν ταῖς μεταβολαῖς εὐχέρειαν. Συστάσης δὲ τῆς περὶ τὸν Λάρισσον αὐτοῖς ποταμὸν ἰσχυρᾶς μάχης πρὸς Αἰτωλοὺς καὶ Ἠλείους, ὁ τῶν Ἠλείων ἵππαρχος Δαμόφαντος ὥρμησεν ἐπὶ τὸν Φιλοποίμενα προεξελάσας. Δεξάμενος δὲ τὴν ὁρμὴν ἐκεῖνος αὐτοῦ, καὶ φθάσας τῷ δόρατι παίει καὶ καταβάλλει τὸν Δαμόφαντον. Εὐθὺς δὲ, τούτου πεσόντος, ἔφυγον οἱ πολέμιοι, καὶ λαμπρὸς ἦν ὁ Φιλοποίμην, ὡς οὔτε κατὰ χεῖρα τῶν νέων τινὸς, οὔτε συνέσει τῶν πρεσβυτέρων ἀπολειπόμενος, ἀλλὰ καὶ μάχεσθαι καὶ στρατηγεῖν ἱκανώτατος.

Η. Τὸ δὲ κοινὸν τῶν Ἀχαιῶν πρῶτος μὲν Ἄρατος εἰς ἀξίωμα καὶ δύναμιν ἦρεν ἐκ ταπεινοῦ καὶ διεῤῥιμμένου, κατὰ πόλεις συναγαγὼν, καὶ πολιτευσάμενος Ἑλληνικὴν καὶ φιλάνθρωπον πολιτείαν. Ἔπειτα, ὥσπερ ἐν τοῖς ὕδασιν, ἀρξαμένων ὀλίγων ὑφίσασθαι καὶ μικρῶν σωμάτων, ἤδη τὰ ἐπιῤῥέοντα τοῖς πρώτοις ἐν-

ισχόμενα καὶ περιπίπτοντα πῆξιν ἰσχυρὰν καὶ στερεότητα ποιεῖ δι' ἀλλήλων, οὕτω, τῆς Ἑλλάδος ἀσθενοῦς καὶ εὐδιαλύτου φερομένης κατὰ πόλεις ἐν τῷ τότε χρόνῳ, πρῶτοι συσάντες οἱ Ἀχαιοί, καὶ τῶν κύκλῳ πόλεων τὰς μὲν ἐκ τοῦ βοηθεῖν καὶ συνελευθεροῦν ἀπὸ τῶν τυραννικῶν ὑπολαμβάνοντες, τὰς δ' ὁμονοίᾳ καὶ πολιτείᾳ καταμιγνύντες εἰς ἑαυτούς, ἓν σῶμα καὶ μίαν δύναμιν κατασκευάσαι διενοοῦντο τὴν Πελοπόννησον. Ἀλλ', Ἀράτου μὲν ζῶντος, ἔτι τοῖς Μακεδόνων ὅπλοις ὑπεδύοντο τὰ πολλὰ, θεραπεύοντες Πτολεμαῖον, εἶτ' αὖθις Ἀντίγονον καὶ Φίλιππον, ἐν μέσαις ἀναστρεφομένους ταῖς Ἑλληνικαῖς πράξεσιν. Ἐπεὶ δὲ Φιλοποίμην εἰς τὸ πρωτεύειν προῆλθεν, ἤδη καθ' ἑαυτοὺς ἀξιόμαχοι τοῖς ἰσχύουσι πλεῖον ὄντες, ἐπαύσαντο χρώμενοι προσάταις ἐπεισάκτοις. Ἄρατος μὲν γὰρ, ἀργότερος εἶναι δοκῶν πρὸς τοὺς πολεμικοὺς ἀγῶνας, ὁμιλίᾳ καὶ πρᾳότητι καὶ φιλίαις βασιλικαῖς τὰ πλεῖστα κατειργάσατο τῶν πραγμάτων, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· Φιλοποίμην δ', ἀγαθὸς πολεμιστὴς ὢν, καὶ διὰ τῶν ὅπλων ἐνεργὸς, ἔτι δ' εὐτυχὴς καὶ κατορθωτικὸς εὐθὺς ἐν ταῖς πρώταις γενόμενος μάχαις, ἅμα τῇ δυνάμει τὸ φρόνημα τῶν Ἀχαιῶν ηὔξησε, νικᾶν ἐθισθέντων μετ' αὐτοῦ, καὶ κατευτυχεῖν ἐν τοῖς πλείστοις ἀγῶσι.

Θ. Πρῶτον μὲν οὖν τὰ περὶ τὰς τάξεις καὶ τοὺς ὁπλισμοὺς φαύλως ἔχοντα τοῖς Ἀχαιοῖς ἐκίνησεν. Ἐγρῶντο γὰρ θυρεοῖς μὲν εὐτελέσι διὰ λεπτότητα, καὶ στενωτέροις τοῦ περιστέλλειν τὰ σώματα, δόρασι δὲ μικροτέροις πολὺ τῶν σαρισσῶν· καὶ διὰ τοῦτο πλῆκται καὶ μάχιμοι πόρρωθεν ἦσαν ὑπὸ κουφότητος, προσμίξαντες δὲ τοῖς πολεμίοις, ἔλαττον εἶχον. Εἶδος δὲ τάξεως καὶ σχήματος εἰς σπεῖραν οὐκ ἦν σύνηθες· φάλαγγι δὲ χρώμενοι μήτε προβολὴν ἐχούσῃ, μήτε συνασπισμὸν, ὡς ἡ Μακεδόνων, ῥᾳδίως ἐξεθλίβοντο καὶ διεσπῶντο. Ταῦτα ὁ Φιλοποίμην διδάξας, ἔπεισεν αὐτοὺς ἀντὶ μὲν θυρεοῦ καὶ δόρατος ἀσπίδα λαβεῖν καὶ

σάρισσαν, κράνεσι δὲ καὶ θώραξι καὶ περικνημῖσι πεφραγμένους, μόνιμον καὶ βεβηκυῖαν ἀντὶ δρομικῆς καὶ πελτασικῆς μάχην ἀσκεῖν. Πείσας δὲ καθοπλίσασθαι τοὺς ἐν ἡλικίᾳ, πρῶτον μὲν ἐπῆρε θαρρεῖν, ὡς ἀμάχους γεγονότας· ἔπειτα τὰς τρυφὰς αὐτῶν καὶ τὰς πολυτελείας ἄριστα μετεκόσμησεν. Ἀφελεῖν γὰρ οὐκ ἦν παντάπασιν ἐκ πολλοῦ νοσούντων τὸν κενὸν καὶ μάταιον ζῆλον, ἐσθῆτας ἀγαπώντων περιττὰς, στρωμνάς τε βαπτομένων ἁλουργεῖς, καὶ περὶ δεῖπνα φιλοτιμουμένων καὶ τραπέζας. Ὁ δ', ἀρξάμενος ἐκτρέπειν ἀπὸ τῶν οὐκ ἀναγκαίων ἐπὶ τὰ χρήσιμα καὶ καλὰ τὴν φιλοκοσμίαν, ταχὺ πάντας ἔπεισε καὶ παρώρμησε, τὰς καθ' ἡμέραν περὶ σῶμα δαπάνας κολούσαντας, ἐν ταῖς στρατιωτικαῖς καὶ πολεμικαῖς παρασκευαῖς διαπρεπεῖς ὁρᾶσθαι καὶ κεκοσμημένους. Ἦν οὖν ἰδεῖν τὰ μὲν ἐργαστήρια μεστὰ κατακοπτομένων κυλίκων καὶ θηρικλείων, χρυσουμένων δὲ θωράκων, καὶ καταργυρουμένων θυρεῶν καὶ χαλινῶν· τὰ δὲ στάδια πώλων δαμαζομένων, καὶ νεανίσκων ὁπλομαχούντων· ἐν δὲ ταῖς χερσὶ τῶν γυναικῶν κράνη καὶ πτερὰ βαρβαρικὰ κοσμούμενα, καὶ χιτώνων ἱππικῶν καὶ στρατιωτικῶν χλαμύδων διανθισμένων. Ἡ δ' ὄψις αὕτη τὸ θάρσος αὔξουσα, καὶ παρακαλοῦσα, *τὴν* ὁρμὴν ἐνεποίει φιλοπαράβολον καὶ πρόθυμον ἐπὶ τοὺς κινδύνους. Ἡ μὲν γὰρ ἐν τοῖς ἄλλοις θεάμασι πολυτέλεια τρυφὴν ἐπάγεται, καὶ μαλακίαν ἐνδίδωσι τοῖς χρωμένοις, ὥσπερ ὑπὸ νυγμῶν καὶ γαργαλισμῶν τῆς αἰσθήσεως συνεπικλώσης τὴν διάνοιαν· ἡ δ' εἰς τὰ τοιαῦτα ῥώννυσι καὶ μεγαλύνει τὸν θυμόν· ὥσπερ Ὅμηρος ἐποίησε τὸν Ἀχιλλέα, τῶν καινῶν ὅπλων παρατεθέντων ἐγγὺς, ὑπὸ τῆς ὄψεως οἷον ὀργῶντα καὶ φλεγόμενον πρὸς τὴν δι' αὐτῶν ἐνέργειαν. Οὕτω δὲ κοσμήσας τοὺς νέους, ἐγύμναζε καὶ διεπόνει, ταῖς κινήσεσι προθύμως ὑπακούοντας καὶ φιλοτίμως. Καὶ γὰρ ἡ τάξις θαυμαστῶς ἠγαπᾶτο, ἄθραυστόν τι λαμβάνειν πύκνωμα δοκοῦσα, καὶ τὰ ὅπλα τοῖς σώμασιν ἐγίνετο χειροήθη καὶ κοῦφα,

μεθ' ἡδονῆς διὰ λαμπρότητα καὶ κάλλος ἁπτομένων καὶ φορούντων, ἐναγωνίσασθαί τε βουλομένων, καὶ διακριθῆναι τάχιστα πρὸς τοὺς πολεμίους.

I. Ἦν δὲ τότε τοῖς Ἀχαιοῖς ὁ πρὸς Μαχανίδαν πόλεμος, τὸν Λακεδαιμονίων τύραννον, ἀπὸ πολλῆς καὶ μεγάλης δυνάμεως ἐπιβουλεύοντα πᾶσι Πελοποννησίοις. Ὡς οὖν εἰς τὴν Μαντίνειαν ἐμβεβληκὼς ἀπηγγέλθη, κατὰ τάχος ὁ Φιλοποίμην ἐξήγαγε τὴν στρατιὰν ἐπ' αὐτόν. Ἐγγὺς δὲ τῆς πόλεως παρετάξαντο, πολλοῖς μὲν ξένοις ἑκάτεροι, πάσαις δὲ ὁμοῦ τι ταῖς πολιτικαῖς δυνάμεσι. Γενομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν, ὁ Μαχανίδας τοῖς ξένοις τοὺς τῶν Ἀχαιῶν προτεταγμένους ἀκοντιστὰς καὶ Ταραντίνους τρεψάμενος, ἀντὶ τοῦ χωρεῖν εὐθὺς ἐπὶ τοὺς μαχομένους, καὶ παραῤῥηγνύναι τὸ συνεχὲς, ἐξέπεσε διώκων, καὶ παρήλλαξε τὴν φάλαγγα τῶν Ἀχαιῶν ἐν τάξει μενόντων. Ὁ δὲ Φιλοποίμην, τηλικούτου πταίσματος ἐν ἀρχῇ γενομένου, καὶ τῶν πραγμάτων ἀπολωλέναι κομιδῇ καὶ διεφθάρθαι δοκούντων, τοῦτο μὲν ὅμως προσεποιεῖτο παροραῶν, καὶ μηδὲν ἡγεῖσθαι δεινόν· κατιδὼν δὲ τοὺς πολεμίους, ὅσον ἡμάρτανον ἐν τῇ διώξει, τῆς φάλαγγος ἀποῤῥηγνυμένους, καὶ κενὴν χώραν διδόντας, οὐκ ἀπήντησεν, οὐδ' ἐνέστη φερομένοις αὐτοῖς ἐπὶ τοὺς φεύγοντας, ἀλλ' ἐάσας παρελθεῖν, καὶ διάσπασμα ποιῆσαι μέγα, πρὸς τοὺς ὁπλίτας εὐθὺς ἦγε τῶν Λακεδαιμονίων, ὁρῶν τὴν φάλαγγα γυμνὴν ἀπολελειμμένην· καὶ κατὰ κέρας παραδραμὼν ἐνέβαλε, μήτ' ἄρχοντος αὐτοῖς παρόντος, μήτε μάχεσθαι προσδεχομένοις. Νικᾶν γὰρ ἡγοῦντο καὶ κρατεῖν παντάπασι, διώκοντα τὸν Μαχανίδαν ὁρῶντες. Ὡσάμενος δὲ τούτους φόνῳ πολλῷ (λέγονται γὰρ ὑπὲρ τοὺς τετρακισχιλίους ἀποθανεῖν), ὥρμησεν ἐπὶ τὸν Μαχανίδαν, ἐκ τῆς διώξεως ἀναστρέφονταμετὰ τῶν ξένων. Τάφρου δὲ μεγάλης καὶ βαθείας ἐν μέσῳ διειργούσης, παρεξήλαυνον ἀλλήλοις ἑκατέρωθεν· ὁ μὲν διαβῆναι καὶ φυγεῖν, ὁ δὲ τοῦτο κωλῦσαι βουλό-

μενος. Ην ο ὄψις οὐχ ὡς στρατηγῶν μαχομένων, ἀλλ' ὥσπερ θηρίῳ πρὸς ἀλκὴν ὑπ' ἀνάγκης τρεπομένῳ δεινοῦ κυνηγέτου τοῦ Φιλοποίμενος συνεσῶτος. Ἔνθα ὁ μὲν ἵππος τοῦ τυράννου, ῥωμαλέος ὢν καὶ θυμοειδὴς, καὶ τοῖς μύωψιν αἱμαχθεὶς ἑκατέρωθεν, ἐπετόλμησε τῇ διαβάσει, καὶ προσβαλὼν τῇ τάφρῳ τὸ σῆθος, ἐβιάζετο τοῖς προσθίοις πέραν ἐρείσασθαι σκέλεσιν. Ἐν δὲ τούτῳ Σμμίας καὶ Πολύαινος, οἵπερ ἀεὶ τῷ Φιλοποίμενι παρῆσαν μαχομένῳ καὶ συνήσπιζον, ὁμοῦ προσήλαυνον ἀμφότεροι, τὰς αἰχμὰς κλίναντες ἐναντίας. Φθάνει δ' αὐτοὺς ὁ Φιλοποίμην ἀπαντήσας τῷ Μαχανίδᾳ, καὶ τὸν ἵππον αὐτοῦ μετεωρίζοντα τὴν κεφαλὴν πρὸ τοῦ σώματος ὁρῶν, μικρὸν ἐνέκλινε τὸν ἴδιον, καὶ διαλαβὼν τὸ ξυστὸν, ἐκ χειρὸς ὠθεῖ, καὶ περιτρέπει τὸν ἄνδρα συνεπερείσας. Τοῦτ' ἔχων τὸ σχῆμα χαλκοῦς ἐν Δελφοῖς ἕστηκεν ὑπὸ τῶν Ἀχαιῶν, θαυμασάντων μάλιστα καὶ τὴν πρᾶξιν αὐτοῦ καὶ τὴν στρατηγίαν ἐκείνην.

ΙΑ. Λέγεται δὲ, τῆς τῶν Νεμείων πανηγύρεως ἐνεστώσης, στρατηγοῦντα τὸν Φιλοποίμενα τὸ δεύτερον, καὶ νενικηκότα μὲν οὐ πάλαι τὴν ἐν Μαντινείᾳ μάχην, τότε δὲ σχολὴν ἄγοντα διὰ τὴν ἑορτὴν, πρῶτον μὲν ἐπιδεῖξαι τοῖς Ἕλλησι κεκοσμημένην τὴν φάλαγγα, καὶ κινουμένην, ὥσπερ εἴθιστο, τοὺς τακτικοὺς ῥυθμοὺς μετὰ τάχους καὶ ῥώμης· ἔπειτα, κιθαρῳδῶν ἀγωνιζομένων, εἰς τὸ θέατρον παρελθεῖν, ἔχοντα τοὺς νεανίσκους ἐν ταῖς στρατιωτικαῖς χλαμύσι, καὶ τοῖς φοινικοῖς ὑποδύταις, ἁρμάζοντάς τε τοῖς σώμασιν ἅπαντας καὶ ταῖς ἡλικίαις παραλλήλους, αἰδῶ δὲ πολλὴν πρὸς τὸν ἄρχοντα καὶ φρόνημα νεανικὸν ὑποφαίνοντας, ἐκ πολλῶν καὶ καλῶν ἀγώνων. Ἄρτι δ' αὐτῶν εἰσελθόντων κατὰ τύχην Πυλάδην τὸν κιθαρῳδὸν ᾄδοντα τοὺς Τιμοθέου Πέρσας ἐνάρξασθαι·

Κλεινὸν ἐλευθερίας τεύχω μέγαν Ἑλλάδι κόσμον.

Ἅμα δὲ τῇ λαμπρότητι τῆς φωνῆς τοῦ περὶ τὴν ποίησιν ὄγκου

συμπρέψαντος, ἐπίβλεψιν γενέσθαι τοῦ θεάτρου πανταχόθεν εἰς τὸν Φιλοποίμενα, καὶ κρότον μετὰ χαρᾶς, τῶν Ἑλλήνων τὸ παλαιὸν ἀξίωμα ταῖς ἐλπίσιν ἀναλαμβανόντων, καὶ τοῦ τότε φρονήματος ἔγγιστα τῷ θαρρεῖν γινομένων.

ΙΒ. Παρὰ δὲ τὰς μάχας καὶ τοὺς κινδύνους, ὥσπερ οἱ πῶλοι τοὺς συνήθεις ἐπιβάτας ποθοῦντες, ἐὰν ἄλλον φέρωσι, πτύρονται καὶ ξενοπαθοῦσιν· οὕτως ἡ δύναμις τῶν Ἀχαιῶν ἑτέρου στρατηγοῦντος ἠθύμει, καὶ πρὸς ἐκεῖνον ἐπάπταινε, καὶ μόνον ὀφθέντος, εὐθὺς ὀρθὴ καὶ δρασήριος ἦν διὰ τὸ θαρρεῖν, ἅτε δὴ καὶ τοὺς ἐναντίους αἰσθανόμενοι πρὸς ἕνα τοῦτον τῶν στρατηγῶν ἀντιβλέπειν οὐ δυναμένους, ἀλλὰ καὶ τὴν δόξαν αὐτοῦ καὶ τοὔνομα δεδοικότας· ὡς ἦν φανερὸν ἐξ ὧν ἔπρασσον. Φίλιππος μὲν γὰρ, ὁ τῶν Μακεδόνων βασιλεὺς, οἰόμενος, ἂν ἐκ ποδῶν ὁ Φιλοποίμην γένηται, πάλιν ὑποπτήξειν αὐτῷ τοὺς Ἀχαιοὺς, ἔπεμψεν εἰς Ἄργος κρύφα τοὺς ἀναιρήσοντας αὐτόν. Ἐπιγνωσθείσης δὲ τῆς ἐπιβουλῆς, παντάπασιν ἐξεμισήθη καὶ διεβλήθη πρὸς τοὺς Ἕλληνας. Βοιωτοὶ δὲ πολιορκοῦντες Μέγαρα, καὶ λήψεσθαι ταχέως ἐλπίζοντες, ἐξαίφνης λόγου προσπεσόντος αὐτοῖς, ὃς οὐκ ἦν ἀληθὴς, Φιλοποίμενα βοηθοῦντα τοῖς πολιορκουμένοις ἐγγὺς εἶναι, τὰς κλίμακας ἀφέντες ἤδη προσερηρεισμένας τοῖς τείχεσιν, ᾤχοντο φεύγοντες. Νάβιδος δὲ, τοῦ μετὰ Μαχανίδαν τυραννοῦντος Λακεδαιμονίων, Μεσσήνην ἄφνω καταλαβόντος, ἐτύγχανε μὲν ἰδιώτης ὢν τότε ὁ Φιλοποίμην, καὶ δυνάμεως οὐδεμιᾶς κύριος. Ἐπεὶ δὲ τὸν στρατηγοῦντα τῶν Ἀχαιῶν Αὔσιππον οὐκ ἔπειθε βοηθεῖν τοῖς Μεσσηνίοις, ἀπολωλέναι κομιδῇ φάσκοντα τὴν πόλιν, ἔνδον γεγονότων τῶν πολεμίων, αὐτὸς ἐβοήθει, τοὺς ἑαυτοῦ πολίτας ἀναλαβὼν, οὔτε νόμον, οὔτε χειροτονίαν περιμείναντας, ἀλλ' ὡς διὰ παντὸς ἄρχοντι τῷ κρείττονι κατὰ φύσιν ἑπομένους. Ἤδη δ' αὐτοῦ πλησίον ὄντος, ἀκούσας ὁ Νάβις οὐχ ὑπέστη, καίπερ ἐν τῇ πόλει στρατοπεδεύων, ἀλλ' ὑπεκδὺς διὰ πυ-

λῶν

λῶν ἑτέρων, κατὰ τάχος ἀπήγαγε τὴν δύναμιν, εὐτυχίᾳ χρήσεσθαι δοκῶν, εἰ διαφύγοι· καὶ διέφυγε, Μεσσήνη δ' ἠλευθέρωτο.

ΙΓ. Ταῦτα μὲν οὖν τὰ καλὰ τοῦ Φιλοποίμενος. Ἡ δ' εἰς Κρήτην αὖθις ἀποδημία, Γορτυνίων δεηθέντων, ὡς χρήσαιντο πολεμούμενοι στρατηγῷ, διαβολὴν ἔσχεν, ὅτι, τῆς πατρίδος αὐτοῦ πολεμουμένης ὑπὸ Νάβιδος, ἀπῆν φυγομαχῶν, ἢ φιλοτιμούμενος ἀκαίρως πρὸς ἑτέρους. Καίτοι συντόνως οὕτως ἐπολεμήθησαν Μεγαλοπολῖται κατὰ τὸν χρόνον ἐκεῖνον, ὥστε τοῖς μὲν τείχεσιν ἐνοικεῖν, σπείρειν δὲ τοὺς σενωποὺς, περικεκομμένης τῆς χώρας, καὶ τῶν πολεμίων σχεδὸν ἐν ταῖς πύλαις στρατοπεδευόντων. Ὁ δὲ Κρησὶ πολεμῶν τηνικαῦτα, καὶ στρατηγῶν διαπόντιος, ἐγκλήματα παρεῖχε καθ' ἑαυτοῦ τοῖς ἐχθροῖς, ὡς ἀποδιδράσκων τὸν οἰκοι πόλεμον. Ἦσαν δέ τινες οἱ λέγοντες, ἑτέρους τῶν Ἀχαιῶν ἠρημένων ἄρχοντας, ἰδιώτην ὄντα τὸν Φιλοποίμενα, χρῆσαι τὴν ἑαυτοῦ σχολὴν ἐφ' ἡγεμονίᾳ δεηθεῖσι τοῖς Γορτυνίοις. Ἦν γὰρ ἀλλότριος σχολῆς, καθάπερ ἄλλο τι χρῆμα, τὴν στρατηγικὴν καὶ πολεμικὴν ἀρετὴν ἔχειν διὰ παντὸς ἐν χρήσει καὶ τριβῇ βουλόμενος· ὡς καὶ τῷ περὶ Πτολεμαίου ποτὲ ῥηθέντι τοῦ βασιλέως ἀπεδήλωσεν· ἐκεῖνον γὰρ ἐγκωμιαζόντων τινῶν, ὡς εὖ μὲν ἐξασκοῦντα τὸ στράτευμα καθ' ἡμέραν, εὖ δὲ γυμνάζοντα καὶ φιλοπόνως διὰ τῶν ὅπλων τὸ σῶμα· Καὶ τίς ἂν, ἔφη, βασιλέα θαυμάσειεν, ἐν τούτῳ τῆς ἡλικίας μὴ ἐπιδεικνύμενον, ἀλλὰ μελετῶντα; Χαλεπῶς δ' οὖν οἱ Μεγαλοπολῖται φέροντες ἐπὶ τούτῳ, καὶ προδεδόσθαι νομίζοντες, ἐπεχείρησαν ἀποξενοῦν αὐτόν· οἱ δ' Ἀχαιοὶ διεκώλυσαν, Ἀρισαίνετον πέμψαντες εἰς Μεγάλην πόλιν στρατηγὸν, ὃς, καίπερ ὢν διάφορος τῷ Φιλοποίμενι περὶ τὴν πολιτείαν, οὐκ εἴασε τελεσθῆναι τὴν καταδίκην. Ἐκ δὲ τούτου, παρορώμενος ὑπὸ τῶν πολιτῶν ὁ Φιλοποίμην, ἀπέστησε πολλὰς τῶν περιοικίδων κωμῶν, λέγειν διδάξας, ὡς οὐ συνετέλουν, οὐδ' ἦσαν ἐξ ἀρχῆς ἐκείνων. Καὶ λεγούσαις ταῦτα φανερῶς συνηγω-

νίσατο, καὶ συγκατεσκεύασε τὴν πόλιν ἐπὶ τῶν Ἀχαιῶν. Ταῦτα μὲν οὖν ὕστερον. Ἐν δὲ τῇ Κρήτῃ συνεπολέμει τοῖς Γορτυνίοις, οὐχ, ὡς Πελοποννήσιος ἀνὴρ καὶ Ἀρκὰς, ἁπλοῦν τινα καὶ γενναῖον πόλεμον, ἀλλὰ τὸ Κρητικὸν ἦθος ἐνδύς· καὶ τοῖς ἐκείνων σοφίσμασι καὶ δόλοις, κλωπείαις τε καὶ λοχισμοῖς, χρώμενος ἐπ' αὐτοὺς, ταχὺ παῖδας ἀπέδειξεν ἀνόητα καὶ κενὰ πρὸς ἐμπειρίαν ἀληθινὴν πανουργοῦντας.

ΙΔ. Ἐπὶ τούτοις δὲ θαυμασθεὶς, καὶ λαμπρὸς παρὰ τῶν ἐκεῖ πράξεων ἀνακομισθεὶς εἰς Πελοπόννησον, εὗρε τὸν μὲν Φίλιππον ὑπὸ τοῦ Τίτου καταπεπολεμημένον, τὸν δὲ Νάβιν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Ῥωμαίων πολεμούμενον. Ἐφ' ὃν εὐθὺς αἱρεθεὶς ἄρχων, καὶ ναυμαχίᾳ παραβαλόμενος, τὸ τοῦ Ἐπαμινώνδου παθεῖν ἔδοξε, πολὺ τῆς περὶ αὐτὸν ἀρετῆς καὶ τῆς δόξης ἀφαιρεθείς, ἐν τῇ θαλάσσῃ κάκιον ἀγωνισάμενος. Πλὴν Ἐπαμινώνδαν μὲν ἔνιοι λέγουσιν, ὀκνοῦντα γεῦσαι τῶν κατὰ θάλασσαν ὠφελειῶν τοὺς πολίτας, ὅπως αὐτῷ μὴ λάθωσιν ἀντὶ μονίμων ὁπλιτῶν, κατὰ Πλάτωνα, ναῦται γενόμενοι, καὶ διαφθαρέντες, ἄπρακτον ἐκ τῆς Ἀσίας καὶ τῶν νήσων ἀπελθεῖν ἑκουσίως. Φιλοποίμην δὲ τὴν ἐν τοῖς πεζοῖς ἐπιστήμην καὶ διὰ θαλάττης ἀρκέσειν αὐτῷ πρὸς τὸ καλῶς ἀγωνίσασθαι πεπεισμένος, ἔγνω τὴν ἄσκησιν, ἡλίκον μέρος ἐστὶ τῆς ἀρετῆς, καὶ πόσην ἐπὶ πάντα τοῖς ἐθισθεῖσι δύναμιν προστίθησιν. Οὐ γὰρ μόνον ἐν τῇ ναυμαχίᾳ διὰ τὴν ἀπειρίαν ἔλαττον ἔσχεν, ἀλλὰ καὶ ναῦν τινὰ, παλαιὰν μὲν, ἔνδοξον δὲ, δι' ἐτῶν τεσσαράκοντα κατασπάσας ἐπλήρωσεν· ὥστε μὴ σεγούσης, κινδυνεῦσαι τοὺς πολίτας. Πρὸς ταῦτα γινώσκων καταφρονοῦντας αὐτοῦ τοὺς πολεμίους, ὡς παντάπασι πεφευγότος ἐκ τῆς θαλάττης, καὶ πολιορκοῦντας ὑπερφάνως τὸ Γύθιον, εὐθὺς ἐπέπλευσεν αὐτοῖς, οὐ προσδοκῶσιν, ἀλλ' ἐκλελυμένοις διὰ τὴν νίκην. Καὶ νυκτὸς ἐκβιβάσας τοὺς στρατιώτας, καὶ προσαγαγὼν, πῦρ ἐνῆκε ταῖς σκηναῖς, καὶ τὸ στρατόπεδον κατ-

ἔκαυσε, καὶ πολλοὺς διέφθειρεν. Ὀλίγαις δ' ὕστερον ἡμέραις, καθ' ὁδὸν ἐν δυσχωρίαις τισὶν ἄφνω τοῦ Νάβιδος ἐπιφανέντος αὐτῷ, καὶ φοβήσαντος τοὺς Ἀχαιούς, ἀνέλπιστον ἡγουμένους τὴν σωτηρίαν ἐκ τόπων χαλεπῶν καὶ γεγονότων ὑποχειρίων τοῖς πολεμίοις, ὀλίγον χρόνον ἐπισχὰς, καὶ περιλαβὼν ὄψει τὴν τοῦ χωρίου φύσιν, ἐπέδειξε τὴν τακτικὴν τῶν ἄκρων τῆς πολεμικῆς τέχνης οὖσαν. Οὕτω μικρὰ κινήσας τὴν ἑαυτοῦ φάλαγγα, καὶ πρὸς τὰ παρόντα μεθαρμόσας, ἀθορύβως καὶ ῥᾳδίως διεκρούσατο τὴν ἀπορίαν, καὶ προσβαλὼν τοῖς πολεμίοις, τροπὴν ἰσχυρὰν ἐποίησεν. Ἐπεὶ δ' οὐ πρὸς τὴν πόλιν ἑώρα φεύγοντας, ἀλλὰ τῆς χώρας ἄλλον ἄλλῃ διασπειρόμενον (ὑλώδης δὲ καὶ περίβουνος ἦν πᾶσα καὶ δύσιππος ὑπὸ ῥείθρων καὶ φαράγγων), τὴν μὲν δίωξιν ἐπέσχε, καὶ κατεστρατοπέδευσεν ἔτι φωτὸς ὄντος. Τεκμαιρόμενος δὲ τοὺς πολεμίους ἐκ τῆς φυγῆς καθ' ἕνα καὶ δύο πρὸς τὴν πόλιν ὑπάξειν σκοταίους, ἐλλοχίζει τοῖς περὶ τὸ ἄστυ ῥείθροις καὶ λόφοις πολλοὺς ἔχοντας ἐγχειρίδια τῶν Ἀχαιῶν. Ἐνταῦθα πλείστους ἀποθανεῖν συνέβη τῶν τοῦ Νάβιδος· ἅτε γὰρ οὐκ ἀθρόαν ποιούμενοι τὴν ἀναχώρησιν, ἀλλ' ὡς ἑκάστοις αἱ φυγαὶ συνετύγχανον, ὥσπερ ὄρνιθες ἡλίσκοντο περὶ τὴν πόλιν, εἰς τὰς τῶν πολεμίων χεῖρας καταίροντες.

ΙΕ. Ἐπὶ τούτοις ἀγαπώμενος καὶ τιμώμενος ἐκπρεπῶς ὑπὸ τῶν Ἑλλήνων ἐν τοῖς θεάτροις, φιλότιμον ὄντα τὸν Τίτον ἡσυχῇ παρελύπει. Καὶ γὰρ, ὡς Ῥωμαίων ὕπατος, ἀνδρὸς Ἀρκάδος ἀξίου θαυμάζεσθαι μᾶλλον ὑπὸ τῶν Ἀχαιῶν· καὶ ταῖς εὐεργεσίαις ὑπερβάλλειν οὐ παρὰ μικρὸν ἡγεῖτο, δι' ἑνὸς κηρύγματος ἐλευθερώσας τὴν Ἑλλάδα, ὅση Φιλίππῳ καὶ Μακεδόσιν ἐδούλευσεν. Ἐκ δὲ τούτου καταλύεται μὲν ὁ Τίτος τῷ Νάβιδι τὸν πόλεμον, ἀποθνήσκει δὲ ὁ Νάβις ὑπ' Αἰτωλῶν, δολοφονηθείς. Τεταραγμένης δὲ τῆς Σπάρτης, ὁ Φιλοποίμην ἁρπάσας τὸν καιρὸν, ἐπιπίπτει μετὰ δυνάμεως· καὶ, τῶν μὲν ἀκόντων, τοὺς δὲ συμπείσας,

προσηγάγετο καὶ μετεκόσμησεν εἰς τοὺς Ἀχαιοὺς τὴν πόλιν. Οὗ γενομένου, θαυμαστῶς μὲν εὐδοκίμησε παρὰ τοῖς Ἀχαιοῖς, προσκτησάμενος αὐτοῖς ἀξίωμα πόλεως τηλικαύτης καὶ δύναμιν (οὐ γὰρ ἦν μικρὸν, Ἀχαΐας μέρος γενέσθαι τὴν Σπάρτην)· ἀνέλαβε δὲ καὶ Λακεδαιμονίων τοὺς ἀρίστους, φύλακα τῆς ἐλευθερίας ἐκεῖνον ἐλπίσαντας ἕξειν. Διὸ καὶ τὴν Νάβιδος οἰκίαν καὶ οὐσίαν ἐξαργυρισθεῖσαν, καὶ γενομένην εἴκοσι καὶ ἑκατὸν ταλάντων, ἐψηφίσαντο δωρεὰν αὐτῷ δοῦναι, πρεσβείαν ὑπὲρ τούτων πέμψαντες. Ἔνθα δὴ καὶ διεφάνη καθαρῶς ἐκεῖνος ὁ ἀνὴρ, οὐ δοκῶν μόνον, ἀλλὰ καὶ ὢν ἄριστος. Πρῶτον μὲν γὰρ οὐδεὶς ἐβούλετο τῶν Σπαρτιατῶν ἀνδρὶ τοιούτῳ διαλέγεσθαι περὶ δωροδοκίας, ἀλλὰ δεδοικότες καὶ ἀναδυόμενοι, προεβάλοντο τὸν ξένον αὐτοῦ, Τιμόλαον. Ἔπειτα δ' αὐτὸς ὁ Τιμόλαος, ὡς ἦλθεν εἰς Μεγάλην πόλιν, ἑστιαθεὶς παρὰ τῷ Φιλοποίμενι, καὶ τὴν σεμνότητα τῆς ὁμιλίας αὐτοῦ, καὶ τὴν ἀρέλειαν τῆς διαίτης, καὶ τὸ ἦθος ἐγγύθεν, οὐδαμῇ προσιτὸν, οὐδὲ εὐάλωτον ὑπὸ χρημάτων, κατανοήσας, ἀπεσιώπησε περὶ τῆς δωρεᾶς· ἑτέραν δέ τινα πρόφασιν τῆς πρὸς αὐτὸν ὁδοῦ ποιησάμενος, ᾤχετο ἀπιών· καὶ πάλιν ἐκ δευτέρου πεμφθεὶς ταὐτὸν ἔπαθε. Τρίτῃ δ' ὁδῷ μόλις ἐντυχὼν, ἐδήλωσε τὴν προθυμίαν τῆς πόλεως. Ὁ δὲ Φιλοποίμην ἡδέως ἀκούσας, ἦκεν αὐτὸς εἰς Λακεδαίμονα, καὶ συνεβούλευσεν αὐτοῖς μὴ τοὺς φίλους καὶ ἀγαθοὺς δεκάζειν, ὧν προῖκα τῆς ἀρετῆς ἕξεσιν ἀπολαύειν, ἀλλὰ τοὺς πονηροὺς καὶ τὴν πόλιν ἐν τῷ συνεδρίῳ καταγασιάζοντας ὠνεῖσθαι καὶ διαφθείρειν· ἵνα τῷ λαβεῖν ἐπισομισθέντες, ἧττον ἐνοχλοῖεν αὐτοῖς. Βέλτιον γὰρ εἶναι τῶν ἐχθρῶν παραιρεῖσθαι τὴν παῤῥησίαν, ἢ τῶν φίλων. Οὕτω μὲν ἦν πρὸς χρήματα λαμπρός.

Ις. Ἐπεὶ δὲ πάλιν τοὺς Λακεδαιμονίους νεωτερίζειν ἀκούσας ὁ στρατηγὸς τῶν Ἀχαιῶν, Διοφάνης, ἐβούλετο κολάζειν, οἱ δ', εἰς πόλεμον καθιστάμενοι, διετάρασσον τὴν Πελοπόννησον, ἐπει-

ρᾶτο πραΰνειν καὶ καταπαύειν τὸν Διοφάνη τῆς ὀργῆς ὁ Φιλοποίμην· διδάσκων τὸν καιρὸν, ὡς Ἀντιόχου τοῦ βασιλέως, καὶ Ῥωμαίων ἐν τῇ Ἑλλάδι τηλικούτοις αἰωρουμένων στρατοπέδοις, ἐκεῖσε χρὴ τὸν ἄρχοντα τὴν γνώμην ἔχειν, τὰ δ' οἰκεῖα μὴ κινεῖν, ἀλλὰ καὶ παριδεῖν τι καὶ παρακοῦσαι τῶν ἁμαρτανομένων. Οὐ προσέχοντος δὲ τοῦ Διοφάνους, ἀλλ' εἰς τὴν Λακωνικὴν ἐμβαλόντος ἅμα τῷ Τίτῳ, καὶ βαδιζόντων εὐθὺς ἐπὶ τὴν πόλιν, ἀγανακτήσας ὁ Φιλοποίμην, ἔργον οὐ νόμιμον, οὐδ' ἀπηκριβωμένον ἐκ τῶν δικαίων, ἀλλὰ μέγα καὶ μεγάλῳ φρονήματι τολμήσας, εἰς τὴν Λακεδαίμονα παρῆλθε· καὶ τόν τε στρατηγὸν τῶν Ἀχαιῶν, καὶ τὸν ὕπατον τῶν Ῥωμαίων, ἰδιώτης ὢν ἀπέκλεισε, τὰς δ' ἐν τῇ πόλει ταραχὰς ἔπαυσε, καὶ κατέστησε τοὺς Λακεδαιμονίους πάλιν εἰς τὸ κοινὸν, ὥσπερ ἐξ ἀρχῆς ἦσαν. Χρόνῳ δ' ὕστερον ἐγκαλέσας τι τοῖς Λακεδαιμονίοις στρατηγῶν ὁ Φιλοποίμην, τοὺς μὲν φυγάδας κατήγαγεν εἰς τὴν πόλιν, ὑγδοήκοντα δὲ Σπαρτιάτας ἀπέκτεινεν, ὡς Πολύβιος φησίν· ὡς δ' Ἀριστοκράτης, πεντήκοντα καὶ τριακοσίους. Τὰ δὲ τείχη καθεῖλε, χώραν δὲ πολλὴν ἀποτεμόμενος, προσένειμε τοῖς Μεγαλοπολίταις. Ὅσοι δ' ἦσαν ὑπὸ τῶν τυράννων ἀποδεδειγμένοι πολῖται τῆς Σπάρτης, μετῴκισεν ἅπαντας, ἀπάγων εἰς Ἀχαΐαν, πλὴν τρισχιλίων. Τούτους δὲ ἀπειθοῦντας, καὶ μὴ βουλομένους ἀπελθεῖν ἐκ τῆς Λακεδαίμονος, ἐπώλησεν· εἶθ' οἷον ἐφυβρίζων, ἀπὸ τῶν χρημάτων τούτων ἐν Μεγαλοπόλει στοὰν ᾠκοδόμησεν. Ἐμπιπλάμενος δὲ τῶν Λακεδαιμονίων, καὶ παρ' ἀξίαν πεπραχόσιν ἐπεμβαίνων, τὸ περὶ τὴν πολιτείαν ἔργον ὠμότατον ἐξειργάσατο καὶ παρανομώτατον. Ἀνεῖλε γὰρ καὶ διέφθειρε τὴν Λυκούργειον ἀγωγὴν, ἀναγκάσας τοὺς παῖδας καὶ τοὺς ἐφήβους τὴν Ἀχαϊκὴν ἀντὶ τῆς πατρίου παιδείαν μεταλαβεῖν, ὡς οὐδέποτε μικρὸν ἐν τοῖς Λυκούργου νόμοις φρονήσοντας. Τότε μὲν οὖν ὑπὸ συμφορῶν μεγάλων, ὥσπερ νεῦρα τῆς πόλεως ἐκτεμεῖν τῷ Φιλοποίμενι παράσχοντες,

ἐγένοντο χειροήθεις καὶ ταπεινοί· χρόνῳ δ' ὕστερον αἰτησάμενοι παρὰ Ῥωμαίων, τὴν μὲν Ἀχαϊκὴν ἔφυγον πολιτείαν, ἀνέλαβον δὲ καὶ κατεσήσαντο τὴν πάτριον, ὡς ἦν ἀνυσὸν, ἐκ κακῶν καὶ φθορᾶς τηλικαύτης.

ΙΖ. Ἐπεὶ δὲ Ῥωμαίοις ὁ πρὸς Ἀντίοχον ἐν τῇ Ἑλλάδι συνέστη πόλεμος, ἦν μὲν ἰδιώτης ὁ Φιλοποίμην· ὁρῶν δὲ τὸν Ἀντίοχον αὐτὸν ἐν Χαλκίδι καθήμενον, περὶ γάμων καὶ παρθένων ἔρωτας οὐ καθ' ὥραν σχολάζοντα, τοὺς δὲ Σύρους ἐν ἀταξίᾳ πολλῇ καὶ χωρὶς ἡγεμόνων ἐν ταῖς πόλεσι πλαζομένους καὶ τρυφῶντας, ἤχθετο μὴ στρατηγῶν τότε τῶν Ἀχαιῶν, καὶ Ῥωμαίοις ἔλεγε φθονεῖν τῆς νίκης. Ἐγὼ γὰρ ἂν, ἔφη, στρατηγῶν, ἐν τοῖς καπηλείοις κατέκοψα τούτους πάντας. Ἐπεὶ δὲ νικήσαντες οἱ Ῥωμαῖοι τὸν Ἀντίοχον, ἐνεφύοντο τοῖς Ἑλληνικοῖς μᾶλλον ἤδη, καὶ περιεβάλλοντο τῇ δυνάμει τοὺς Ἀχαιοὺς, ὑποκατακλινομένων αὐτοῖς τῶν δημαγωγῶν· ἡ δ' ἰσχὺς ἐπὶ πάντα πολλὴ μετὰ τοῦ δαίμονος ἐχώρει, καὶ τὸ τέλος ἐγγὺς ἦν, εἰς ὃ τὴν τύχην ἔδει περιφερομένην ἐξικέσθαι· καθάπερ ἀγαθὸς κυβερνήτης πρὸς κῦμα διερειδόμενος ὁ Φιλοποίμην, τὰ μὲν ἐνδιδόναι καὶ παρείκειν ἠναγκάζετο τοῖς καιροῖς, περὶ δὲ τῶν πλείστων διαφερόμενος, τοὺς τῷ λέγειν καὶ πράττειν ἰσχύοντας ἀντισπᾶν ἐπειρᾶτο πρὸς τὴν ἐλευθερίαν. Ἀριστοαινέτου δὲ, τοῦ Μεγαλοπολίτου, δυναμένου μὲν ἐν τοῖς Ἀχαιοῖς μέγα, τοὺς δὲ Ῥωμαίους ἀεὶ θεραπεύοντος, καὶ τοὺς Ἀχαιοὺς μὴ οἰομένου δεῖν ἐναντιοῦσθαι, μηδ' ἀχαριστεῖν ἐκείνοις ἐν τῷ συνεδρίῳ, λέγεται τὸν Φιλοποίμενα σιωπᾷν ἀκούοντα, καὶ βαρέως φέρειν· τέλος δὲ ὑπ' ὀργῆς δυσανασχετοῦντα πρὸς τὸν Ἀριστοαίνετον εἰπεῖν· « Ὦ ἄνθρωπε, τί σπεύδεις τὴν πεπρωμένην τῆς Ἑλλάδος ἐπιδεῖν; » Μανίου δὲ, τοῦ Ῥωμαίων ὑπάτου, νενικηκότος μὲν Ἀντίοχον, αἰτουμένου δὲ παρὰ τῶν Ἀχαιῶν, ὅπως ἐάσωσι τοὺς Λακεδαιμονίων φυγάδας κατελθεῖν, καὶ Τίτου ταὐτὰ τῷ Μανίῳ περὶ τῶν φυγάδων ἀξιοῦντος, διεκώλυσεν ὁ Φιλοποίμην,

οὐ τοῖς φυγάσι πολεμῶν, ἀλλὰ βουλόμενος δι' αὐτοῦ καὶ τῶν Ἀχαιῶν, ἀλλὰ μὴ Τίτου, μηδὲ Ῥωμαίων χάριτι, τοῦτο πραχθῆναι· καὶ στρατηγῶν εἰς τοὔπιον, αὐτὸς κατήγαγε τοὺς φυγάδας. Οὕτως εἶχέ τι πρὸς τὰς ἐξουσίας ὑπὸ φρονήματος δύσερι καὶ φιλόνεικον.

ΙΗ. Ἤδη δὲ γεγονὼς ἔτος ἑβδομηκοστὸν, ὄγδοον δὲ τῶν Ἀχαιῶν στρατηγῶν, ἤλπιζεν οὐ μόνον ἐκείνην τὴν ἀρχὴν ἀπολέμως διάξειν, ἀλλὰ καὶ τοῦ βίου τὸ λοιπὸν αὐτῷ μεθ' ἡσυχίας καταβιῶναι τὰ πράγματα παρέξειν. Ὡς γὰρ αἱ νόσοι ταῖς τῶν σωμάτων ῥώμαις συναπομαραίνεσθαι δοκοῦσιν, οὕτως ἐν ταῖς Ἑλληνικαῖς πόλεσιν ἐπιλιπούσης τῆς δυνάμεως, ἔληγε τὸ φιλόνεικον. Οὐ μὴν ἀλλὰ Νέμεσίς τις, ὥσπερ ἀθλητὴν εὐδρομοῦντα, πρὸς τέρμασι τοῦ βίου κατέβαλε. Λέγεται γὰρ, ἔν τινι συλλόγῳ τῶν παρόντων ἐπαινούντων ἄνδρα, δεινὸν εἶναι δοκοῦντα περὶ στρατηγίαν, εἰπεῖν τὸν Φιλοποίμενα· « Καὶ πῶς ἄξιον ἐκείνου λόγον ἔχειν τοῦ ἀνδρὸς, ὅς γε ἥλω ζῶν ὑπὸ τῶν πολεμίων; » Μεθ' ἡμέρας δ' ὀλίγας Δεινοκράτης ὁ Μεσσήνιος, ἄνθρωπος ἰδίᾳ τε τῷ Φιλοποίμενι προσκεκρουκὼς, καὶ τοῖς ἄλλοις ἐπαχθὴς διὰ πονηρίαν καὶ ἀκολασίαν, τήν τε Μεσσήνην ἀπέστησε τῶν Ἀχαιῶν, καὶ κώμην τὴν καλουμένην Κολωνίδα προσηγγέλθη μέλλων καταλαμβάνειν. Ὁ δὲ Φιλοποίμην ἔτυχε μὲν ἐν Ἄργει πυρέσσων· πυθόμενος δὲ ταῦτα συνέτεινεν εἰς Μεγάλην πόλιν, ἡμέρᾳ μιᾷ σαδίους πλείονας, ἢ τετρακοσίους. Κἀκεῖθεν εὐθὺς ἐβοήθει, τοὺς ἱππεῖς ἀναλαβὼν, οἵπερ ἦσαν ἐνδοξότατοι μὲν τῶν πολιτῶν, νέοι δὲ κομιδῇ, δι' εὔνοιαν τοῦ Φιλοποίμενος καὶ ζῆλον ἐθελοντὶ συστρατεύοντες. Ἱππασάμενοι δὲ πρὸς τὴν Μεσσήνην, καὶ περὶ τὸν Εὐάνδρου λόφον ἀπαντῶντι τῷ Δεινοκράτει συμπεσόντες, ἐκεῖνον μὲν ἐτρέψαντο· τῶν δὲ πεντακοσίων, οἳ τὴν χώραν τῶν Μεσσηνίων παρεφύλαττον, ἐξαίφνης ἐπιφερομένων, καὶ τῶν πρότερον ἡττημένων, ὡς τούτους κατεῖδον, αὖθις ἀνὰ τοὺς

λόφους ἀθροιζομένων, δείσας ὁ Φιλοποίμην κυκλωθῆναι, καὶ τῶν ἱππέων φειδόμενος, ἀνεχώρει διὰ τόπων χαλεπῶν, αὐτὸς οὐραγῶν, καὶ πολλάκις ἀντεξελαύνων τοῖς πολεμίοις, καὶ ὅλως ἐπισπώμενος ἐφ' ἑαυτὸν, οὐ τολμώντων ἀντεμβαλεῖν ἐκείνων, ἀλλὰ κραυγαῖς καὶ περιδρομαῖς χρωμένων ἄπωθεν. Ἀφισάμενος οὖν πολλάκις διὰ τοὺς νεανίσκους, καὶ καθ' ἕνα παραπέμπων, ἔλαθεν ἐν πολλοῖς ἀπομονωθεὶς πολεμίοις. Καὶ συνάψαι μὲν εἰς χεῖρας οὐδεὶς ἐτόλμησεν αὐτῷ, πόρρωθεν δὲ βαλλόμενος καὶ βιαζόμενος πρὸς χωρία πετρώδη καὶ παράκρημνα, χαλεπῶς μετεχειρίζετο καὶ κατέξαινε τὸν ἵππον. Αὐτῷ δὲ τὸ μὲν γῆρας ὑπ' ἀσκήσεως πολλῆς ἐλαφρὸν ἦν, καὶ πρὸς οὐδὲν ἐμπόδιον εἰς τὸ σωθῆναι· τότε δὲ, καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος ἐνδεοῦς γεγονότος, καὶ διὰ τὴν ὁδοιπορίαν κατακόπου, βαρὺν ὄντα καὶ δυσκίνητον ἤδη, σφαλεὶς ὁ ἵππος εἰς τὴν γῆν κατέβαλεν. Σκληροῦ δὲ τοῦ πτώματος γενομένου, καὶ τῆς κεφαλῆς παθούσης, ἔκειτο πολὺν χρόνον ἄναυδος· ὥσε καὶ τοὺς πολεμίους τεθνᾶναι δόξαντας αὐτὸν, ἐπιχειρεῖν σρέφειν τὸ σῶμα καὶ σκυλεύειν. Ἐπεὶ δὲ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν, ἀθρόοι περιπεσόντες ἀπέσρεφον αὐτοῦ τὰς χεῖρας ὀπίσω, καὶ δήσαντες ἦγον, ὕβρει χρώμενοι πολλῇ καὶ λοιδορίᾳ κατ' ἀνδρὸς, οὐδ' ὄναρ ἄνποτε παθεῖν ὑπὸ Δεινοκράτους ταῦτα προσδοκήσαντος.

ΙΘ. Οἱ δ' ἐν τῇ πόλει, τῇ μὲν ἀγγελίᾳ θαυμασῶς ἐπαρθέντες, ἠθροίζοντο περὶ τὰς πύλας. Ὡς δ' εἶδον ἐλκόμενον τὸν Φιλοποίμενα παρ' ἀξίαν τῆς τε δόξης καὶ τῶν ἔμπροσθεν ἔργων καὶ τροπαίων, ἠλέησαν οἱ πλεῖσοι καὶ συνήλγησαν· ὥσε καὶ δακρύσαι, καὶ τὴν ἀνθρωπίνην ἐκφλαυρίσαι δύναμιν, ὡς ἄπισον καὶ τὸ μηδὲν οὖσαν. Οὕτω δὲ κατὰ μικρὸν εἰς πολλοὺς φιλάνθρωπος ἐχώρει λόγος, ὡς μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν, καὶ τῆς ἐλευθερίας, ἣν ἀπέδωκεν αὐτοῖς, Νάβιν ἐξελάσας τὸν τύραννον. Ὀλίγοι δ' ἦσαν οἳ, τῷ Δεινοκράτει χαριζόμενοι, σρε-

βλοῦν τὸν ἄνδρα καὶ κτείνειν ἐκέλευον, ὡς βαρὺν πολέμιον καὶ δυσμείλικτον, αὐτῷ τε Δεινοκράτει φοβερώτερον, εἰ διαφύγοι καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. Οὐ μὴν ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον Θησαυρὸν, οἴκημα κατάγειον, οὔτε πνεῦμα λαμβάνον, οὔτε φῶς ἔξωθεν, οὔτε θύρας ἔχον, ἀλλὰ μεγάλῳ λίθῳ περιαγομένῳ κατακλειόμενον, ἐνταῦθα κατέθεντο, καὶ τὸν λίθον ἐπιῤῥάξαντες, ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. Οἱ δ' ἱππεῖς τῶν Ἀχαιῶν, ἐκ τῆς φυγῆς ἀναλαβόντες αὐτοὺς, ὡς οὐδαμοῦ φανερὸς ἦν ὁ Φιλοποίμην, ἀλλ' ἐδόκει τεθνᾶναι, πολὺν μὲν χρόνον ἐπέστησαν ἀνακαλούμενοι τὸν ἄνδρα, καὶ διαδιδόντες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σώζονται, προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα τοῦ ζῆν δι' αὐτούς· ἔπειτα προϊόντες ἅμα, καὶ πολυπραγμονοῦντες, ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ, καὶ διήγγελλον εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. Οἱ δὲ συμφορὰν ποιούμενοι μεγάλην, ἀπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα παρὰ τῶν Μεσσηνίων, πρεσβείαν πέμψαντες, αὐτοὶ δὲ παρεσκευάζοντο στρατεύειν.

Κ. Οὗτοι μὲν οὖν ταῦτ' ἔπραττον. Ὁ δὲ Δεινοκράτης, μάλιστα τὸν χρόνον ὡς σωτήριον τῷ Φιλοποίμενι δεδοικὼς, καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ νὺξ ἐπῆλθε, καὶ τὸ πλῆθος ἀπεχώρησε τῶν Μεσσηνίων, ἀνοίξας τὸ δεσμωτήριον, εἰσέπεμψε δημόσιον οἰκέτην, φάρμακον κομίζοντα, προσενεγκεῖν, καὶ παρασῆναι, μέχρις ἂν ἐκπίῃ, κελεύσας. Ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος· ἰδὼν δὲ φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον, ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας, ἀνεκάθισε. Καὶ δεξάμενος, ἠρώτησεν, εἴ τι περὶ τῶν ἱππέων, καὶ μάλιστα Λυκόρτα, πεπυσμένος ἐστίν. Εἰπόντος δὲ τἀνθρώπου, διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ κεφαλῇ, καὶ διαβλέψας πρᾴως πρὸς τὸν ἄν-

θρωπον· Εὖ λέγεις, εἶπεν, εἰ μὴ πάντα κακῶς πεπράχαμεν. Ἄλλο δὲ μηδὲν εἰπὼν, μηδὲ φθεγξάμενος, ἐξέπιε· καὶ πάλιν αὐτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχών, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν.

ΚΛ. Ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἦκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν· οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἡντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρις οὗ συμφρονήσαντες ἐδέξαντο τοὺς Ἀχαιούς. Καὶ Δεινοκράτης μὲν αὐτὸς αὑτὸν φθάσας διεχρήσατο· τῶν δ' ἄλλων, ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὐτῶν ἀπέθνησκον, ὅσοις δὲ καὶ βασανίσαι, τούτους ἐν αἰτίαις ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως, οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. Ἦν μὲν γὰρ ἐσεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας· ἦν δὲ τοὺς ἐχθροὺς, δεσμίους ἀγομένους. Αὐτὴν δὲ τὴν ὑδρίαν, ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην, ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς, Πολύβιος, καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. Οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶντες. Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἁπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν, ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβλῆσθαι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. Ἐτάφη

μὲν οὖν, ὡς εἰκός, ἐνδόξως, καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. Λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος· ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον· ὀρθῶς καὶ προσηκόντως, τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
• ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΠΛΟΥΤ. Τ. ΚΟΙΝΤ. ΦΛΑΜΙΝ.

Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμινῖνος, ἰδέαν μὲν ὑποῖος ἦν, πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος, ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη. Τὸ δ' ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. Οὐ μὴν ὁμοίως· ἀλλ' ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργός· καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους, καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. Φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὢν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι, καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον, ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε· Τίτος δὲ τῆς περὶ Τάραντα χώρας, καὶ Τάραντος αὐτοῦ, τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κῶνσαν, ἄρχων ἡρέθη καὶ οἰκιστής.

Β. Τοῦτο δ' αὐτὸν ἐπῆρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγο-

ρανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατήει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισαμένων, καὶ δεινὸν εἶναι λεγόντων, ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις, οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν σῶμα μὲν εἰς μάχην ἀποχρῶν, ἡ Μακεδόνων ἀρχή, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος, καὶ χορηγία, καὶ καταφυγή, καὶ ὄργανον ὅλως τῆς φάλαγγος, ἡ τῶν Ἑλλήνων δύναμις· ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. Ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον, ἢ πολέμῳ, χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης, καὶ πραότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

Γ. Πυνθανόμενος δ' ὁ Τίτος, τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρίφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις, ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς *ἐν τιμαῖς καὶ πολιτείαις* ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ,

ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣΙ ΑΥΤΟΚΡ. ΒΙΒΛΙΟΘΗΚΗΣ

ΛΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας· ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν· αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ, Λεύκιον, ἄρχοντα νεῶν συστρατεύειν, καὶ τῶν μετὰ Σκιπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δ' Ἀννίβαν αὐτὸν καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβών, ὥσπερ σῶμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασε. Καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι, πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. Εἰσὶ δ' ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη· κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης, καὶ διατριβῶν, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσι. Ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦται πρὸς τὸν Πηνειόν· τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπόν, οὐδὲ ἄλλως ῥᾴδιαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

Δ. Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύγκον εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. Ὁ δὲ δεδοικὼς, μὴ πόρρω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος, ἀπορήσῃ σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. Ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ

τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο, καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ τῶν ἄκρων. Γνώσην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτήν, Χάροπα τὸν Μαχάτα, πρωτεύοντα μὲν Ἠπειρωτῶν, εὔνουν δὲ Ῥωμαίοις ὄντα, καὶ κρύφα φόβῳ τοῦ Φιλίππου συναγωνιζόμενον. ᾧ πιστεύσας ὁ Τίτος, ἐκπέμπει χιλίαρχον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακοσίους. Ἡγοῦντο δ' οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι, καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὧδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. Καὶ γὰρ ἦν διχόμηνος. Ὁ δὲ Τίτος τούτους ἀποστείλας, τὰς μὲν ἄλλας ἡμέρας διανέπαυε τὸν στρατὸν, ὅσα μὴ περισπᾶν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους. Καθ' ἣν δ' ἔμελλον ὑπερφανήσεσθαι τῶν ἄκρων οἱ περιιόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· καὶ τριχῇ νείμας τὴν δύναμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον ὀρθίας ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων, καὶ συμπλεκόμενος τοῖς ἀπαντῶσι περὶ τὰς δυσχωρίας. Τῶν δ' ἄλλων ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι, καὶ ταῖς τραχύτησιν ἐμφυομένων προθύμως, ὅ τε ἥλιος ἀνέσχε, καὶ καπνὸς οὐ βέβαιος, ἀλλ' οἷον ὄρειος ὁμίχλη, πόρρωθεν ἀνατέλλων καὶ διαφαινόμενος, τοὺς μὲν πολεμίους ἐλάνθανε· κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων. Οἱ δὲ Ῥωμαῖοι δόξαν ἔσχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ, τὴν ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. Ἐπεὶ δὲ μᾶλλον αὐξανόμενος, καὶ διαμελαίνων τὸν ἀέρα, καὶ πολὺς ἄνω χωρῶν, ἐδηλοῦτο πυρσὸς εἶναι φίλιος, οἱ μὲν ἀλαλάξαντες ἐπέβαινον ῥωμένως, καὶ συνέσελλον εἰς τὰ τραχύτατα τοὺς πολεμίους, οἱ δ' ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν.

Ε.

Ε. Φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων, ἔπεσον δὲ δισχιλίων οὐ πλείους· ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δίωξιν. Χρήματα δὲ καὶ σκηνὰς καὶ θεράποντας οἱ Ῥωμαῖοι διαρπάσαντες, ἐκράτουν τῶν ςενῶν, καὶ διώδευον τὴν Ἤπειρον οὕτω κοσμίως καὶ μετ' ἐγκρατείας τοσαύτης, ὥςε τῶν πλοίων καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς, καὶ τὸν ἐπιμήνιον σῖτον μὴ μεμετρημένους, οὐδ' εὐπορουῦντας ἀγορᾶς, ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφεῖς ὠφελείας ἐχούσης. Ὁ γὰρ Τίτος πυνθανόμενος τὸν Φίλιππον, ὡς ὅμοια φεύγοντι τὴν Θετταλίαν διερχόμενος, τοὺς μὲν ἀνθρώπους ἐκ τῶν πόλεων ἀνίςησιν εἰς τὰ ὄρη, τὰς δὲ πόλεις καταπίμπρησι, τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος, ἢ βάρος, ἁρπαγὴν προτίθεται, τρόπον τινὰ τῆς χώρας ἐξισάμενος ἤδη Ῥωμαίοις, ἐφιλοτιμεῖτο, καὶ παρεκάλει τοὺς στρατιώτας, ὥσπερ οἰκείας καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. Καὶ μέντοι καὶ παρεῖχεν αὐτοῖς τὰ γινόμενα τῆς εὐταξίας αἴσθησιν εὐθύς. Προσεχώρουν μὲν γὰρ αἱ πόλεις ἁψαμένοις Θετταλίας, οἱ δ' ἐντὸς πυλῶν Ἕλληνες ἐπόθουν καὶ διεπτύηντο ταῖς ὁρμαῖς πρὸς τὸν Τίτον. Ἀχαιοὶ δὲ τὴν Φιλίππου συμμαχίαν ἀπειπάμενοι, πολεμεῖν ἐψηφίσαντο μετὰ Ῥωμαίων πρὸς αὐτόν. Ὁπούντιοι δὲ, καίπερ Αἰτωλῶν τότε Ῥωμαίοις συναγωνιζομένων προθυμότατα, καὶ τὴν πόλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προσέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν Τίτον, ἐκείνῳ διεπίςευσαν ἑαυτοὺς καὶ παρέδωκαν. Πύῤῥον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατεῖδε τὸ στράτευμα τῶν Ῥωμαίων διακεκοσμημένον, εἰπεῖν, οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν· οἱ δὲ Τίτῳ πρῶτον ἐντυγχάνοντες ἠναγκάζοντο παραπλησίας ἀφιέναι φωνάς. Ἀκούοντες γὰρ τῶν Μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι, δι' ὅπλων πάντα κατασρεφόμενος καὶ δουλούμενος, εἶτ' ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ, καὶ τὴν ὄψιν φιλανθρώπῳ, φωνήν τε

καὶ διάλεκτον Ἑλληνι, καὶ τιμῆς ἀληθοῦς ἐρασῇ, θαυμασιως ἐκηλοῦντο, καὶ τὰς πόλεις ἀπιόντες ἐνεπίμπλασαν εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. Ἐπεὶ δὲ καὶ Φιλίππῳ, δοκοῦντι συμβατικῶς ἔχειν, εἰς ταὐτὸν ἐλθὼν, προὔτεινεν εἰρήνην καὶ φιλίαν, ἐπὶ τῷ τοὺς Ἕλληνας αὐτονόμους ἐᾶν, καὶ τὰς ῥουρὰς ἀπαλλάττειν, ὁ δὲ οὐκ ἐδέξατο· παντάπασι δὴ τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ Φιλίππου παρέσχη, Ῥωμαίους πολεμήσοντας ἥκειν, οὐχ Ἕλλησιν, ἀλλ' ὑπὲρ Ἑλλήνων Μακεδόσι.

ς. Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ' ἡσυχίαν αὐτῷ· τὴν δὲ Βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ Θηβαίων ἀπήντησαν οἱ πρῶτοι, φρονοῦντες μὲν τὰ τοῦ Μακεδόνος διὰ Βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν Τίτον, ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. Ὁ δ', ἐντυχὼν αὐτοῖς φιλανθρώπως καὶ δεξιωσάμενος, προῆγεν ἡσυχῇ καθ' ὁδὸν, τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος, τὰ δὲ διηγούμενος, καὶ παράγων ἐπίτηδες, ἄχρι [τοῦ] τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. Οὕτω δὲ προάγων, συνεισῆλθε τοῖς Θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν· ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἵποντο. Καὶ μέντοι παρελθὼν ὁ Τίτος, ὡς οὐκ ἔχων τὴν πόλιν, ἔπειθεν ἑλέσθαι τὰ Ῥωμαίων, Ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ, καὶ συνεξορμῶντος τοὺς Θηβαίους. Ἀλλ' Ἄτταλος μὲν, ὡς ἔοικε, τοῦ γήρως προθυμότερον ἑαυτὸν τῷ Τίτῳ ῥήτορα παρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν προσπεσόντος ἰλίγγου τινὸς, ἢ ῥεύματος, ἄφνω τὴν αἴσθησιν ἐπιληφθεὶς ἔπεσε, καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν εἰς Ἀσίαν ἀποκομισθεὶς ἐτελεύτησεν· οἱ δὲ Βοιωτοὶ προσεχώρησαν τοῖς Ῥωμαίοις.

Ζ. Φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς Ῥώμην, ἀπέστειλε καὶ ὁ Τίτος παρ' αὐτοῦ τοὺς πράξοντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ, τοῦ πολέμου μένοντος· εἰ δὲ μὴ, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι. Φιλότιμος γὰρ ὢν ἰσχυρῶς, ἐδε-

δίει, πεμφθέντος ἐπὶ τὸν πόλεμον ἑτέρου στρατηγοῦ, τὴν δόξαν ἀφαιρεθῆναι. Διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ, μήτε τὸν Φίλιππον, ὃν ἔχρῃζε, τυχεῖν, καὶ τοῦ πολέμου τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δόγμα, καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς, εὐθὺς εἰς Θετταλίαν ἐπὶ τὸν Φιλίππου πόλεμον ὥρμησεν, ὑπὲρ ἑξακισχιλίους καὶ δισμυρίους ἔχων στρατιώτας, ὧν Αἰτωλοὶ πεζοὺς ἑξακισχιλίους καὶ ἱππεῖς τετρακοσίους παρεῖχον. Ἦν δὲ καὶ τοῦ Φιλίππου τὸ στράτευμα τῷ πλήθει παραπλήσιον. Ἐπεὶ δὲ βαδίζοντες ἐπ' ἀλλήλους, καὶ γενόμενοι περὶ τὴν Σκοτοῦσσαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλον, οὐχ, ὅπερ εἰκὸς ἦν, πρὸς δέους ἔλαβον οἱ στρατηγοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπληροῦντο· Ῥωμαῖοι μὲν, εἰ Μακεδόνων κρατήσουσιν, ὧν ὄνομα δι' Ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖστον ἦν παρ' αὐτοῖς· Μακεδόνες δὲ Ῥωμαίους Περσῶν ἡγούμενοι διαφέρειν, ἤλπιζον, εἰ περιγένοιντο, λαμπρότερον ἀποδείξειν Ἀλεξάνδρου Φίλιππον. Ὁ μὲν οὖν Τίτος παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ προθύμους, ὡς ἐν τῷ καλλίστῳ θεάτρῳ, τῇ Ἑλλάδι, μέλλοντας ἀγωνίζεσθαι πρὸς τοὺς ἀρίστους τῶν ἀνταγωνιστῶν. Ὁ δὲ Φίλιππος, εἴτε ὑπὸ τύχης, εἴτε ὑπὸ σπουδῆς παρὰ τὸν καιρὸν ἀγνοήσας, ἦν γάρ τι πολυάνδριον ὑψηλὸν ἔξω τοῦ χάρακος, ἐπὶ τοῦτο προβὰς, ἤρξατο μὲν, οἷα πρὸ μάχης φιλεῖ, διαλέγεσθαι, καὶ παρορμᾶν· ἀθυμίας δὲ δεινῆς πρὸς τὸν οἰωνὸν ἐμπεσούσης, διαταραχθεὶς ἐπέσχε τὴν ἡμέραν ἐκείνην.

Η. Τῇ δ' ὑστεραίᾳ περὶ τὸν ὄρθρον, ἐκ μαλακῆς καὶ νοτίου νυκτὸς, εἰς ὁμίχλην τῶν νεφῶν τρεπομένων, ἀνεπίμπλατο ζόφου βαθέος πᾶν τὸ πεδίον, καὶ κατῄει παχὺς ἐκ τῶν ἄκρων ἀὴρ εἰς τὸ μεταξὺ τῶν στρατοπέδων, εὐθὺς ἀρχομένης ἡμέρας ἀποκρύπτων τοὺς τόπους. Οἱ δ' ὑπ' ἀμφοτέρων ἀποσταλέντες ἐφεδρίας ἕνεκα καὶ κατασκοπῆς, ἐν πάνυ βραχεῖ περιπεσόντες ἀλλήλοις,

ἐμάχοντο περὶ τὰς καλουμένας Κυνὸς κεφαλὰς, αἳ λόφων οὖσαι πυκνῶν καὶ παραλλήλων ἄκραι λεπταὶ, δι' ὁμοιότητα τοῦ σχήματος οὕτως ὠνομάσθησαν. Γενομένων δ', οἷον εἰκὸς ἐν τόποις σκληροῖς, μεταβολῶν κατὰ τὰς φυγὰς καὶ διώξεις, ἑκάτεροι τοῖς πονοῦσιν ἀεὶ καὶ ὑποχωροῦσιν ἐπιπέμποντες βοήθειαν ἐκ τῶν στρατοπέδων, καὶ ἤδη τοῦ ἀέρος ἀνακαθαιρομένου, καθορῶντες τὰ γινόμενα, πανστρατιᾷ συνέβαλον. Τῷ μὲν οὖν δεξιῷ περιῆν ὁ Φίλιππος, ἐκ τόπων ἐπιφόρων ὅλην ἐπερείσας τὴν φάλαγγα τοῖς Ῥωμαίοις, τὸ βάρος τοῦ συνασπισμοῦ, καὶ τὴν τραχύτητα τῆς προσβολῆς τῶν σαρισσῶν οὐχ ὑπομεινάντων. Τοῦ δ' εὐωνύμου διασπασμὸν ἀνὰ τοὺς λόφους καὶ περίκλασιν λαμβάνοντος, ὁ Τίτος, τὸ μὲν ἡττώμενον ἀπογνούς, πρὸς δὲ θάτερον ὀξέως παρελάσας, προσέβαλε τοῖς Μακεδόσι, συσσῆναι μὲν εἰς φάλαγγα καὶ πυκνῶσαι τὴν τάξιν εἰς βάθος, ἥπερ ἦν ἀλκὴ τῆς ἐκείνων δυνάμεως, κωλυομένοις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν χωρίων, πρὸς δὲ τὸ κατ' ἄνδρα συμπλέκεσθαι, καὶ βαρεῖ καὶ δυσέργῳ χρωμένοις ὁπλισμῷ. Ζώῳ γὰρ ἡ φάλαγξ ἔοικεν ἁμάχῳ τὴν ἰσχὺν, ἕως ἓν ἐστι σῶμα, καὶ τηρεῖ τὸν συνασπισμὸν ἐν τάξει μιᾷ. Διαλυθείσης δὲ, καὶ τὴν καθ' ἕνα ῥώμην ἀπόλλυσι τῶν μαχομένων ἕκαστος, διά τε τὸν τρόπον τῆς ὁπλίσεως, καὶ ὅτι γ' ὄντος ὅλου τοῖς παραλλήλοις μέρεσι μᾶλλον, ἢ δι' αὑτόν, ἰσχύει. Τραπομένων δὲ τούτων, οἱ μὲν ἐδίωκον τοὺς φεύγοντας, οἱ δὲ τοὺς μαχομένους τῶν Μακεδόνων παρεκδραμόντες ἐκ πλαγίων ἔκτεινον· ὥστε ταχὺ καὶ τοὺς νικῶντας περισπᾶσθαι καὶ φεύγειν, τὰ ὅπλα καταβάλλοντας. Ἔπεσον μὲν οὖν ὀκτακισχιλίων οὐκ ἐλάττους, ἑάλωσαν δὲ περὶ πεντακισχιλίους. Τοῦ δὲ τὸν Φίλιππον ἀσφαλῶς ἀπελθεῖν τὴν αἰτίαν ἔλαβον Αἰτωλοὶ, περὶ ἁρπαγὴν γενόμενοι καὶ πόρθησιν τοῦ χάρακος, ἔτι τῶν Ῥωμαίων διωκόντων, ὥσε μηδὲν εὑρεῖν ἐκείνους ἐπανελθόντας.

Θ. Πρῶτον μὲν οὖν ἐγένοντο λοιδορίαι καὶ διαφοραὶ πρὸς ἀλλήλους αὐτοῖς· ἐκ δὲ τούτων μᾶλλον ἀεὶ τὸν Τίτον ἐλύπουν, ἑαυτοῖς ἀνατιθέντες τὸ νίκημα, καὶ τῇ φήμῃ προκαταλαμβάνοντες τοὺς Ἕλληνας· ὥσε καὶ γράφεσθαι καὶ ᾄδεσθαι προτέρους ἐκείνους ὑπὸ ποιητῶν, καὶ ἰδιωτῶν, ὑμνούντων τὸ ἔργον. Ὧν μάλιστα διὰ στόματος ἦν τουτὶ τὸ ἐπίγραμμα·

Ἄκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες,
Αἰτωλῶν δμηθέντες ὑπ' Ἄρεος, ἠδὲ Λατίνων,
Οὓς Τίτος εὐρείης ἤγαγ' ἀπ' Ἰταλίης,
Ἠμαθίῃ μέγα πῆμα. Τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
Πνεῦμα, θοῶν ἐλάφων ὤχετ' ἐλαφρότερον.

Τοῦτ' ἐποίησε μὲν Ἀλκαῖος, ἐφυβρίζων Φιλίππῳ, καὶ τὸν ἀριθμὸν τῶν ἀποθανόντων ἐπιψευσάμενος. Λεγόμενον δὲ πολλαχοῦ καὶ ὑπὸ πολλῶν, μᾶλλον ἦνία τὸν Τίτον, ἢ τὸν Φίλιππον. Ὁ μὲν γὰρ ἀντικωμῳδῶν τὸν Ἀλκαῖον τῷ ἐλεγείῳ παρέβαλεν·

Ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Ἀλκαίῳ σαυρὸς πήγνυται ἡλίβατος.

Τὸν δὲ Τίτον, φιλοτιμούμενον πρὸς τοὺς Ἕλληνας, οὐ μετρίως παρώξυνε τὰ τοιαῦτα. Διὸ καὶ τὰ ὑπόλοιπα τῶν πραγμάτων ἔπραττε καθ' ἑαυτὸν, ἐλάχιστα φροντίζων τῶν Αἰτωλῶν. Οἱ δ' ἤχθοντο, καὶ, προσδεξαμένου λόγους αὐτοῦ, καὶ πρεσβείαν ἐπὶ συμβάσεσι παρὰ τοῦ Μακεδόνος, τοῦτ' ἐκεῖνοι, περιιόντες περὶ τὰς ἄλλας πόλεις ἐβόων, πωλεῖσθαι τὴν εἰρήνην Φιλίππῳ, παρὸν ἐκκόψαι τὸν πόλεμον ἄρδην, καὶ ἀνελεῖν ἀρχὴν, ὑφ' ἧς πρώτης ἐδουλώθη τὸ Ἑλληνικόν. Ταῦτα τῶν Αἰτωλῶν λεγόντων, καὶ διαταραττόντων τοὺς συμμάχους, αὐτὸς ὁ Φίλιππος ἐλθὼν πρὸς τὰς διαλύσεις, ἀνεῖλε τὴν ὑποψίαν, ἐπιτρέψας *τῷ* Τίτῳ καὶ Ῥωμαίοις τὰ καθ' αὑτόν. Καὶ οὕτω καταλύεται τὸν πόλεμον ὁ Τίτος· καὶ τὴν μὲν Μακεδονικὴν ἀπέδωκεν αὐτῷ βα-

σιλείαν, τῆς δ' Ἑλλάδος προσέταξεν ἀποσῆναι, χιλίοις δὲ ταλάντοις ἐζημίωσε, τὰς δὲ ναῦς πάσας παρείλετο, πλὴν δέκα. Τῶν δὲ παίδων τὸν ἕτερον, Δημήτριον, ὁμηρεύσοντα λαβὼν, εἰς Ῥώμην ἀπέστειλεν, ἄριστα τῷ καιρῷ χρησάμενος, καὶ προλαβὼν τὸ μέλλον. Ἀννίβου γὰρ τοῦ Λίβυος, ἀνδρὸς ἐχθίστου τε Ῥωμαίοις καὶ φυγάδος, ἤδη τότε πρὸς Ἀντίοχον ἥκοντος τὸν βασιλέα, καὶ παροξύνοντος αὐτὸν εἰς τὸ πρόσθεν προϊέναι τῇ τύχῃ, τῆς δυνάμεως εὖ ῥεούσης, ἤδη [καὶ] καθ' ἑαυτὸν ὑπὸ πραγμάτων μεγάλων, ἃ κατεργασάμενος μέγας ἐπωνομάσθη, πρὸς τὴν ἁπάντων ἡγεμονίαν ἀποβλέποντα, μάλιστα δὲ κατὰ Ῥωμαίων ἀνιστάμενον· εἰ μὴ τοῦτο προϊδὼν ὁ Τίτος ἐμφρόνως ἐνέδωκε πρὸς τὰς διαλύσεις, ἀλλὰ τὸν Φιλιππικὸν ὁ Ἀντιοχικὸς κατεῖληφε πόλεμον ἐν τῇ Ἑλλάδι, καὶ συνέστησαν ὑπ' αἰτιῶν ἀμφότεροι κοινῶν οἱ μέγιστοι τῶν τότε καὶ δυνατώτατοι βασιλέων ἐπὶ τὴν Ῥώμην, ἔσχεν ἂν ἀγῶνας ἐξ ὑπαρχῆς καὶ κινδύνους τῶν πρὸς Ἀννίβαν οὐκ ἐλάττους. Νῦν δὲ τῶν πολέμων μέσην κατὰ καιρὸν ἐμβαλὼν τὴν εἰρήνην ὁ Τίτος, καὶ πρὶν ἄρξασθαι, τὸν μέλλοντα, διακόψας τὸν παρόντα, τοῦ μὲν τὴν ἐσχάτην ἐλπίδα, τοῦ δὲ τὴν πρώτην ὑφεῖλεν.

I. Ἐπεὶ δ' οἱ δέκα πρέσβεις, οὓς ἡ σύγκλητος ἔπεμψε τῷ Τίτῳ, συνεβούλευον τοὺς μὲν ἄλλους Ἕλληνας ἐλευθεροῦν, Κόρινθον δὲ καὶ Χαλκίδα καὶ Δημητριάδα διατηρεῖν ἐμφρούρους, ἕνεκα τῆς πρὸς Ἀντίοχον ἀσφαλείας, ἐνταῦθα δὴ ταῖς κατηγορίαις λαμπροὶ λαμπρῶς τὰς πόλεις ἀνερρήγνυσαν Αἰτωλοὶ, τὸν μὲν Τίτον κελεύοντες τὰς πέδας τῆς Ἑλλάδος λύειν (οὕτω γὰρ ὁ Φίλιππος εἰώθει τὰς προειρημένας πόλεις ὀνομάζειν), τοὺς δ' Ἕλληνας ἐρωτῶντες, εἰ κλοιὸν ἔχοντες βαρύτερον μὲν, λειότερον δὲ τοῦ πάλαι τὸν νῦν, χαίρουσι, καὶ θαυμάζουσι τὸν Τίτον, ὡς εὐεργέτην, ὅτι τοῦ ποδὸς λύσας τὴν Ἑλλάδα, τοῦ τραχήλου δέδεκεν. Ἐφ' οἷς ἀχθόμενος ὁ Τίτος καὶ βαρέως φέρων, καὶ δεόμενος τοῦ

συνεδρίου, τέλος ἐξέπεισε καὶ ταύτας τὰς πόλεις ἀνεῖναι τῆς φρουρᾶς, ὅπως ὁλόκληρος ἡ χάρις ὑπάρξῃ παρ' αὐτοῦ τοῖς Ἕλλησιν. Ἰσθμίων οὖν ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο, τὸν γυμνικὸν ἀγῶνα θεώμενον, οἷα δὴ διὰ χρόνου πεπαυμένης μὲν πολέμων τῆς Ἑλλάδος ἐπ' ἐλπίσιν ἐλευθερίας, σαφεῖ δὲ εἰρήνῃ πανηγυριζούσης. Τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης, προελθὼν εἰς μέσον ὁ κήρυξ ἀνεῖπεν, ὅτι Ῥωμαίων ἡ σύγκλητος, καὶ Τίτος Κοΐντιος, στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Λοκροὺς, Φωκεῖς, Εὐβοέας, Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, Περραιβούς. Τὸ μὲν οὖν πρῶτον οὐ πάνυ πάντες, οὐδὲ σαφῶς ἐπήκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων, καὶ διαπυνθανομένων, καὶ πάλιν ἀνειπεῖν κελευόντων. Ὡς δ', αὖθις ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κήρυξ τὴν φωνὴν, προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε, καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρὰν ἐχώρει μέχρι θαλάττης, ὀρθὸν δ' ἀνεστήκει τὸ θέατρον, οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων. Ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι, καὶ δεξιώσασθαι, καὶ προσειπεῖν τὸν σωτῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον. Τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν τῆς φωνῆς καὶ μέγεθος, ὤφθη τότε. Κόρακες γὰρ, ὑπερπετόμενοι κατὰ τύχην, ἔπεσον εἰς τὸ στάδιον. Αἰτία δ' ἡ τοῦ ἀέρος ῥῆξις. Ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ, καθάπερ κενεμβατοῦσιν· εἰ μὴ, νὴ Δία, πληγῇ τινι μᾶλλον, ὡς ὑπὸ βέλους διελαυνόμενα, πίπτει καὶ ἀποθνήσκει. Δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος, οἷον ἑλιγμὸν ἐν πελάγει, καὶ πάλιν ῥύμην τοῦ σάλου διὰ μέγεθος λαμβάνοντος.

ΙΑ. Ὁ δ' οὖν Τίτος, εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης, ὑπειδόμενος τὴν φορὰν τοῦ πλήθους καὶ τὸν ῥόμον, ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι, τοσούτων ὁμοῦ καὶ πάντοθεν αὐτῷ περιχεομένων. Ὡς δ' ἀπέκαμον περὶ τὴν σκηνὴν αὐτοῦ βοῶντες, ἤδη νυκτὸς οὔσης, αὖθις οὔσινας ἴδοιεν ἢ φίλους, ἢ πολίτας, ἀσπαζόμενοι καὶ περιπλεκόμενοι, πρὸς δεῖπνα καὶ πότους ἐτρέποντο μετ' ἀλλήλων. Ἐν ᾧ καὶ μᾶλλον, ὡς εἰκὸς, ἡδομένοις ἐπῆει λογίζεσθαι καὶ διαλέγεσθαι περὶ τῆς Ἑλλάδος, ὅσους πολεμήσασα πολέμους διὰ τὴν ἐλευθερίαν, οὔπω τύχοι βεβαιότερον, οὐδὲ ἥδιον αὐτῆς, ἑτέρων προαγωνισαμένων, ὀλίγου δεῖν ἀναίμακτος αὐτὴ καὶ ἀπενθὴς φερομένη τὸ κάλλιστον καὶ περιμαχητότατον ἆθλον. Ἦν δ' ἄρα σπάνιον μὲν ἀνδρεία καὶ φρόνησις ἐν ἀνθρώποις, σπανιώτατον δὲ τῶν ἄλλων ἀγαθῶν ὁ δίκαιος. Οἱ γὰρ Ἀγησίλαοι καὶ Λύσανδροι, καὶ οἱ Νικίαι, καὶ οἱ Ἀλκιβιάδαι, πολέμους μὲν εὖ διέπειν, καὶ μάχας νικᾶν, κατά τε γῆν καὶ θάλασσαν ἄρχοντες, ἠπίσαντο, χρῆσθαι δὲ πρὸς χάριν εὐγενῆ καὶ τὸ καλὸν, οἷς κατώρθουν, οὐκ ἔγνωσαν. Ἀλλ', εἰ τὸ Μαραθώνιόν τις ἔργον ἀρέλοι, καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, καὶ Πλαταιὰς, καὶ Θερμοπύλας, καὶ τὰ πρὸς Εὐρυμέδοντι, καὶ τὰ περὶ Κύπρον Κίμωνος ἔργα, πάσας τὰς μάχας ἡ Ἑλλὰς ἐπὶ δουλείᾳ μεμάχηται πρὸς αὐτὴν, καὶ πᾶν τρόπαιον αὐτῆς συμφορὰ καὶ ὄνειδος ἐπ' αὐτὴν ἔστηκε, τὰ πλεῖστα κακίᾳ καὶ φιλονεικίᾳ τῶν ἡγουμένων περιτραπείσης. Ἀλλόφυλοι δ' ἄνδρες, ἐναύσματα μικρὰ καὶ γλίσχρα κοινωνήματα παλαιοῦ γένους ἔχειν δοκοῦντες, ἀφ' ὧν καὶ λόγῳ τι καὶ γνώμῃ τῶν χρησίμων ὑπάρξαι τῇ Ἑλλάδι θαυμαστὸν ἦν, οὗτοι τοῖς μεγίστοις κινδύνοις καὶ πόνοις ἐξελόμενοι τὴν Ἑλλάδα δεσποτῶν χαλεπῶν καὶ τυράννων ἐλευθεροῦσιν.

ΙΒ. Ταῦτα δὴ τοὺς Ἕλληνας ὑπῆει· καὶ τὰ τῶν ἔργων ὁμολογοῦντα τοῖς κηρύγμασιν [ἦν]. Ἅμα γὰρ ἐξέπεμψεν ὁ Τίτος Λέν-

τλον μὲν εἰς Ἀσίαν, Βαργυλιήτας ἐλευθερώσοντα, Στερτίνιον δ' εἰς Θράκην, τὰς αὐτόθι πόλεις καὶ νήσους ἀπαλλάξοντα τῶν Φιλίππου φρουρῶν. Πόπλιος δὲ Οὐίλλιος ἔπλει διαλεξόμενος Ἀντιόχῳ περὶ τῆς τῶν ὑπ' αὐτὸν Ἑλλήνων ἐλευθερίας. Αὐτὸς δὲ Τίτος εἰς Χαλκίδα παρελθών, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ Μαγνησίαν, ἐξῆγε τὰς φρουράς, καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις. Ἀγωνοθέτης δὲ Νεμείων ἀποδειχθεὶς ἐν Ἄργει, τήν τε πανήγυριν ἄρισα διέθηκε, καὶ πάλιν ἐκεῖ τοῖς Ἕλλησι τὴν ἐλευθερίαν ὑπὸ κήρυκος ἀνεῖπεν. Ἐπιροιτῶν τε ταῖς πόλεσιν, εὐνομίαν ἅμα καὶ δίκην πολλὴν, ὁμόνοιάν τε καὶ φιλοφροσύνην πρὸς ἀλλήλους παρεῖχε· καταπαύων μὲν τὰς στάσεις, κατάγων δὲ τὰς φυγάς, ἀγαλλόμενος δὲ τῷ πείθειν καὶ διαλλάσσειν τοὺς Ἕλληνας, οὐχ ἧττον, ἢ τῷ κεκρατηκέναι τῶν Μακεδόνων, ὥσε μικρότατον ἤδη τὴν ἐλευθερίαν δοκεῖν ὧν εὐεργετοῦντο. Ξενοκράτη μὲν οὖν τὸν φιλόσοφον, ὅτε Λυκοῦργος αὐτὸν ὁ ῥήτωρ ὑπὸ τῶν τελωνῶν ἀγόμενον πρὸς τὸ μετοίκιον ἀφείλετο, καὶ τοῖς ἄγουσιν ἐπέθηκε δίκην τῆς ἀσελγείας, λέγεται τοῖς παισὶν ἀπαντήσαντα τοῦ Λυκούργου· Καλήνγε ὑμῶν, ὦ παῖδες, φάναι, τῷ πατρὶ χάριν ἀποδίδωμι· πάντες γὰρ αὐτὸν ἐπαινοῦσιν, ἐφ' οἷς ἔπραξε. Τίτῳ δὲ καὶ Ῥωμαίοις, ὧν τοὺς Ἕλληνας εὐεργέτησαν, οὐκ εἰς ἐπαίνους μόνον, ἀλλὰ καὶ πίστιν ἐν πᾶσιν ἀνθρώποις καὶ δύναμιν ἡ χάρις ἀπήντα, δικαίως. Οὐ γὰρ προσδεχόμενοι μόνον τοὺς ἡγεμόνας αὐτῶν, ἀλλὰ καὶ μεταπεμπόμενοι καὶ καλοῦντες ἐνεχείριζον αὐτούς. Οὐδὲ δῆμοι καὶ πόλεις, ἀλλὰ καὶ βασιλεῖς ὑφ' ἑτέρων ἀδικούμενοι βασιλέων, καπέφευγον εἰς τὰς ἐκείνων χεῖρας· ὥσ' ἐν βραχεῖ χρόνῳ, τάχα που καὶ θεοῦ συνεφαπτομένου, πάντ' αὐτοῖς ὑπήκοα γενέσθαι. Καὶ αὐτὸς δὲ μέγιστον ἐφρόνησεν ἐπὶ τῇ τῆς Ἑλλάδος ἐλευθερώσει. Ἀνατιθεὶς γὰρ εἰς Δελφοὺς ἀσπίδας ἀργυρᾶς καὶ τὸν ἑαυτοῦ θυρεὸν, ἐπέγραψε·

Ζηνὸς, ἰώ! κραιπναῖσι γεγαθότες ἱπποσύναισι,
Κοῦροι, ἰώ! Σπάρτας Τυνδαρίδαι βασιλεῖς·
Αἰνεάδας Τίτος ὔμμιν ὑπέρτατον ὤπασε δῶρον,
Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν.

Ἀνέθηκε δὲ καὶ χρυσοῦν τῷ Ἀπόλλωνι στέφανον, ἐπιγράψας·

Τόνδε τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
Κεῖσθαι, Λατοίδα, χρυσοφαῆ στέφανον·
Ὃν πόρεν, Αἰνεαδᾶν ταγὸς μέγας. Ἀλλ', Ἑκάεργε,
Ἀλκᾶς τῷ θείῳ κῦδος ὄπαζε Τίτῳ.

Τῇ γοῦν Κορινθίων πόλει πρὸς τοὺς Ἕλληνας τὸ αὐτὸ δὶς ἤδη συμβέβηκε. Καὶ γὰρ Τίτος ἐν Κορίνθῳ τότε, καὶ Νέρων αὖθις καθ' ἡμᾶς, ἐν Κορίνθῳ, παραπλησίως Ἰσθμίων ἀγομένων, τοὺς Ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν, ὁ μὲν διὰ κήρυκος, ὡς εἴρηται· Νέρων δ' αὐτὸς ἐπὶ τῆς ἀγορᾶς ἀπὸ βήματος ἐν τῷ πλήθει δημηγορήσας. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

ΙΓ. Ὁ δὲ Τίτος τότε καλλίστου καὶ δικαιοτάτου τοῦ πρὸς Νάβιν ἀρξάμενος πολέμου, τὸν Λακεδαιμονίων ἐξωλέστατον καὶ παρανομώτατον τύραννον, ἐν τῷ τέλει διεψεύσατο τὰς τῆς Ἑλλάδος ἐλπίδας, ἐλεῖν παρασχὼν, οὐκ ἐθελήσας, ἀλλὰ σπεισάμενος, καὶ προέμενος τὴν Σπάρτην ἀναξίως δουλεύουσαν· εἴτε δείσας, μὴ, τοῦ πολέμου μῆκος λαμβάνοντος, ἄλλος ἀπὸ Ῥώμης ἐπελθὼν στρατηγὸς ἀνέληται τὴν δόξαν, εἴτε φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ τῶν φιλοποίμενος τιμῶν, ὃν ἔν τε τοῖς ἄλλοις ἅπασιν ἄνδρα δεινότατον τῶν Ἑλλήνων ὄντα, καὶ περὶ ἐκεῖνον τὸν πόλεμον ἔργα θαυμαστὰ τόλμης καὶ δεινότητος ἀποδειξάμενον, ἴσα τῷ Τίτῳ κυδαίνοντες Ἀχαιοὶ, καὶ τιμῶντες ἐν τοῖς θεάτροις, ἐλύπουν ἐκεῖνον, οὐκ ἀξιοῦντα Ῥωμαίων ὑπάτῳ προπολεμοῦντι τῆς Ἑλλάδος ἄνθρωπον Ἀρκάδα, μικρῶν καὶ ὁμόρων πολέμων στρατηγὸν, ὅμοια θαυμάζεσθαι παρ' αὐτοῖς. Οὐ μὴν ἀλλ' αὐτὸς ὁ Τίτος ὑπὲρ τούτων ἀπελογεῖτο, καταθέσθαι τὸν πόλεμον, ὡς ἑώρα σὺν κακῷ μεγάλῳ τῶν ἄλλων Σπαρτιατῶν ἀπολούμενον τὸν

τύραννον. Τῶν δ' Ἀχαιῶν αὐτῷ πολλὰ πρὸς τιμὴν ψηφισαμένων, οὐδὲν ἐδόκει πρὸς τὰς εὐεργεσίας ἐξισοῦσθαι, πλὴν μιᾶς δωρεᾶς, ἣν ἐκεῖνος ἀντὶ πάντων ἠγάπησεν. Ἦν δὲ τοιάδε. Ῥωμαίων οἱ δυσυχήσαντες ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ, πολλαχοῦ μὲν ὤνιοι γενόμενοι καὶ διασπαρέντες ἐδούλευον. Ἐν δὲ τῇ Ἑλλάδι χίλιοι καὶ διακόσιοι τὸ πλῆθος ἦσαν, ἀεὶ μὲν οἰκτροὶ τῆς μεταβολῆς, τότε δὲ καὶ μᾶλλον, ὡς εἰκὸς, ἐντυγχάνοντες οἱ μὲν υἱοῖς, οἱ δ' ἀδελφοῖς, οἱ δὲ συνήθεσιν, ἐλευθέροις δοῦλοι, καὶ νικῶσιν αἰχμάλωτοι. Τούτους ὁ μὲν Τίτος οὐκ ἀφείλετο τῶν κεκτημένων, καίπερ ἀνιώμενος ἐπ' αὐτοῖς· οἱ δ' Ἀχαιοὶ, λυτρωσάμενοι πέντε μνῶν ἕκαστον ἄνδρα, καὶ συναγαγόντες εἰς ταὐτὸ πάντας, ἤδη περὶ πλοῦν ὄντι τῷ Τίτῳ παρέδωκαν· ὥς' αὐτὸν εὐφραινόμενον ἀποπλεῖν, ἀπὸ καλῶν ἔργων καλὰς ἀμοιβὰς καὶ πρεπούσας ἀνδρὶ μεγάλῳ καὶ φιλοπολίτῃ κεκομισμένον· ὃ δὴ δοκεῖ πρὸς τὸν θρίαμβον αὐτῷ πάντων ὑπάρξαι λαμπρότατον. Οἱ γὰρ ἄνδρες οὗτοι, καθάπερ ἔθος ἐστὶ τοῖς οἰκέταις, ὅταν ἐλευθερωθῶσιν, ξύρεσθαί τε τὰς κεφαλὰς, καὶ πιλία φορεῖν, ταῦτα δράσαντες αὐτοὶ θριαμβεύοντι τῷ Τίτῳ παρείποντο.

ΙΔ. Καλλίῳ δὲ καὶ τὰ λάφυρα πομπευόμενα παρεῖχεν ὄψιν, Ἑλληνικὰ κράνη, καὶ πέλται Μακεδονικαὶ καὶ σάρισσαι. Τότε τῶν χρημάτων πλῆθος οὐκ ὀλίγον ἦν, ὡς ἀναγράφουσιν οἱ περὶ Τουδιτανὸν ἐν τῷ θριάμβῳ κομισθῆναι χρυσίου μὲν συγκεχωνευμένου λίτρας τρισχιλίας ἑπτακοσίας δέκα τρεῖς, ἀργύρου δὲ τετρακισμυρίας τρισχιλίας διακοσίας ἑβδομήκοντα, φιλιππείους δὲ χρυσοῦς μυρίους τετρακισχιλίους πεντακοσίους δεκατέσσαρας· χωρὶς δὲ τούτων τὰ χίλια τάλαντα, ἃ Φίλιππος ὤφειλεν. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπείσθησαν Ῥωμαῖοι, μάλιστα τοῦ Τίτου συμπράσσοντος, ἀφεῖναι τῷ Φιλίππῳ, καὶ σύμμαχον ἐψηφίσαντο, καὶ τὸν υἱὸν ἀπήλλαξαν αὐτῷ τῆς ὁμηρείας.

ΙΕ. Ἐπεὶ δ' ὁ Ἀντίοχος, εἰς τὴν Ἑλλάδα ναυσὶ πολλαῖς καὶ

στρατῷ περαιωθεὶς, ἀφίστη τὰς πόλεις καὶ διεστασίαζεν, Αἰτωλῶν αὐτῷ συνεπιλαμβανομένων, καὶ πάλαι διακειμένων πρὸς τὸν Ῥωμαίων δῆμον ἐχθρῶς καὶ πολεμικῶς, ὑπόθεσιν τοῦ πολέμου καὶ πρόφασιν διδόντων, ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδὲν δεομένους (ἐλεύθεροι γὰρ ἦσαν), ἀλλ' εὐπρεπεστέρας αἰτίας ἀπορίᾳ, τῷ καλλίστῳ τῶν ὀνομάτων χρῆσθαι διδασκόντων· *καὶ* σφόδρα δείσαντες οἱ Ῥωμαῖοι τὴν ἀνάστασιν, καὶ δόξαν αὐτοῦ τῆς δυνάμεως, στρατηγὸν μὲν ὕπατον τοῦ πολέμου Μάνιον Ἀκίλιον κατέπεμψαν, πρεσβευτὴν δὲ Τίτον, διὰ τοὺς Ἕλληνας, ὧν τοὺς μὲν εὐθὺς ὀρθεὶς ἐποίησε βεβαιοτέρους, τοὺς δ' ἀρχομένους νοσεῖν, ὥσπερ τι ἐν καιρῷ φάρμακον, διδοὺς τὴν πρὸς αὐτὸν εὔνοιαν, ἔστησε, καὶ διεκώλυσεν ἐξαμαρτεῖν. Ὀλίγοι δ' αὐτὸν ἐξέφυγον, ἤδη προκατειλημμένοι καὶ διεφθαρμένοι παντάπασιν ὑπὸ τῶν Αἰτωλῶν· οὓς, καίπερ ὀργισθεὶς καὶ παροξυνθεὶς, ὅμως μετὰ τὴν μάχην περιεποίησεν. Ἀντίοχος γὰρ ἡττηθεὶς ἐν Θερμοπύλαις, καὶ φυγὼν εὐθὺς εἰς Ἀσίαν ἀπέπλευσε. Μάνιος δ' ὁ ὕπατος, τοὺς μὲν αὐτὸς ἐπιὼν τῶν Αἰτωλῶν ἐπολιόρκει, τοὺς δὲ τῷ βασιλεῖ Φιλίππῳ συνεχώρησεν ἐξαιρεῖν. Ἀγομένων δὲ καὶ φερομένων ὑπὸ τοῦ Μακεδόνος, τοῦτο μὲν Δολόπων καὶ Μαγνήτων, τοῦτο δ' Ἀθαμάνων καὶ Ἀπεραντῶν, αὐτοῦ δὲ τοῦ Μανίου τὴν μὲν Ἡράκλειαν διαπεπορθηκότος, τὴν δὲ Ναύπακτον Αἰτωλῶν ἐχόντων πολιορκοῦντος, οἰκτείρων τοὺς Ἕλληνας ὁ Τίτος, διέπλευσεν ἐκ Πελοποννήσου πρὸς τὸν ὕπατον. Καὶ πρῶτον μὲν ἐπετίμησεν, εἰ νενικηκὼς αὐτὸς τὰ ἔπαθλα τοῦ πολέμου Φίλιππον ἐᾷ φέρεσθαι, καὶ τριβόμενος περὶ μιᾷ πόλει κάθηται δι' ὀργὴν, ἔθνη δ' οὐκ ὀλίγα καὶ βασιλείας Μακεδόνες αἱροῦσιν. Ἔπειτα τῶν πολιορκουμένων, ὡς εἶδον αὐτὸν, ἀπὸ τοῦ τείχους ἀνακαλούντων, καὶ χεῖρας ὀρεγόντων, καὶ δεομένων, τότε μὲν οὐδὲν εἰπὼν, ἀλλὰ στραφεὶς καὶ δακρύσας ἀπῆλθεν, ὕστερον δὲ διαλεχθεὶς τῷ Μανίῳ, καὶ καταπαύσας τὸν θυμὸν αὐτοῦ, δι-

επράξατο τοῖς Αἰτωλοῖς ἀνοχὰς διδόναι καὶ χρόνον, ἐν ᾧ πρεσβεύσαντες εἰς Ῥώμην μετρίου τινὸς τυχεῖν ἀξιώσουσι.

Ις. Πλεῖστον δ' ἀγῶνα καὶ πόνον αὐτῷ παρεῖχον αἱ περὶ Χαλκιδέων δεήσεις πρὸς τὸν Μάνιον, ἐν ὀργῇ γεγονότων διὰ τὸν γάμον, ὃν παρ' αὐτῶν ἔγημεν Ἀντίοχος, ἤδη τοῦ πολέμου συνεστῶτος, οὐ καθ' ὥραν, οὐδὲ κατὰ καιρόν, ἀλλ' ἐρασθεὶς ἀνὴρ πρεσβύτερος κόρης, ἡ θυγάτηρ μὲν ἦν Κλεοπτολέμου, καλλίστη δὲ λέγεται παρθένων γενέσθαι. Τοῦτο τοὺς Χαλκιδεῖς ἐποίησε βασιλίσαι προθυμότατα, καὶ τὴν πόλιν αὐτῷ πρὸς τὸν πόλεμον ὁρμητήριον παρασχεῖν. Ἐκεῖνος μὲν οὖν ὡς τάχιστα μετὰ τὴν μάχην φεύγων προσέμιξε τῇ Χαλκίδι· τήν τε κόρην ἀναλαβὼν, καὶ τὰ χρήματα καὶ τοὺς φίλους, εἰς Ἀσίαν ἀπέπλευσε. Τὸν δὲ Μάνιον εὐθὺς ἐπὶ τοὺς Χαλκιδεῖς σὺν ὀργῇ πορευόμενον, ὁ Τίτος παρακολουθῶν ἐμάλαττε καὶ παρητεῖτο. Καὶ τέλος ἔπεισε καὶ κατεπράϋνεν, αὐτοῦ τε καὶ τῶν ἐν τέλει Ῥωμαίων δεόμενος. Οὕτω διασωθέντες οἱ Χαλκιδεῖς τὰ κάλλιστα καὶ μέγιστα τῶν παρ' αὐτοῖς ἀναθημάτων τῷ Τίτῳ καθιέρωσαν, ὧν ἐπιγραφάς ἐστι τοιαύτας ἄχρι νῦν ὁρᾶν· « Ὁ δῆμος Τίτῳ καὶ Ἡρακλεῖ τὸ γυμνάσιον. » Ἑτέρωθι δὲ πάλιν· « Ὁ δῆμος Τίτῳ καὶ Ἀπόλλωνι τὸ Δελφίνιον. » Ἔτι δὲ καὶ καθ' ἡμᾶς ἱερεὺς χειροτονητὸς ἀπεδείκνυτο Τίτου, καὶ θύσαντες αὐτῷ, τῶν σπονδῶν γενομένων, ᾄδουσι παιᾶνα πεποιημένον. Οὗ τἄλλα διὰ μῆκος ἡμεῖς παρέντες, ἀνεγράψαμεν, ἃ παυόμενοι τῆς ᾠδῆς λέγουσι· « Πίστιν δὲ Ῥωμαίων σέβομεν, τὰν μεγαλαλκεστάταν ὅρκοις φυλάσσειν. Μέλπετε, κοῦραι, Ζῆνα μέγαν, Ῥώμαν τε, Τίτον τε ἅμα, Ῥωμαίων τε πίστιν. Ἰήϊε, Παιάν, ὦ Τίτε σῶτερ. »

ΙΖ. Ἦσαν δὲ καὶ παρὰ τῶν [ἄλλων] Ἑλλήνων τιμαὶ πρέπουσαι, καὶ τὸ τὰς τιμὰς ἀληθινὰς ποιοῦν, εὔνοια θαυμαστὴ, δι' ἐπιείκειαν ἤθους. Καὶ γὰρ εἴ τισιν ἐκ πραγμάτων, ἢ φιλοτιμίας ἕνεκα, καθάπερ Φιλοποίμενι, καὶ πάλιν Διοφάνει, στρατηγοῦντι τῶν

Ἀχαιῶν προσέκρουσεν, οὔκ ἦν βαρὺς, οὐδ' εἰς ἔργα διατείνων ὁ θυμός, ἀλλ' ἐν λόγῳ παῤῥησίαν τινὰ πολιτικὴν ἔχοντι παυόμενος. Πικρὸς μὲν οὖν οὐδενὶ, πολλοῖς δ' ὀξὺς ἐδόκει, καὶ κοῦφος εἶναι τὴν φύσιν· ἄλλως δὲ συγγενέσθαι πάντων ἥδιος, καὶ εἰπεῖν ἐπίχαρις μετὰ δεινότητος. Ἀχαιοὺς μὲν γὰρ σφετεριζομένους τὴν Ζακυνθίων νῆσον ἀποτρέπων, ἔφη κινδυνεύσειν, ἂν, ὥσπερ αἱ χελῶναι, πορῥωτέρω τὴν κεφαλὴν τῆς Πελοποννήσου προτείνωσιν. Φιλίππου δ', ὁπηνίκα περὶ σπονδῶν καὶ εἰρήνης τὸ πρῶτον εἰς λόγους συνῆεσαν, εἰπόντος μετὰ πολλῶν ἥκειν ἐκεῖνον, αὐτὸν δὲ μόνον, ὑπολαβὼν ὁ Τίτος· Σαυτὸν γὰρ, ἔφη, μόνον ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς. Ἐπεὶ δὲ Δεινοκράτης ὁ Μεσσήνιος ἐν Ῥώμῃ παρὰ πότον μεθυσθεὶς ὠρχήσατο, λαβὼν ἱμάτιον γυναικεῖον, τῇ δ' ὑστεραίᾳ τὸν Τίτον ἠξίου βοηθεῖν αὐτῷ διανοουμένῳ τὴν Μεσσήνην ἀφιστάναι τῶν Ἀχαιῶν· ταῦτα μὲν ἔφη σκέψεσθαι, θαυμάζειν δ' ἐκεῖνον, εἰ τηλικαύταις ἐπικειρηκὼς πράξεσιν, ὀρχεῖσθαι δύναται παρὰ πότον καὶ ᾄδειν. Πρὸς δὲ τοὺς Ἀχαιοὺς τῶν παρ' Ἀντιόχου πρέσβεων πλῆθός τε τῆς βασιλικῆς στρατιᾶς καταλεγόντων, καὶ καταριθμουμένων πολλὰς προσηγορίας, ὁ Τίτος ἔφη, δειπνοῦντος αὐτοῦ παρὰ τῷ ξένῳ, καὶ μεμφομένου τὸ πλῆθος τῶν κρεῶν, καὶ θαυμάζοντος, πόθεν οὕτω ποικίλης ἀγορᾶς εὐπόρησεν, εἰπεῖν τὸν ξένον, ὡς ὕεια πάντα ἐσὶ, τῇ σκευασίᾳ διαφέροντα καὶ τοῖς ἡδύσμασι. Μὴ τοίνυν, ἔφη, μηδὲ ὑμεῖς, ὦ ἄνδρες Ἀχαιοὶ, θαυμάζετε τὴν Ἀντιόχου δύναμιν, Λογχοφόρους καὶ Ξυσοφόρους καὶ Πεζαιτέρους ἀκούοντες· πάντες γὰρ οὗτοι Σύροι εἰσὶν, ὁπλαρίοις διαφέροντες.

ΙΗ. Μετὰ δὲ τὰς Ἑλληνικὰς πράξεις, καὶ τὸν Ἀντιοχικὸν πόλεμον, ἀπεδείχθη τιμητής· ἥτις ἐσὶν ἀρχὴ μεγίση, καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις. Καὶ συνῆρχε μὲν αὐτῷ Μαρκέλλου τοῦ πεντάκις ὑπατεύσαντος υἱός· ἐξέβαλον δὲ τῆς βουλῆς

τῶν οὐκ ἄγαν ἐπιφανῶν τέσσαρας· προσεδέξαντο δὲ πολίτας ἀπογραφομένους πάντας, ὅσοι γονέων ἐλευθέρων ἦσαν, ἀναγκασθέντες ὑπὸ τοῦ δημάρχου Τερεντίου Κουλλέωνος, ὃς ἐπηρεάζων τοῖς ἀριστοκρατικοῖς, ἔπεισε τὸν δῆμον ταῦτα ψηφίσασθαι. Τῶν δὲ γνωριμωτάτων κατ' αὐτὸν ἀνδρῶν καὶ μεγίστων ἐν τῇ πόλει διαφερομένων πρὸς ἀλλήλους, Ἀφρικανοῦ Σκιπίωνος, καὶ Μάρκου Κάτωνος, τὸν μὲν προέγραψε τῆς βουλῆς, ὡς ἄριστον ἄνδρα καὶ πρῶτον· Κάτωνι δ' εἰς ἔχθραν ἦλθε, συμφορᾷ τοιαύτῃ χρησάμενος. Ἀδελφὸς ἦν Τίτῳ Λεύκιος Φλαμινῖνος, οὔτε τἄλλα προσεοικὼς ἐκείνῳ τὴν φύσιν, ἔν τε ταῖς ἡδοναῖς ἀνελεύθερος δεινῶς, καὶ ὀλιγωρότατος τοῦ πρέποντος. Τούτῳ συνῆν μειρακίσκος ἐρώμενος, ὃν καὶ στρατιᾶς ἄρχων ἐπήγετο, καὶ διέπων ἐπαρχίας εἶχεν ἀεὶ περὶ αὐτόν. Ἐν οὖν πότῳ τινὶ θρυπτόμενος πρὸς τὸν Λεύκιον, οὕτως ἔφη σφόδρα φιλεῖν αὐτὸν, ὥστε θέαν μονομάχων ἀπολιπεῖν, οὔπω γεγονὼς ἀνθρώπου φονευομένου θεατὴς, τὸ πρὸς ἐκεῖνον ἡδὺ τοῦ πρὸς αὐτὸν ἐν πλείονι λόγῳ θέμενος. Ὁ δὲ Λεύκιος ἡσθείς· Οὐδὲν, ἔφη, δεινόν· ἰάσομαι γὰρ ἐγώ σου τὴν ἐπιθυμίαν. Καὶ κελεύσας ἕνα τῶν καταδίκων ἐκ τοῦ δεσμωτηρίου προαχθῆναι, καὶ τὸν ὑπηρέτην μεταπεμψάμενος, ἐν τῷ συμποσίῳ προσέταξεν ἀποκόψαι τοῦ ἀνθρώπου τὸν τράχηλον. Οὐαλέριος δ' Ἀντίας οὐκ ἐρωμένῳ φησὶν, ἀλλ' ἐρωμένῃ τοῦτο χαρίσασθαι τὸν Λεύκιον. Ὁ δὲ Λίβιος ἐν λόγῳ Κάτωνος αὐτοῦ γεγράφθαι φησὶν, ὡς Γαλάτην, αὐτόμολον ἐλθόντα μετὰ παίδων καὶ γυναικὸς ἐπὶ τὰς θύρας, δεξάμενος εἰς τὸ συμπόσιον ὁ Λεύκιος, ἀπέκτεινεν ἰδίᾳ χειρὶ, τῷ ἐρωμένῳ χαριζόμενος. Τοῦτο μὲν οὖν εἰκὸς εἰς δείνωσιν εἰρῆσθαι τῆς κατηγορίας ὑπὸ τοῦ Κάτωνος. Ὅτι δ' οὐκ αὐτόμολος ἦν, ἀλλὰ δεσμώτης ὁ ἀναιρεθεὶς, καὶ ἐκ τῶν καταδίκων, ἄλλοι τε πολλοὶ, καὶ Κικέρων ὁ ῥήτωρ ἐν τῷ Περὶ γήρως, αὐτῷ Κάτωνι τὴν διήγησιν ἀναθεὶς, εἴρηκεν.

ΙΘ. Ἐπὶ τούτῳ Κάτων τιμητὴς γενόμενος, καὶ καθαίρων τὴν σύγκλητον, ἀπήλασε τῆς βουλῆς τὸν Λεύκιον, ὑπατικοῦ μὲν ἀξιώματος ὄντα, συνατιμοῦσθαι δὲ τοῦ ἀδελφοῦ δοκοῦντος αὐτῷ. Διὸ καὶ προσελθόντες εἰς τὸν δῆμον ἀμφότεροι ταπεινοὶ καὶ δεδακρυμένοι, μέτρια δεῖσθαι τῶν πολιτῶν ἐδόκουν, ἀξιοῦντες αἰτίαν εἰπεῖν τὸν Κάτωνα καὶ λόγον, ᾧ χρησάμενος, οἷον ἔνδοξον ἀτιμίᾳ τοσαύτῃ περιέβαλεν. Οὐδὲν οὖν ὑποσειλάμενος ὁ Κάτων προῆλθε, καὶ καταξὰς μετὰ τοῦ συνάρχοντος, ἠρώτησε τὸν Τίτον, εἰ γινώσκει τὸ συμπόσιον. Ἀρνουμένου δ' ἐκείνου, διηγησάμενος, εἰς ὁρκισμὸν προεκαλεῖτο τὸν Λεύκιον, εἴ τι φησὶ τῶν εἰρημένων μὴ ἀληθὲς εἶναι. Τοῦ δὲ Λευκίου σιωπήσαντος, ὁ μὲν δῆμος ἔγνω δικαίαν γεγονέναι τὴν ἀτιμίαν, καὶ τὸν Κάτωνα προέπεμψε λαμπρῶς ἀπὸ τοῦ βήματος. Ὁ δὲ Τίτος, τῇ συμφορᾷ τοῦ ἀδελφοῦ περιπαθὴς, συνέζη μετὰ τῶν πάλαι μισούντων τὸν Κάτωνα, καὶ πάσας μὲν, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν δημοσίων ἐκδόσεις καὶ μισθώσεις καὶ ὠνὰς ἠκύρωσε καὶ ἀνέλυσεν, ἐν τῇ βουλῇ κρατήσας· πολλὰς δὲ καὶ μεγάλας δίκας κατ' αὐτοῦ παρεσκεύασεν, οὐκ οἶδ' ὅπως εὖ καὶ πολιτικῶς, καὶ πρὸς ἄρχοντα νόμιμον καὶ πολίτην ἄριστον, ὑπὲρ ἀνδρὸς οἰκείου μὲν, ἀναξίου δὲ, καὶ τὰ προσήκοντα πεπονθότος, ἀνήκεστον ἔχθραν ἀράμενος. Οὐ μὴν ἀλλὰ τοῦ Ῥωμαίων ποτὲ δήμου θέαν ἔχοντος ἐν τῷ θεάτρῳ, καὶ τῆς βουλῆς, ὥσπερ εἴωθεν, ἐν κόσμῳ προκαθημένης, ὀφθεὶς ὁ Λεύκιος ἐπ' ἐσχάτοις που καθήμενος ἀτίμως καὶ ταπεινῶς, οἶκτον ἔσχε· καὶ τὸ πλῆθος οὐκ ἠνέσχετο τὴν ὄψιν, ἀλλ' ἐβόων, μεταβῆναι κελεύοντες, ἕως μετέβη, δεξαμένων αὐτὸν εἰς ἑαυτοὺς τῶν ὑπατικῶν.

Κ. Τὸ δ' οὖν φύσει τοῦ Τίτου φιλότιμον, ἄχρι μὲν ἱκανὴν εἶχεν ὕλην, περὶ τοὺς εἰρημένους πολέμους διατρίβοντος, εὐδοκίμει· καὶ γὰρ ἐχιλιάρχησεν αὖθις μετὰ τὴν ὑπατείαν, οὐδενὸς ἐπείγοντος. Ἀπαλλαγεὶς δὲ τοῦ ἄρχειν, καὶ πρεσβύτερος ὢν, ἠλέγχετο

ἠλέγχετο μᾶλλον, ἐνοφκέχοντι πράξεις ἔτι τῷ λοιπῷ βίῳ, σπαργῶν τε πρὸς δόξαν, καὶ νεανίζοντι τῷ πάθει κατέχειν ἑαυτὸν οὐδυνάμενος· τοιαύτη γάρ τινι καὶ τὸ περὶ Ἀννίβαν φορᾷ ἐδόκει πράξας ἐπαχθὴς γενέσθαι τοῖς πολλοῖς. Ὁ γὰρ Ἀννίβας, οἴκοθεν μὲν ἐκ Καρχηδόνος ὑπεκδρὰς, Ἀντιόχῳ συνῆν· Ἐκείνου δὲ μετὰ τὴν ἐν Φρυγίᾳ μάχην εἰρήνης ἀγαπητῶς τυχόντος, αὖθις φυγὼν καὶ πλανηθεὶς πολλὰ, τέλος ἐν τῇ Βιθυνίᾳ κατέστη, Προυσίαν θεραπεύων, οὐδενὸς Ῥωμαίων ἀγνοοῦντος, ἀλλὰ παρορώντων ἁπάντων δὶ ἀσθένειαν καὶ γῆρας, ὥσπερ ἐρριμένον ὑπὸ τῆς τύχης. Τίτος δὲ πρεσβευτὴς διέτερας δή τινας πράξεις ὑπὸ τῆς βουλῆς πρὸς τὸν Προυσίαν ἀφικόμενος, καὶ τὸν Ἀννίβαν ἰδὼν αὐτόθι διαιτώμενον, ἠγανάκτησεν, εἰ ζῇ, καὶ, πολλὰ τοῦ Προυσίου δεομένου καὶ λιπαροῦντος ὑπὲρ ἀνδρὸς ἱκέτου καὶ συνήθους, οὐ παρῆκε. Χρησμοῦ δέ τινος, ὡς ἔοικε, παλαιοῦ περὶ τῆς Ἀννίβου τελευτῆς οὕτως ἔχοντος,

Λίβυσσα κρύψει βῶλος Ἀννίβου δέμας,

ὁ μὲν ἄρα Λιβύην ὑπενόει καὶ τὰς ἐν Καρχηδόνι ταφὰς, ὡς ἐκεῖ καταβιωσόμενος. Ἐν δὲ Βιθυνίᾳ τόπος ἐστὶ θινώδης ἐπὶ θαλάσσης, καὶ πρὸς αὐτῷ κώμη τις οὐ μεγάλη, Λίβυσσα καλεῖται· περὶ ταύτην ἔτυχε διατρίβων Ἀννίβας. Ἀεὶ δ' ἀπιστῶν τῇ τοῦ Προυσίου μαλακίᾳ, καὶ φοβούμενος τοὺς Ῥωμαίους, τὴν οἰκίαν ἔτι πρότερον ἐξόδοις ἑπτὰ καταγείοις συντετρημένην ἐκ τῆς ἑαυτοῦ διαίτης εἶχεν, ἄλλου κατ' ἄλλο τῶν ὑπονόμων, πόῤῥω δὲ πάντων ἀδήλως ἐκφερόντων. Ὡς οὖν ἤκουσε τότε τὸ πρόσταγμα τοῦ Τίτου, φεύγειν μὲν ὥρμησε διὰ τῶν ὑπονόμων, ἐντυχὼν δὲ φυλακαῖς βασιλικαῖς, ἔγνω δὶ αὐτοῦ τελευτᾶν. Ἔνιοι μὲν οὖν λέγουσιν, ὡς ἱμάτιον τῷ τραχήλῳ περιβαλὼν, καὶ κελεύσας οἰκέτῃ, ὄπισθεν ἐρείσαντα κατὰ τοῦ ἰνίου τὸ γόνυ, καὶ σφοδρῶς ἀνακλάσαντα, συντεῖναι καὶ περιστρέψαι, μέχρις ἂν ἐκθλίψας τὸ πνεῦμα διαφθείρειεν αὐτόν· ἔνιοι δὲ, μιμησάμενον Θεμιστοκλέα

καὶ Μίδαν, αἷμα ταύρειον ποιεῖν. Λίβιος δέ φησι φάρμακον ἔχοντα κεράσαι, καὶ τὴν κύλικα δεξάμενον, εἰπεῖν· « Ἀναπαύσωμεν ἤδη ποτὲ τὴν πολλὴν φροντίδα Ῥωμαίων, οἳ μακρὸν ἡγήσαντο καὶ βαρὺ, μισουμένου γέροντος ἀναμεῖναι θάνατον. Οὐ μὴν οὐδὲ Τίτος ἀξιοζήλωτον ἀποίσεται νίκην, οὐδὲ τῶν προγόνων ἀξίαν, οἳ Πύρρῳ πολεμοῦντι καὶ κρατοῦντι τὴν μέλλουσαν ὑποπέμψαντες κατεμήνυσαν φαρμακείαν ».

ΚΑ. Οὕτω μὲν τὸν Ἀννίβαν ἀποθανεῖν λέγουσιν· Ἀπαγγελθέντων δὲ τούτων πρὸς τὴν σύγκλητον, οὐκ ὀλίγοις ἐπαχθὴς ἔδοξεν ὁ Τίτος, καὶ περιττὸς ἄγαν καὶ ὠμὸς, ὥσπερ ὄρνιν, ὑπὸ γήρως ἀπτῆνα καὶ κόλουρον, ἀφειμένον ζῆν χειρώθη, τὸν Ἀννίβαν ἀποκτείνας, οὐδενὸς ἐπείγοντος, ἀλλὰ διὰ δόξαν, ὡς ἐπώνυμος τοῦ θανάτου γένοιτο. Καὶ τὴν Ἀφρικανοῦ Σκιπίωνος ἐκτιθέντες πραότητα καὶ μεγαλοψυχίαν, ἔτι μᾶλλον ἐθαύμαζον· ὃς ἀήττητον ὄντα καὶ φοβερὸν ἐν Λιβύῃ καταπολεμήσας Ἀννίβαν, οὔτ' ἐζήλωσεν, οὔτ' ἐξητήσατο παρὰ τῶν πολιτῶν· ἀλλὰ καὶ πρὸ τῆς μάχης εἰς λόγους ἐλθὼν ἐδεξιώσατο, καὶ μετὰ τὴν μάχην σπενδόμενος, οὐδὲν ἐπετόλμησεν, οὐδ' ἐπενέβη τῇ τύχῃ τοῦ ἀνδρός. Λέγεται δ' αὖθις ἐν Ἐφέσῳ συμβαλεῖν αὐτοὺς, καὶ πρῶτον μὲν, ἐν τῷ συμπεριπατεῖν τοῦ Ἀννίβου τὴν προσήκουσαν ἐν ἀξιώματι τάξιν ἐκείνῳ προλαβόντος, ἀνέχεσθαι καὶ περιπατεῖν ἀφελῶς τὸν Ἀφρικανόν· ἔπειτα, λόγου περὶ στρατηγῶν ἐμπεσόντος, καὶ τοῦ Ἀννίβου κράτιστον ἀποφηναμένου γεγονέναι τῶν στρατηγῶν Ἀλέξανδρον, εἶτα Πύρρον, τρίτον δ' αὑτὸν, ἡσυχῇ μειδιάσαντα τὸν Ἀφρικανὸν εἰπεῖν· Τί δ', εἰ μή σε ἐγὼ νενικήκειν; καὶ τὸν Ἀννίβαν· Οὐκ ἄν, ὦ Σκιπίων, φάναι, τρίτον ἐμαυτὸν, ἀλλὰ πρῶτον ἐποιούμην τῶν στρατηγῶν. Ταῦτα δὴ τοῦ Σκιπίωνος οἱ πολλοὶ θαυμάζοντες, ἐκάκιζον τὸν Τίτον, ὡς ἀλλοτρίῳ νεκρῷ προσενεγκόντα τὰς χεῖρας. Ἔνιοι δ' ἦσαν οἱ τὸ πεπραγμένον ἐπαινοῦντες καὶ τὸν Ἀννίβαν ἕως ἔζη, πῦρ ἡγού-

μενοι δεόμενον τοῦ ῥιπίσοντος. Μηδὲ γὰρ ἀκμάζοντος αὐτοῦ τὸ σῶμα Ῥωμαίοις καὶ τὴν χεῖρα φοβερὰν, ἀλλὰ τὴν δεινότητα καὶ τὴν ἐμπειρίαν γεγονέναι μετὰ τῆς ἐμφύτου πικρίας καὶ δυσμενείας· ὧν οὐδὲ ἀφαιρεῖ τὸ γῆρας. Ἀλλ' ὑπομένειν (μὲν) τὴν φύσιν ἐν τῷ ἤθει, τὴν δὲ τύχην οὐ διαμένειν ὁμοίαν· ἀλλὰ μεταπίπτουσαν, ἐκκαλεῖσθαι ταῖς ἐλπίσι πρὸς τὰς ἐπιθέσεις τοὺς ἀεὶ τῷ μισεῖν πολεμοῦντας. Καὶ τὰ ὕστερά πως ἔτι μᾶλλον ἐμαρτύρησε τῷ Τίτῳ· τοῦτο μὲν Ἀριστόνικος ὁ τοῦ κιθαρῳδοῦ, διὰ τὴν Εὐμένους δόξαν ἐμπλήσας ἅπασαν ἀποστάσεων καὶ πολέμων τὴν Ἀσίαν· τοῦτο δὲ Μιθριδάτης, μετὰ Σύλλαν καὶ Φιμβρίαν, καὶ τοσοῦτον ὄλεθρον στρατευμάτων καὶ στρατηγῶν, αὖθις ἐπὶ Λεύκουλλον ἐκ γῆς ὁμοῦ καὶ θαλάττης ἀναζὰς τηλικοῦτος. Οὐ μὴν οὐδὲ Γαΐου Μαρίου ταπεινότερος Ἀννίβας ἔκειτο. Τῷ μὲν γὰρ βασιλεῖ φίλος ὑπῆρχε, καὶ βίος συνήθης, καὶ διατριβαὶ περὶ ναῦς καὶ ἵππους καὶ στρατιωτῶν ἐπιμέλειαν. Τὰς δὲ Μαρίου τύχας Ῥωμαῖοι γελῶντες, ἀλωμένου καὶ πτωχεύοντος ἐν Λιβύῃ, μετὰ μικρὸν ἐν Ῥώμῃ σφαττόμενοι καὶ μαστιγούμενοι προσεκύνουν. Οὕτως οὐδὲν οὔτε μικρὸν, οὔτε μέγα τῶν παρόντων πρὸς τὸ μέλλον ἐστὶν, ἀλλὰ μία τοῦ μεταβάλλειν τελευτὴ ἡ καὶ τοῦ εἶναι. Διὸ καί φασιν ἔνιοι, τὸν Τίτον οὐκ ἀφ' ἑαυτοῦ ταῦτα πρᾶξαι, πεμφθῆναι δὲ πρεσβευτὴν μετὰ Λευκίου Σκιπίωνος, οὐδὲν ἄλλο τῆς πρεσβείας ἐχούσης ἔργον, ἢ τὸν Ἀννίβου θάνατον. Ἐπεὶ δὲ οὐδεμίαν ἔτι τούτων κατόπιν οὔτε πολιτικὴν τοῦ Τίτου πρᾶξιν, οὔτε πολεμικὴν, ἱστορήκαμεν, ἀλλὰ καὶ τελευτῆς ἔτυχεν εἰρηνικῆς, ὥρα τὴν σύγκρισιν ἐπισκοπεῖν.

ΦΙΛΟΠ. ΚΑΙ Τ. ΚΟΙΝΤ. ΦΛΑΜ.

ΣΥΓΚΡΙΣΙΣ.

Μεγέθει μὲν οὖν τῶν εἰς τοὺς Ἕλληνας εὐεργεσιῶν, οὔτε Φιλοποίμενα Τίτῳ παραβάλλειν, οὔτε πάνυ πολλοὺς τῶν Φιλοποίμενος ἀμεινόνων ἀνδρῶν ἄξιόν ἐστι. Τοῖς μὲν γὰρ Ἕλλησι πρὸς Ἕλληνας ὁ πόλεμος, τῷ δ' οὐχ Ἕλληνι, καὶ ὑπὲρ Ἑλλήνων· Καὶ ὅτε Φιλοποίμην, ἀμηχανῶν τοῖς ἑαυτοῦ πολίταις ἀμύνειν πολεμουμένοις, εἰς Κρήτην ἀπῆρε, τότε νικήσας Τίτος ἐν μέσῃ τῇ Ἑλλάδι Φίλιππον, ἠλευθέρου καὶ τὰ ἔθνη καὶ πόλεις ἁπάσας. Εἰ δέ τις ἐξετάζοι τὰς μάχας ἑκατέρου, πλείους Ἕλληνας Φιλοποίμην Ἀχαιῶν στρατηγῶν, ἢ Μακεδόνας Τίτος Ἕλλησι βοηθῶν, ἀνεῖλε. Τὰ τοίνυν ἁμαρτήματα, τοῦ μὲν φιλοτιμίας, τοῦ δὲ φιλονεικίας γέγονε· καὶ πρὸς ὀργὴν ὁ μὲν εὐκίνητος, ὁ δὲ καὶ δυσπαραίτητος. Τίτος μὲν γὰρ καὶ Φιλίππῳ τὸ ἀξίωμα τῆς βασιλείας ἐφύλαξε, καὶ πρὸς Αἰτωλοὺς εὐγνωμόνησε· Φιλοποίμην δὲ τῆς πατρίδος δι' ὀργὴν ἀφείλετο τὴν περιοικίδα συντέλειαν. Ἔτι δ' ὁ μὲν τοῖς εὖ παθοῦσιν ἀεὶ βέβαιος, ὁ δὲ θυμῷ λύσαι χάριν ἕτοιμος. Λακεδαιμονίων μὲν γὰρ εὐεργέτης πρότερον ὤν, ὕστερον καὶ τὰ τείχη κατέκαψε, καὶ τὴν χώραν περιέκοψε, καὶ τέλος αὐτὴν μετέβαλε καὶ διέφθειρε τὴν πολιτείαν. Ἐδόκει δὲ καὶ τὸν βίον ὀργῇ προέσθαι καὶ φιλονεικείᾳ, μὴ κατὰ καιρὸν, ἀλλ' ὀψέτερον τοῦ δέοντος, εἰς Μεσσήνην ἐπειχθείς, οὐχ, ὥσπερ Τίτος, πάντα λογισμῷ καὶ πρὸς ἀσφάλειαν στρατηγήσας.

Β. Ἀλλὰ πλήθει γε πολέμων καὶ τροπαίων ὁ Φιλοποίμενος ἐμπειρία βεβαιοτέρα. Τῷ μὲν γὰρ τὰ πρὸς Φίλιππον ἐκρίθη δυοῖν

ἀγώνων· ὁ δὲ, μυρίας μάχας κατορθώσας, οὐδεμίαν ἀμφισβήτησιν τῇ τύχῃ πρὸς τὴν ἐπιστήμην ἀπολέλοιπεν. Ἔτι δ' ὁ μὲν, τῇ Ῥωμαίων ἀκμὴν ἐχούσῃ δυνάμει χρησάμενος, ὁ δὲ τῆς Ἑλλάδος ἤδη φθινούσης ἐπακμάσας, δόξαν ἔσχεν· ὥστε τοῦ μὲν ἴδιον, τοῦ δὲ κοινὸν ἔργον εἶναι τὸ κατορθούμενον. Ὁ μὲν γὰρ ἦρχεν ἀγαθῶν, ὁ δ' ἄρχων ἀγαθοὺς ἐποίει. Καὶ μὴν τόγε πρὸς Ἕλληνας τούτῳ γενέσθαι τοὺς ἀγῶνας, οὐκ εὐτυχῆ μὲν, ἰσχυρὰν δὲ τῆς ἀρετῆς ἀπόδειξιν παρεῖχεν· οἷς γὰρ ὅμοια τἄλλα, τῷ προὔχειν ἀρετῇ κρατοῦσι. Καὶ γὰρ δὴ πολεμικωτάτοις Ἑλλήνων Κρησὶ καὶ Λακεδαιμονίοις πολεμήσας, τῶν μὲν πανουργοτάτων δόλῳ, τῶν δ' ἀλκιμωτάτων τόλμῃ περιεγένετο. Πρὸς δὲ τούτοις, Τίτος μὲν ἐξ ὑποκειμένων ἐνίκα, χρώμενος ὁπλισμοῖς καὶ τάξεσιν, αἷς παρέλαβε· Φιλοποίμην δ' αὐτὸς ἐπεισενεγκὼν, καὶ μεταβαλὼν τὸν περὶ ταῦτα κόσμον· ὥστε τὸ νικητικώτατον ὑφ' οὗ μὲν οὐκ ὂν εὑρῆσθαι, τῷ δ' ὑπάρχον βοηθεῖν. Κατὰ χεῖρα τοίνυν Φιλοποίμενος μὲν ἔργα πολλὰ καὶ μεγάλα, θατέρου δ' οὐδέν. Ἀλλὰ καὶ τῶν Αἰτωλῶν τις αὐτὸν Ἀρχέδημος ἐπέσκωπτεν, ὡς, ὅτ' αὐτὸς ἐσπασμένος τὴν μάχαιραν, ἔθει δρόμῳ πρὸς τοὺς μαχομένους, καὶ τοὺς συνεσῶτας τῶν Μακεδόνων, τοῦ Τίτου τὰς χεῖρας εἰς τὸν οὐρανὸν ὀπτίας ἀνατεινόντος, ἑσῶτος καὶ προσευχομένου.

Γ. Καὶ μὴν Τίτῳ μὲν ἄρχοντι συνέβη καὶ πρεσβεύοντι πάντα πρᾶξαι τὰ καλά· Φιλοποίμην δ' οὐ χείρονα παρέσχεν, οὐδ' ἀπρακτότερον ἑαυτὸν ἰδιώτην, ἢ στρατηγὸν, τοῖς Ἀχαιοῖς. Στρατηγὸς μὲν γὰρ ὢν, Νάβιν ἐξέβαλεν ἐκ Μεσσήνης, καὶ Μεσσηνίους ἠλευθέρωσεν· ἰδιώτης δὲ, Διοφάνην τὸν στρατηγὸν, καὶ Τίτον ἐπερχομένους ἀπέκλεισε τῆς Σπάρτης, καὶ Λακεδαιμονίους διέσωσεν. Οὕτως ἡγεμονικὴν φύσιν ἔχων, οὐ κατὰ τοὺς νόμους, ἀλλὰ καὶ τῶν νόμων ἄρχειν ἠπίστατο πρὸς τὸ συμφέρον· οὐ δεόμενος παρὰ τῶν ἀρχομένων λαβεῖν τὸ ἄρχειν, ἀλλὰ χρώμενος

αὐτὸς, ὅπου καιρὸς εἴη, τὸν ὑπὲρ αὐτῶν φρονοῦντα μᾶλλον, ἢ τὸν ὑπ' αὐτῶν ἠρημένον, ἡγούμενος στρατηγόν. Γενναῖα μὲν οὖν Τίτου τὰ πρὸς τοὺς Ἕλληνας ἐπιεικῆ καὶ φιλάνθρωπα, γενναιότερα δὲ Φιλοποίμενος τὰ πρὸς τοὺς Ῥωμαίους ὀχυρὰ καὶ φιλελεύθερα· ῥᾷον γὰρ χαρίζεσθαι τοῖς δεομένοις, ἢ λυπεῖν ἀντιτείνοντα τοὺς δυνατωτέρους. Ἐπεὶ δ' οὕτως ἐξεταζομένων δυσθεώρητος ἡ διαφορὰ, σκόπει, μὴ τῷ μὲν Ἕλληνι τὸν ἐμπειρίας πολεμικῆς καὶ στρατηγίας στέφανον, τῷ δὲ Ῥωμαίῳ τὸν δικαιοσύνης καὶ χρηστότητος ἀποδιδόντες, οὐ φαύλως διαιτᾶν δόξωμεν.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΑ

ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΑ.

ΑΛΚΙΒΙΑΔΗΣ

ΣΕΛΙΔ. 1, στ. 8, Φιλανθρωπίας.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Φιλίας.

ΣΕΛΙΔ. 2, στ. 2, Τὸ μὲν Ἀντισθένης.) Τὸ περὶ τῆς Ἀμύκλας. --- Τὸ δὲ Πλάτων.) Τὸ περὶ τοῦ Ζωπύρου (Πλατ. Ἀλκιβιάδ. Α, σελ. 122). --Στ. 13, Ὁλᾷς Θέωλον; τὴν κεφαλὴν κόλακος ἔχει.) Κατὰ τὸν τρόπον τῶν τραυλιζόντων δηλονότι, ἀντὶ τοῦ, Ὁρᾷς Θέωλον; τὴν κεφαλὴν κόρακος ἔχει. Τὰ δὲ ἰαμβεῖα ἐκ τῶν Ἀριστοφάνους Σφηκῶν (στ. 44-46), ὅπου μέντοι γράφεται, "Ὁλᾷς; Θέωλος τὴν κ. τ. λ. ,, --- Στ. 17, Κλασαυχενεύεται.) Τουτέστι, Κλᾷ τὸν αὐχένα. Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Κλαυσαυχενεύεται· ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ διώρθουν γράφοντες, Κλασαυχενεύεται. Ἔστι δὲ ἰαμβεῖον ἐντελές,

Κλασαυχενεύεταί τε καὶ τραυλίζεται.

--- Στ. 19, Ἀνομοιότητας πρὸς αὐτὸ καὶ μεταβολάς.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀνομοιότητας καὶ πρὸς αὐτὸ μεταβολάς. — Στ. 23, Πιεζούμενος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Πιεζόμενος — Στ. 24, Ἄμματα.) Ἡρμηνεύθη ἡ λέξις ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 359 καὶ 363.)

ΣΕΛΙΔ. 3, στ: 5, Καὶ μετὰ βοῆς συνδραμεῖν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μετὰ βοῆς καὶ συνδραμεῖν. ---Στ. 18. Διῆλθεν ὁ λόγος.) Δ. Γ. Διῆλθε λόγος. --- Στ. 27, Τῶν ἀκολουθούντων.) Τῶν ἰδίων οἰκετῶν. --- Σιβυρτίου.) Ὁ αὐτὸς ἔοικεν εἶναι τῷ Σιβυρτίῳ, οὗ ὁ Κωμικὸς (Ἀχαρν. 118) μνημονεύει. --Στ. 29, Ἄ γε) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἄτε.

ΣΕΛΙΔ. 4, στ. 8, Οὐδένα) Ἐκ τῆς Λατινικῆς καὶ Γαλατικῆς μεταφράσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐδέν. -- Στ. 11, Ὡς Ἀλκιβιάδης.)

Ἐξ Η. Δ. (ἢ συνάδουσι καὶ αἱ μεταφράσεις) ἀντὶ τοῦ, Ὅσοις Ἀλκιβιάδης· ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ ἐκ Δ. Γ. Οἷς Ἀλκιβιάδης. — Στ. 19, Ἔπτηξ' ἀλέκτωρ κ. τ. λ.) Κέχρηται καὶ ἀλλαχοῦ (Πελοπίδ. § 29, καὶ Ἐρωτικ. § 18) τῷ ἰαμβείῳ τῳδί. Προσσημειοῦται δ' ὁ Πόρτος ἐνθάδε ταυτί· "Ἀντὶ τοῦ, Δοῦλον ὡς, ἄμεινον ἐν τῷ Πελοπίδᾳ γράφεται, Δοῦλος ,, ὥς· νοητὴ μέντοι καὶ ἡ ἑτέρα γραφή. Ἔπτηξεν ὡς Ἀλέκτωρ κλίνας ,, δοῦλον πτερόν,, . — Στ. 20, Θεῶν ὑπηρεσίαν). Ἔπιθι τὰ ἀλλαχοῦ (Θησ. καὶ Ῥωμύλ. σύγκρ. Μέρ. Α, σελ. 379) περὶ τούτου σημειωθέντα. — Στ. 23, Ὥς φησιν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἢ ὥς φησιν. Εἰκὸς δὲ τὸ Η οὐ κατὰ σύνδεσμον διαζευκτικὸν (Ἤ) γεγράφθαι τὸ πάλαι, ἀλλὰ καθ' ὁμοιωματικὸν ἐπίρρημα (Ἦ φησιν) ὡς διάφορον γραφήν], προσγεγράφθαι τῷ Ὥς φησιν. Λέγει δὲ τοῦτο Σωκράτης παρὰ τῷ Πλάτωνι (Φαίδρ. σελ. 255) περὶ τοῦ σώφρονος ἔρωτος τὸν λόγον ποιούμενος, "Ὅταν δὲ ἁπῇ (ὁ ἐρῶν), κατὰ ταὐτὰ αὖ πο- ,, θεῖ καὶ ποθεῖται (ὁ ἐρώμενος,) εἴδωλον ἔρωτος, ἀντ' ἔρωτος ἔχων ,, , τουτέστιν, ἀντὶ τοῦ περὶ τὸ σῶμα καλινδουμένου ἔρωτος, εἴδωλον ἐκείνου, τὸν τῆς ψυχῆς ἔρωτα, ᾧ καὶ ὁ ἐραστὴς καὶ ὁ ἐρώμενος ἐπὶ τὸ τελεώτερον ἄγονται, ὁ μὲν ὢν ἐκ τῆς φιλοσοφίας ὑπόρρηκε καλῶν μεταδιδοὺς ἀφθόνως τῷ ἐρωμένῳ, οὗτος δὲ παραλαμβάνων ὡς μαθητὴς τέως, ἕως ἂν ὅμοιος ἀποβῇ τῷ διδασκάλῳ. Ὅθεν καὶ καταφανὴς γίνεται ἡ τῶν κακοδαιμόνων τῆς φιλοσοφίας ἐχθρῶν ἀπόνοια, τοιαῦτα περὶ Σωκράτους οὐκ ἀκνησάντων λῆρῆσαι, οἷα οὐδ' οἱ συκοφάνται κατηγορῆσαι τοῦ ἀνδρὸς ἐτόλμησαν.— Στ. 24. Ἀντέρωτα.) Γραπτέον, Ἀντ' ἔρωτος, καθὰ φέρεται ἐν ᾧ φθὰς παρεσχόμην Πλατωνικῷ μαρτυρίῳ, ἢ ὑπολεπτέον τὸν Πλούταρχον Πλάτωνος ἀντιγράφῳ ἐντετυχηκέναι, ἐν ᾧ ἐφέρετο, Ἀντέρωτα.

ΣΕΛΙΔ. 5, στ. 8, Ἡμίση.) Ἐκ Δ. Γ. καὶ τῆς Γαλατικῆς Ἀμιότου μεταφράσεως, καὶ τοῦ Ἀθηναίου (ΙΒ, σελ. 534), ἀντὶ τοῦ, Μέρη.

ΣΕΛΙΔ. 6, στ. 2, Ἁπτομένων τε τῶν.) Προσέθηκαν οἱ πρὸ ἐμοῦ τὸν Τε. Δ. Γ. Ἁπτομένων τῶν: Ἁπτομένων δὲ τῶν.—Στ. 4, Ἐκχεόντων.) Σημειοῦ τὴν καινὴν χρῆσιν, ἀντὶ τοῦ, Ἐκχέειν ποιούντων.— Στ. 21, Λάθῃ.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Λάθοι. — Στ. 29, καὶ οὐχί.) Ἐξ Η. Δ. ἡ τοῦ συνδέσμου προσθήκη, ὃν ἐξέφρασε καὶ ὁ Ἀμιότος. Ἔστι δὲ γράφειν καὶ, Ἀλλ' οὐχί.

ΣΕΛΙΔ. 7, στ. 21, Συνθέμενος πρὸς τοὺς ἑταίρους.) Ἐπὶ τῆς μήπω κατακεχωρισμένης ἐν τοῖς λεξικοῖς σημασίας τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου, Βάλλω σοίχημα, τὸ Συντίθεμαι ἐνταῦθα, ὡς ὀρθῶς ἐξ-

εδέξατο ὁ Ἀμιότος· ἀνθ' οὗ Ὅμηρος, καὶ μετ' ἐκεῖνον Ἀριστοφάνης κέχρηνται, τῷ Περιδίδομαι. Εἴη δ' ἂν λέγειν καὶ, Περισυντίθεμαι, εἴ γε μὴ λέληθα κακῶς οἰόμενος εὑρηκέναι τὸ ἐξ αὐτοῦ ὀνοματικὸν, Περισυνθεσίη, ἐν τῷ τοῦ Ποσειδίππου (παρ' Ἀθηναίῳ, 1, σελ. 412) εἰς τὸν πολυφαγίστατον Θεαγένην ἐπιγράμματι, οὗ ἡ ἀρχὴ,

ΚΑΪΠΕΡ ΣΥΝΘΕΣΪΗΣ ἔφαγόν ποτε Μηόνιον βοῦν.

Γραπτέον γάρ, οἶμαι, ΕΚ ΠΕΡΙΣΥΝΘΕΣΪΗΣ ἔφαγον κ. τ. λ. Ὅτι δὲ τὸ, Καὶ, τῷ, Ἐκ, συνέχεαν ἔστιν ὅτε οἱ ἀντιγραφεῖς, ὥστε θάτερον ἀντὶ θατέρου, ἢ καὶ ἀμφότερα μηδὲν δέον ἐγγράψαι, δηλούσθω καὶ ἐκ τοῦδε τοῦ Λουκιανοῦ (Ἀλεξάνδρ. ἢ Ψευδόμαντ. § 24) τοῦ χωρίου, "Ἐπεὶ δὲ ἤδη πολλοὶ τῶν νοῦν ἐχόντων, ὥσπερ ΚΑΪ ΕΚ μέθης ,, βαθείας ἀναφέροντες, συνίσαντο κ. τ. λ. ,, ἔνθα περιαιρετέος ὁ εἰς μηδὲν χρήσιμος σύνδεσμος, Καί. — Στ. 27, Ὕστερον δὲ καί.) Ἐξ Ε. Δ. προσέθηκα τὸν Καί.

ΣΕΛΙΔ. 8. στ. 8, Ἕδει τὸ τῆς.) Δ. Γ. Ἐδεῖτο τῆς. — Στ. 10, Ἐπεξελθών.) Γραπτέον οἶμαι, Ἐπελθών· ἄλλο γάρ τι σημαίνει τὸ, Ἐπεξελθών. "Ἐπεξέρχεται, ἐκθικεῖ ,, φησὶν Ἡσύχιος. — Στ. 26, Ἔρεσθαι.) Οὕτω παρ' ἅπασι· σὺ δὲ γράφε κατ' ἀόριστον, Ἐρέσθαι. — Στ. 27, Γίνεσθαι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Γενέσθαι.

ΣΕΛΙΔ. 9, στ. 1, Πολλοὺς δὲ συνθηρᾶν.) Γραπτέον οἶμαι μετὰ διπλοῦ συνδέσμου, Πολλοὺς δὲ καὶ συνθηρᾶν. — Στ. 25, Κάλλιστον δ'.) Ἐξ Ε. Δ. ἡ τοῦ συνδέσμου προσθήκη. — Στ. 30, Τρὶς στεφθέντ' ἐλαίᾳ.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Δὶς στεφθέντα ἐλαίᾳ.

ΣΕΛΙΔ. 10, στ. 2, Πόλεων.) Ἐκ Δ. Γ. καὶ τῆς τοῦ Ἀμιότου μεταφράσεως, ἀντὶ τοῦ Πολεμίων, οἱ πρὸ ἐμοῦ. — Στ. 5, Καὶ μὴν καί.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Καὶ μὴν ἀλλὰ καί· ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ ἐκ Δ. Γ. γεγράφασιν, Οὐ μὴν ἀλλὰ καί. Ἑτέρα Δ. Γ. Ἀλλὰ καί. — Στ. 14, Ἰσοκράτει.) Ἔπιθι περὶ τούτου τὰ εἰς τὸν Ἰσοκράτην (Μέρ. Β, σελ. 251) σημειωθέντα μοι. — Στ. 27, Ὑπὸ Φαίακος.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ ἀπροθέτου, Φαίακος, ὃ οἱ πρὸ ἐμοῦ ἔτρεψαν εἰς τὸ Φαίακι. Ἔστι δ' ὁ ὑπὸ Φαίακος γεγραμμένος λόγος οὗτος, ὃς, φέρεται νῦν ὑπὸ τῷ Ἀνδοκίδου ὀνόματι, Κατὰ Ἀλκιβιάδου ἐπιγραφόμενος· περὶ οὗ ἔπιθι τὰς εἰς τὸ προκείμενον χωρίον Γαλατικὰς σημειώσεις (Ἀμιότου μεταφρ. Τομ. Β, σελ. 485, καὶ Τόμ. Ε, σελ. 456—458) τοῦ φίλου Κλαυερίου.

ΣΕΛΙΔ. 11, στ. 13, Κατὰ τοῦ Ὑπερβόλου.) Ἐκ Δ. Γ. καὶ τῆς Ἀμιότου μεταφράσεως, ἀντὶ τοῦ ἀδιανοήτου, Τῷ Ὑπερβόλῳ κάτω.) Στ. 25,

Ἀλκιβιάδης.) Ἐκ Δ. Γ. Οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Νικίας. ὅπερ ἄμεινον ἦν ἐᾶν κατὰ χώραν, καθάπερ εὕρηται καὶ παρὰ τῷ Ἀμιότῳ. Καὶ γὰρ καὶ ἐν τῷ Νικίου βίῳ (§ 9) Πλούταρχος τὸν Νικίαν, οὐ τὸν Ἀλκιβιάδην, φησὶ, τεθεραπευκέναι τοὺς περὶ Πύλον ἁλόντας τῶν Λακεδαιμονίων. — Στ. 29, Αὐτοῖς.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Αὐτούς. --Στ. 30, Νικίειον.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Νίκειον.

ΣΕΛΙΔ. 12, στ. 3, Φόβῳ.) Δ. Γ. (ᾗ συμφέρεται καὶ ὁ Ἀμιότος), Φθόνῳ, ὅπερ ἄμεινον. -- Στ. 13, Ἀποληφθέντας.) Ἐξ Η. Δ. ἣν ἐξέφρασε καὶ Ἀμιότος (enfermés) καὶ πιςοῦται ὁ Παυσανίας (Δ, κς΄), ἀντὶ τοῦ, Ἀπολειφθέντας. --Στ. 16, Κωλύει). Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Κωλύειν. —Στ. 22, Τοῦ δὲ δήμου.) Τοῦ τε δήμου, ἔγραψαν οἱ πρὸ ἐμοῦ, καλῶς μὲν, οὔ γε μὴν ἀναγκαίως.

ΣΕΛΙΔ. 13, στ. 4, Αὐτοῦ.) Λείπει ἡ λέξις ἐν Δ. Γ. -- Στ. 5, Οὐ τυχόντος). Οὕτω παρ' ἅπασι· σὺ δὲ γράφε, Οὐ τοῦ τυχόντος. Τὸ μὲν γάρ, Οὐ τυχόντος, ἰσοδυναμεῖ τῷ Ἀποτυχόντος, ὅπερ ἀποςρέφεται ὁ νοῦς τοῦ προκειμένου χωρίου· τὸ δὲ, Οὐ τοῦ τυχόντος, ταὐτὸν βούλεται τῷ Οὐ μετρίου, οὐ ταπεινοῦ, οὐκ εὐκαταφρονήτου. — Τῇ δ' ὑςεραίᾳ.) Ὁ Ἀμιότος ἡρμήνευσε, Le lendemain au matin, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Τῇ δ' ὑςεραίᾳ ἕωθεν. — Στ. 9, Μετὰ κραυγῆς καὶ ὀργῆς.) Προσέθηκα τὰς τελευταίας δύο λέξεις ἔκ τε Δ. Γ. καὶ τοῦ Ἀμιότου. — Στ. 21, Ἀθηνῶν). Οὕτως οἱ πρὸ ἐμοῦ, ἐκ τῆς Ἀμιότου μεταφράσεως ὡρμημένοι, ἀντὶ τοῦ, Ἀθηναίων. — Στ. 25. Οἱ χίλιοι.) Ἐκ Δ. Γ. (ᾗ συμφέρεται καὶ ὁ Ἀμιότος) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οἱ χιλίαρχοι. Περὶ δὲ τῶν Χιλίων τούτων τῶν ἐν Ἄργει, ἔπιθι Θουκυδίδην (Ε, πά), Διόδωρον τὸν Σικελιώτην (ΙΒ, οθ΄), καὶ Παυσανίαν (Β, κ΄).

ΣΕΛΙΔ 14, στ. 8. Τὸν ἐν Ἀγραύλου προβαλλόμενον ἀεὶ τοῖς ἐφήβοις ὅρκον.) Τουτέστι, Τὸν ὅρκον, ὃς προεβάλλετο τοῖς ἐφήβοις ἐν τῷ ἱερῷ τῆς Ἀγραύλου, τῆς Κέκροπος θυγατρός. Καὶ τὸ μὲν Ἀγραύλου (ἀντὶ τοῦ Ἀγλαύρῳ) ἐξ Ε. Δ. παρειλήφασιν οἱ πρὸ ἐμοῦ· τὸ δὲ Προβαλλόμενον Η. Δ. ἀντὶ τοῦ Προβαλλόμενος, ὅπερ οἱ πρὸ ἐμοῦ ἔτρεψαν εἰς τὸ Προβαλλομένους. — Στ. 9, Ὀμνύουσι γὰρ ὅροις χρήσεσθαι κ. τ. λ.) Ἐξ Η. Δ. τὸ Χρήσεσθαι ἀντὶ τοῦ βαρβάρου Χρήσασθαι Καὶ ὁ μὲν ὅρκος παρ' οὐδενὶ ἑτέρῳ εὕρηται πλὴν Πλουτάρχῳ· ὁ δὲ νοῦς, ὡς ἡρμήνευσεν Ἀμιότος, Ὀμνύουσιν, ὁπουδήποτε γῆς πυροὶ, κριθαὶ, ἄμπελοι καὶ ἐλαῖαι φύονται, ἐκεῖ καὶ τοὺς ὅρους ἡγήσεσθαι πεπῆχθαι τῆς Ἀττικῆς, τουτέστιν, ὡς οἰκείας ἀντιποιήσεσθαι τῆς τοιούτους καρποὺς φερούσης γῆς. — Στ. 13, Πολλὴν αὖ πάλιν. . . .

Ἅπερ ὁρῶντες κ. τ. λ.) Οἱ μὲν συνυπακουσέον τὸ Ἦν ὁρᾶν, ἤ τε ἕτερον τοιοῦτον, πρὸς ὃ φέροιντο αἱ αἰτιατικαί, ὑπειλήφασιν εἶναι· οἱ δὲ διαγραπτέον τὸ Ἅπερ, ἵν' ᾖ τὸ ἑξῆς, Πολλὴν αὖ πάλιν... ὁρῶντες κ. τ. λ. — Στ. 14, Ὑβρίσματα, και.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ὑβρίσματά τε καί. — Στ. 24, Ποθεῖ μὲν κ.τ.λ.) Ἐκ τῶν Ἀριστοφάνους Βατράχων (στίχ. 1425 — 1432) ταῦτά τε καὶ τὰ ἑξῆς. — Στ. 25, Τῇ ὑπονοίᾳ.) Τῇ ἀλληγορίᾳ τοῦ λέοντος, τουτέστι διὰ τοῦ λέοντι παραβάλλειν τὸν Ἀλκιβιάδην, ὡς ὀρθῶς ἡρμήνευσέ τις τῶν πρὸ ἡμῶν. Καὶ αὐτὸς δὲ ὁ Πλούταρχος ἀλλαχοῦ (Πῶς δεῖ τὸν νέον ποιημ. ἀκ. § 4.) τὴν Ὑπόνοιαν ἐπὶ τῆς Ἀλληγορίας τοῖς πάλαι τετάχθαι φησίν· ἐφ' ἧς ἐννοίας ἐκδεκτέον εἶναι δοκεῖ τῷ σοφῷ Συείδερῳ (Λεξικ. Ἑλληνογερμ. λέξ. Ὑπόνοια), καὶ ἐν τῷ πολλὰ τοῖς ὑπομνηματισταῖς παρασχόντι πράγματα χωρίῳ τῷδε τοῦ Θουκυδίδου (Α, μά), "Οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε ὅσις ἔπεσι „ μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων ΤΗΝ ΥΠΟΝΟΙΑΝ Η ΑΛΗ- „ ΘΕΙΑ βλάψει „. Ὁ μὲν γὰρ ἡμέτερος Πόρτος ᾤετο κατ' ἐναλλαγὴν εἰρῆσθαι ἀντὶ τοῦ "Βλάψει δὲ τῇ τῶν ἔργων ὑπονοίᾳ τὴν ἀλήθειαν „· ὁ δὲ Στέφανος, ἀντὶ τοῦ, " Τῶν δ' ἔργων τὴν ἀλήθειαν ἡ ὑπόνοια „ βλάψει „· ἄλλοι δ' ἄλλως ἐξεδέξαντο καὶ ἔταξαν τὴν συνέπειαν τοῦ λόγου. Ἐφείσθω τοίνυν καὶ ἡμῖν τὸ δοκοῦν ἀποφήνασθαι, τὰς διαφόρους γραφὰς προηρευνηκόσιν. Εἰσὶ δ' αὗται (ἐν τῇ Βαυεριανῇ ἐκδ. Α, σελ. 312) δύο, ἡ μέν, " Τὴν ὑπόνοιαν ἀλήθεια βλάψει „ λείπουσα τῷ δευτέρῳ ἄρθρῳ, ἡ δὲ μᾶλλον παρηλλαγμένη, "Ἡ ὑπόνοια „ τὴν ἀλήθειαν βλάψει „. Τούτων οὕτως ἐχόντων, γραπτέον ἔοικεν εἶναι τὸ χωρίον, Τῶν δ' ἔργων ΥΠΟΝΟΙΑ ΤΗΝ ΑΛΗΘΕΙΑΝ βλάψει „ οὕτως, ὥστε τὸ μὲν Βλάψει, εἰς τὸ Ὅστις, εἰς ὃ καὶ τὸ Τέρψει, ἀναφέρεσθαι, τὸ δὲ Ἀλήθειαν πρὸς τὸ Ἔργων, κατὰ τοιόνδε νοῦν, Οὔτε ὅστις ἄλλος τῶν ποιητῶν τέρψει μὲν τὸ παραυτίκα διὰ τῶν ἐπῶν τὴν ἀκοήν, βλάψει δὲ τὴν ἀλήθειαν διὰ τῆς ὑπονοίας, τουτέστι τῆς ἀλληγορίας· ὁ γὰρ ἀλληγορῶν δῆλός ἐστιν αὐτόθεν τὰ ὄντα, οὐχ ἃ πέφυκε, λέγων. Καὶ οὕτω μέν, ἐὰν τὸ Ὑπονοίᾳ, Ἀλληγορίᾳ, ἐκλάβῃς· ἡ σημασία συνηγορεῖν ἔοικε καὶ τοδὶ τοῦ Πλάτωνος (Πολιτ. Β, σελ. 378, καὶ Τιμαίου Λεξικ. σελ. 200 μετὰ τῶν σημειώσ. τοῦ Ρυγκενίου) " Θεομαχίας, ὅσας ΟΜΗΡΟΣ πεποίηκεν, οὐ παραδεκτέον εἰς „ τὴν πόλιν, οὔτ' ἐν ΥΠΟΝΟΙΑΙΣ πεποιημένας, οὔτ' ἄνευ ὑπονοιῶν „ κ. τ. λ. „. Ἔστι μέντοι καὶ ἐπὶ τοῦ γνωριμοτέρου, Ὑποψίᾳ, ἐκδέξασθαι τὸ Θουκυδίδειον Ὑπονοίᾳ, μηδὲν ἐκ τούτου γε βλαπτο-

μένης τῆς προτεθείσης διορθώσεως. — Στ. 27, Ἐκτρέφῃ.) Παρὰ δὲ τῷ Κωμικῷ, Ἐκτραφῇ.

ΣΕΛΙΔ. 15, στ. 3, Φιλανθρωπίας.) Δ. Γ. Φιλοτιμίας. — Στ. 4, Ἀγάθαρχον.) Οὗ καὶ ἐν τοῖς πρόσθεν (Περικλ. § 13) ἐμνημόνευσεν· — Στ. 5, Ταυρέαν.) Οὗ Πλάτων (Χαρμίδ. σελ. 153) μνημονεύει ὡς παλαίσραν ἔχοντος, ᾗ ἐνεφιλοχώρει Σωκράτης. — Στ. 8, Τοῦ Μηλίους.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Τοὺς Μηλίους· ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ ἐξ Ε. Δ. Τοῦ τοὺς Μηλίους. — Στ. 10, Ἀριστοφῶντος.) Ἀγλαοφῶντα τοῦτον καλεῖ ὁ Ἀθήναιος (σελ. 534). — Στ. 12, Πρεσβύτεροι.) Δ. Γ. Πρεσβύται. — Στ. 13, Ἀρχέστρατος.) Ἀλλαχοῦ δὲ (Λυσανδρ. § 19) καὶ Ἑτεοκλέα ταὐτὸ τοῦτο περὶ Λυσάνδρου εἰρηκέναι ἱστόρηκε Πλούταρχος. — Στ. 20, Ἐπέστρεφεν.) Εἰς φροντίδα ἐνέβαλλε. Δ. Γ. Ἐπέστρεψεν. — Στ. 28, Καταστρέφεσθαι.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καὶ καταστρέφεσθαι.

ΣΕΛΙΔ. 16, στ. 12, Ὁ μέν.) Τὸν μὲν γεγράφασιν ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, καταλληλότερον μὲν τῇ συντάξει, οὔ γε μὴν ἀναγκαίως. Ἔχει γὰρ καὶ ἀπ' ἄλλης ἀρχῆς ἐξηγεῖσθαι τὸ λεγόμενον, οὕτως· Ὁ μὲν Σωκράτης οὐδὲν ἤλπισε χρηστὸν, ὑπὸ τοῦ συνήθους δαιμονίου διδαχθείς κ. τ. λ. — Στ. 15, Οἷος ἦν.) Ἀντὶ τοῦ Ἐβούλετο, ἢ Ἔμελλεν, ἐνταῦθα· τὰ γὰρ δυνητικὰ εἰς τὰ βουλητικὰ καὶ μελλοντικὰ μεταλαμβάνεσθαι, καὶ ταῦτα πάλιν εἰς ἐκεῖνα, ἀποχρώντως ἐν ἄλλοις (Ἰσοκρατ. Β, σελ. 244) δεδήλωται. — Στ. 27, Ἐν τοῖς ἀγῶσι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐν ἑνὶ τῶν ἀγώνων.

ΣΕΛΙΔ. 17, στ. 13, Τῶν σημείων δεινὸν κ. τ. λ. (Ἐκ Δ. Γ. ἀντὶ τοῦ γραφομένου καὶ ζιζομένου, Τῶν σημείων, δεινόν. Ὁ νοῦς, Οὔθ' ὁ λόγος τῶν οἰομένων μηδὲν δεινὸν εἶναι σημεῖον κ. τ. λ. Ἔστι δὲ καὶ ὡρισμένως γράφειν, Τῶν τὸ σημεῖον δεινόν, ἵνα φέρηται πρὸς τοὺς ἐπ' Ἀθώνιδι θρήνους. — Στ. 16. Τετολμημένον.) Δ. Γ. Τετολμημένων. — Στ. 18. Ἐν ὀλίγαις.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὡς ἐν ὀλίγαις· οὕτω γὰρ καὶ ἐν τοῖς ἑξῆς (Κοριολαν. § 6) "Συνιούσης . . . πολλάκις ἐν ὀλίγῳ ,, χρόνῳ τῆς βουλῆς ,,. Οὐκ ἐνέτυχε δὲ τῷ, Ὡς οὐδ' ὁ Ἀμύτος. — Στ. 19, Ἀνδροκλῆς.) Οὗ μέμνηται Θουκυδίδης (Η. ξέ). — Στ. 27, Περὶ τὼ θεώ.) Περὶ τὴν Δήμητρα καὶ τὴν Κόρην.

ΣΕΛΙΔ. 18, στ. 13, Συγκληροῦντας.) Δ. Γ. Κληροῦντας ὃ μακρῷ προέχει τοῦ Συγκληροῦντας. — Στ. 14, Ἀπολλύναι τὸν καιρόν.) Τροπικῶς, καθάπερ καὶ τὸ ἐν τῇ συνηθείᾳ, Χάνω τὸν καιρὸν· ὅθεν καὶ τὸ σύνθετον, Χασοκαιρῶ, συνώνυμον τῷ Χασημερῶ, καὶ τῷ παρὰ τοῖς

ἀρχαίοις Τριψημερῶ (Ἀριστοφάν. Σφ. 849). Τοῦτο δὲ τὸ Χάνειν κατὰ συγκοπὴν γέγονεν ἐκ τοῦ Χαύνειν, ἀνθ' οὗ οἱ Βυζαντινοὶ συγγραφεῖς Χαοῦν ἔλεγον, τὸ φθείρειν καὶ ἀπολλύναι δηλοῦντες (Δουκάγγ. λεξ. Χάνειν, καὶ Χαοῦν), παρὰ τὸ Χάος· ἀπόλωλε γὰρ καὶ ἠφάνισαι τὰ ἐμπεσόντα εἰς τὸ Χάος. Μήποτε δ' ἄμεινον καὶ τὸ ἡμέτερον Χάνω τῆς ἀρχαίας φωνῆς λεῖψανον ἡγεῖσθαι συνωνύμου τῷ Χαίνω, κατὰ τὸ Ὀλισθαίνω καὶ Ὀλισθάνω. Χάω γὰρ ἦν τὸ ἀρχαιότατον, ὡς δηλοῖ τὸ παράγωγον Χάος· εἶτα μετεποιήθη εἰς τὸ Χάνω, ὅπερ ἀπέτεκε τὸ παρὰ τῷ Πολυδεύκει συνώνυμον Χάνος· καὶ μετὰ ταῦτα εἰς τὸ Χαίνω· ὅθεν ἕτερον συνώνυμον τὸ Χάσμα, ὡς παρὰ τὸ Μιαίνω, τὸ Μίασμα.—Στ. 19, Προσήκειν.) Ἐκ. Δ. Γ. ἀντὶ τοῦ Προσήκει.

ΣΕΛΙΔ. 19, στ. 9, Παραπετῶν.) Περιπεσῶν, οἱ πρὸ ἐμοῦ ἐξ Ε. Δ. οὐκ ἀναγκαίας.—Στ. 22, Ὁ θόρυβον.) Προσέθηκα τὸ, Ὁ, ἐξ Ε. Δ. καὶ τῆς τοῦ Ἀμιότου μεταφράσεως.

ΣΕΛΙΔ. 20, στ. 12, Τὸ κοινῇ κ.τ.λ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Τῷ κοινῇ.—Στ. 27, Ἠθύμουν.) Τὸ Στράτευμα δηλονότι.—Στ. 28, Τριβήν.) Δ. Γ. Διατριβήν.

ΣΕΛΙΔ. 21, στ. 4, Τοῖς τῶν Συρακουσίων.) Ἐξ Ε. Δ. προσέθηκα τὸ πρῶτον τῶν ἄρθρων.—Στ. 14, Περὶ τὸ θεὼ, τὴν Δήμητρα καὶ τὴν Κόρην.) Ἄμεινον τὸ περιγράφειν τὰς πέντε λέξεις, Τὴν Δήμητρα καὶ τὴν Κόρην, ὡς ἐπεξήγησιν τῶν τριῶν, Περὶ τὸ θεὼ· καὶ ἀνωτέρω (§ 19) γὰρ ἁπλῶς, Περὶ τὸ θεὸν εἶπεν. Ἀντὶ τοῦ Δήμητρα, παρὰ τὸ Δημήτηρ, Δ. Γ. Δήμητραν, παρὰ τὸ Δήμητρα. Πολλὰ γὰρ τοιαῦτα ἐκ τῆς τῶν Περιττοσυλλάβων εἰς τὴν τῶν Ἰσοσυλλάβων μετηνέχθησαν κλίσιν παρὰ μὲν τοῖς ἀρχαίοις πεφεισμένως, οἷόν ἐστιν ἡ Δήμητρα, καὶ ἡ Γόρτυνα, καὶ ἡ Γυρτωνη (ἀπ' αἰτιατικῶν, τῆς εὐθείας Γόρτυν, καὶ Γύρτων, εἰς εὐθείας μεταπεσοῦσαι), καὶ ἄλλα τινά· παρ' ἡμῖν δὲ κατακορέστερον. Ἡ μητέρα, γάρ φαμεν, καὶ Ἡ θυγατέρα, καὶ Ἡ γαστέρα (ἐπὶ οἰνηροῦ ἀγγείου), καὶ κατὰ συγκοπὴν Γάστρα (ἐπὶ ὀτράκου, ἐν ᾧ τι τῶν ἀνθοφόρων ἐμφυτεύεται), ἣν ἡ χυδαιεστέρα φωνὴ εἰς τὸ Γλάστρα μετεποίησεν, οἱ δὲ νῦν Σικελοὶ, τὴν τῶν προγόνων Ἑλλήνων φωνὴν καὶ αὐτοὶ παρατρέψαντες, Grasta καλοῦσι. Καὶ ταῦτα μὲν περὶ τῶν θηλυκῶν ὀνομάτων. Παραπλησίως δὲ καὶ ἀρσενικῶν ὀνομαστικὰς ἑνικὰς ἔπλασεν ἡ συνήθεια, οὐκέτι μέντοι ἀπὸ τῶν παρὰ τοῖς ἀρχαίοις ἑνικῶν, ἀλλ' ἀπὸ τῶν πληθυντικῶν αἰτιατικῶν· οἷον Ὁ πατέρας, Ὁ ἄνδρας, Ὁ κόλακας, Ὁ κόρακας, Ὁ βασιλέας, Ὁ ἱερέας, οὐδὲ τῶν ἀρχαίων τὴν ἀνωμαλίαν ταύτην, φυλαξαμένων. Οὐ γὰρ μόνον εὐθείας ἀφ' ἑνικῶν

γενικῶν προσηγορικῶν ὀνομάτων (οἷόν ἐστιν, Ὁ μάρτυρος, Ὁ φύλακος, Ὁ Χάλυβος καὶ ἄλλα τοιαῦτα) ἃς μόνας οἱ Γραμματικοὶ ἐσημειώσαντο· ἀλλὰ καὶ ἀπὸ πληθυντικῶν αἰτιατικῶν, ἔν γε τοῖς κυρίοις ὀνόμασιν. Ὁ Λεπρέας γὰρ παρ' αὐτοῖς εὕρηται, καὶ Ὁ Ἀμοιβέας, καὶ ὁ Δρομέας, (παρὰ τὰς αἰτιατικὰς πληθυντικὰς τῶν εἰς ευς, Λεπρεῦς, Ἀμοιβεῦς, καὶ Δρομεῦς), καὶ ὁ διφορούμενος Ἀριζεὺς καὶ Ἀριζέας, καὶ Λυγκεὺς καὶ Λυγκέας, καὶ Πρωτεὺς καὶ Πρωτέας, καὶ Τρίοψ καὶ Τρίοπας, καὶ ἄλλα τοιαῦτα. Ὧ δὲ μάλιζα διενήνοχεν ἡ παρ' ἡμῖν συνήθεια τῆς ἀρχαίας, τὸ καί τῶν μετοχῶν τὰς πληθυντικὰς αἰτιατικὰς εἰς ἑνικὰς εὐθείας μεταλαβεῖν ἐζίν· οὗ μοναδικὸν ἴσως παράδειγμά ἐζιν ὁ παρὰ τῷ Παυσανίᾳ (ς, εθ') κυριωτυραούμενος Δόντας. Βλέποντας, γὰρ φιλεῖ νῦν λέγειν ὁ δημότης λαὸς, καὶ Ὄντας, καὶ Πιζεύοντας, καὶ Γράφοντας, ἀντὶ τοῦ παρὰ μὲν τοῖς ἀρχαίοις Βλέπων, Ὤν, Πιζεύων, Γράφων, παρὰ δὲ τοῖς μικρὸν πρὸ ἡμῶν γεγονόσι, Βλέποντα, Ὄντα, Πιζεύοντα, Γράφοντα. Οὕτω γὰρ εὕρηται ἔν τισι ποιήμασιν ἀνεκδότοις, ὧν οἱ ποιηταὶ γεγονέναι μοι δοκοῦσι περίπου τὴν δεκάτην πέμπτην ἀπὸ Χριζοῦ ἑκατονταετηρίδα. Οἷον ἐν μὲν τῷ ἐπιγραφομένῳ, Γραφαὶ καὶ ζίχοι κ.τ.λ. κυροῦ Στεφάνου τοῦ Σαχλήκη,

Συμόνει (ὁ) φυλακάτορας τάχατε πρὸς ἐμένα,
Καὶ λέγει, "Ἐγὼ τοὺς ἔφερα νὰ σὲ παρηγορήσουν,,
ΠΙΣΤΕΥΟΝΤΑ νὰ μ' ἔκαμε πολλὰ μεγάλην χάριν.

Ἐν δὲ τῇ Μυθιζορίᾳ τῇ ἐπιγραφομένῃ, Διήγησις ἐξαίρετος Βελθάνδρου τοῦ Ρωμαίου, κ.τ.λ.

Εἶπε καὶ ἐγκωμίασεν ΕΜΒΛΕΠΟΝΤΑ τὴν κόρην.

Καὶ πάλιν,

ΑΚΟΥΟΝΤΑ ὁ Βέλθανδρος οὐδὲν ἀπηλογήθη.

Καὶ ὡς παρ' ἡμῖν αἱ πληθυντικαὶ αἰτιατικαὶ τῶν ἀρσενικῶν μετοχῶν εἰς ἑνικὰς εὐθείας κοινὰς τῷ γένει μετέπεσον (τὸ γὰρ Βλέποντας ἀδιαφόρως καὶ τὸ Βλέπων καὶ τὸ Βλέπουσα σημαίνει), οὕτως εὕρηται καὶ ἐν τῇ εἰρημένῃ Μυθιζορίᾳ οὐ μόνον ἡ αἰτιατικὴ ἑνικὴ, ἀλλὰ καὶ αὐτὴ ἡ εὐθεῖα ἐπαμφοτερίζουσα τῷ γένει·

Μικρὸν ἐπεμειδίασεν ΒΛΕΠΟΝΤΑ τον ἡ κόρη,
Καὶ πρὸς ἐκεῖνον ἔφησεν ΧΑΜΟΓΕΛΩΝ ἡδέως,

ἀντὶ τοῦ Βλέπουσα, καὶ Χαμογελῶσα.—Στ. 15, Ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ.) Ἰσοκράτης δὲ (Α. σελ. 348. ἐμ. ἐκδ.) ἐν τῇ οἰκίᾳ φησὶ τῇ

Πολυτίωνος, οὗ καὶ μέμνηται Πλούταρχος ἐν τοῖς ἑξῆς. — Στ. 18, Φηγαιέα.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ Φυγεέα· ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ οὐδὲν μᾶλλον ὀρθῶς, Φηγεέα, γεγράφασιν. Ἴδε Ἁρποκρατίωνα, καὶ τὸ ἔναγχος ἐκδοθὲν Φωτίου Λεξικὸν (λέξ. Φηγαιεῦσι). — Στ. 24, Εὐχῶν, οὐ καταρῶν κ. τ. λ.) Ἑλληνικὴ καὶ φιλάνθρωπος τῆς χρησῆς Θεανοῦς ἡ ἀπόκρισις. — Στ. 26. Ὡς τότε πρῶτον.) Ἄμεινον ἂν ἐγράφετο. Εἰς (ἢ Πρὸς) οὓς τότε πρῶτον· τοὺς Ἀργείους δηλονότι. — Στ. 30, Πρότερον.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Πρότερος.

ΣΕΛΙΔ. 22, στ. 1, Δεξαμένων, παραγενόμενος προθύμως.) Ὁ δ' Ἀμιότος, ὡσπεραναὶ ἐγέγραπτο, Δεξαμένων προθύμως, παραγενόμενος. — Στ. 9, Κατεθημαγώγει.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Τότ' ἐθημαγώγει. — Στ. 21, Ἐν Θετταλίᾳ). Ἐξ Ε.Δ. προσέθηκα τὰς λέξεις. Ἔπιθι Ἀθήναιον (ΙΒ, σελ. 534). — Στ. 28, Οὐ παῖς Ἀχιλλέως κ. τ. λ.) Καὶ ἀλλαχοῦ (Πῶς ἂν τις διαρκ. κ. τ. λ. § 5) τοῦτον Πλούταρχος φέρει τὸν στίχον οὕτωσί,

Οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ·

— Στ. 30, Ἔξιν ἡ πάλαι γυνή.) Ἐν Ὀρέστῃ (στιχ. 129) τοῦτο Εὐριπίδης περὶ τῆς Ἑλένης λέγει.

ΣΕΛΙΔ. 23, στ. 5, Τὰς ὀπαδούς.) Ἐξ Η.Δ. ἀντὶ τοῦ, Τοὺς ὀπαδούς. — Στ. 11, Δέκα μηνῶν.) Σεληνιακῶν· τοσούτους γὰρ καὶ τοιούτους καὶ Ἱπποκράτης ἀριθμεῖ τὰς κυήσεως τοὺς μῆνας. — Στ. 19, Δὲ καὶ αὐτός.) Δ. Γ. Δὲ αὐτός.

ΣΕΛΙΔ. 24, στ. 17, Ἀλλὰ γλίσχρως.) Δ.Γ. Γλίσχρως δέ. — Στ. 20, Ἑκατέρωθεν.) Ἔκ τε τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων. — Στ. 24, Ὑπὸ Λακεδαιμονίοις γένηται μισούμενος.) Ὀνοῦς, Μὴ γένηται ὑπήκοος Λακεδαιμονίων, ὑφ' ὧν ἐμισεῖτο· οὐδὲ χρὴ τὸ Μισούμενος, εἰς τὸ Μισουμένοις τρέπειν, καθά τις παρήνει. — Στ. 27, Ἀμωσγέπως). Ἴσως γρ. Ἀμωσγέπως μὲν, ἵνα καταθηλοτέρα γένοιτο, ἢ πολλὰ τοῖς πρὸ ἡμῶν πράγματα παρασχοῦσα πρὸς τὰ ἑξῆς τοῦ λόγου συνάρτησις. — Στ. 30, Οὐδεμία.) Ἐκ διορθώσεως οἱ πρὸ ἡμῶν, ἀντὶ τοῦ Οὐδεμιᾶς.

ΣΕΛΙΔ. 25, στ. 8, Δειραδιώτης.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ Διραδιώτης. Δειράδες δὲ (καὶ οὐ Διράδες) δῆμος τῆς Ἀττικῆς, παρὰ τὴν θέσιν ἴσως οὕτω κληθείς· ἐπεὶ αἱ δειράδες σημαίνουσιν "Αὐχένας τραχηλοειδεῖς τῶν ὀρῶν, καὶ ἐξέχοντα μέρη, ἢ τὰς νάπας, ἢ τὰς φάραγγας,, κατὰ μεταφορὰν δηλονότι ἀπὸ τῆς ἐν ἀνθρώπῳ Δειρᾶς, ἣν ἔσωσε καὶ ἡ τῶν Γαλατῶν φωνὴ, La gorge d' un homme, et Gorge de mon-

tagnes, λέγουσα. — Στ. 17, Τὰ τοῦ Φρυνίχου.) Παρέλιπον τὸ πρῶτον ἄρθρον οἱ πρὸ ἐμοῦ. — Στ. 18, Τοὺς τοῦ Φρυνίχου.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Τὰ τοῦ Φρυνίχου, ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ δι' ἑνὸς αὖθις ἄρθρου, Τοῦ Φρυνίχου. — Στ. 24, Ἐβλαψέγε.) Ἐκ Δ.Γ. προσέθηκαν τὸν σύνδεσμον οἱ πρὸ ἐμοῦ. — Στ. 25, Παλιμπροδοσίαν.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ ἐν δυσὶ λέξεσι, Πάλιν προδοσίαν. — Καὶ γὰρ καὶ ταῦτα.) Ἐξ Η.Δ. ἡ προσθήκη τοῦ δευτέρου Καί· χωρὶς εἰ μή τις καθ' ὑπερβιβασμὸν γεγράφθαι φήσειεν, ἀντὶ τοῦ, Καὶ ταῦτα γάρ, ὡς καὶ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 220.) σεσημείωται.

ΣΕΛΙΔ. 26, στ. 3, Τὸν ναύσταθμον.) Οὐ τὸν τόπον ἐνταῦθα τοῦ λιμένος, ἐν ᾧ ἵστανται αἱ νῆες, ἀλλ' αὐτὰς συμπάσας τὰς ναῦς, εἴτουν τὸν ναυτικὸν στόλον. Ὅτι δὲ καὶ τοῦτο σημαίνει ὁ Ναύσταθμος, ἐδήλωσε Πλούταρχος ἀλλαχοῦ (Αἰμ. Παυλ. § 9) φήσας, "Τοῦ τε ,, ναυστάθμου περὶ Ὦρεον ὁρμοῦντος ,,. — Στ. 6, Ἑρμωνος.) Ὁ δὲ Λυσίας (Κατὰ Ἀγορατ. σελ. 492 ἐκδ. Ῥεϊσκ.) οὐχ Ἑρμωνα, ἀλλὰ Θρασύβουλον καὶ Ἀπολλόδωρον γεγονέναι φησὶ τοὺς κτείναντας Φρύνιχον, καθὰ ἐσημειώσατο ὁ φίλος Κλαυέριος ἐν τῇ Γαλατικῇ Πλουτάρχου μεταφράσει (Τομ. 2, σελ. 356).

ΣΕΛΙΔ. 27, στ. 3, Ἀνθίσασθαι.) Κακῶς οἱ πρὸ ἐμοῦ διωρθώκασιν ἄρθρου προσθήκῃ, Τῷ ἀνθίσασθαι· χρὴ γὰρ ὑπονοεῖν ἀπὸ κοινοῦ, τὸ προηγούμενον, Δεῖν οἰόμενος, ὡς ἄριστα ἡρμήνευσεν ὁ Ἀμιότος· ὃς καὶ ἀντὶ τοῦ ἐχομένου, Κωλύσας, εἶτ' ἐκ Δ.Γ. εἶτ' αὐτὸς διορθῶν, ἔοικεν ἀναγνῶναι, Καὶ κωλύσαι. — Στ. 6, Ἔχειν ὑπῆρχεν ἁμαχεὶ Ἰωνίαν ἅπασαν, Ἑλλήσποντον καὶ τὰς νήσους.) Ἐξ Η. Δ. ἡ μετάθεσις ἀντὶ τοῦ, Ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, Ἑλλήσποντον ἁμαχεί, καὶ τὰς νήσους. Οἱ δὲ πρὸ ἐμοῦ διωρθώκασιν οὕτως· Ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, καὶ τὸν Ἑλλήσποντον ἁμαχεί, καὶ τὰς νήσους. — Στ. 8, Ὃ μόνος.) Ἐκ τῆς τοῦ Ἀμιότου μεταφράσεως οἱ πρὸ ἐμοῦ τὸ, Ὃ, ἀντὶ τοῦ, Ὃν. — Στ. 14, Καὶ δεύτερον.) Οἱ πρὸ ἐμοῦ ἐκ διορθώσεως ἔγραψαν, Καὶ οὐδενὸς δεύτερον. — Στ. 16, Διαπράξεσθαι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Διαπράξασθαι. — Στ. 26, Τὰ τοῦ Δήμου.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προσέθηκαν τὸ δεύτερον ἄρθρον. — Στ. 28, Κεναῖς χερσί.) Εἴρηται ἡμῖν περὶ τούτου καὶ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 480). Αἰνίττεται δ' ὧδε τὸ Ὁμηρικὸν (Ἰλιάδ. Β, 298),

Αἶσχρόν τοι δηρόν τε μένειν, κενεόν τε νέεσθαι.

ΣΕΛΙΔ.

ΣΕΛΙΔ. 28, στ. 2, Ἐπακολουθεῖν.) Εἴρηται περὶ τῆς σημασίας τοῦ Ἐπακολουθεῖν, ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 117, καὶ Πλουτάρχ. Θησ. σημ. σελ. 364). Ἡ συνήθεια τὸ ἁπλοῦν καὶ αἰτιατικὴ καὶ γενικὴ συντάττει· Σὲ ἀκολουθῶ γάρ, φαμέν, καὶ Σοῦ ἀκολουθῶ, τὸ μὲν ἐκ τοῦ παρὰ τοῖς πάλαι Ἀκολουθῶ σοι, τρέψασα, καθὰ καὶ ἐν ἄλλοις πλείστοις, τὴν δοτικὴν εἰς αἰτιατικήν, τὸ δὲ ἐκ τοῦ παρ' ἐκείνοις, Ἀκολουθῶ μετά σοῦ (Ἰσοκράτ. Β, σελ. 52), ἐλλείψασα τῇ προθέσει· καὶ αὐτὸ γὰρ τὸ Ἀκολουθῶ σοι, ἐλλειπτικὸν εἶναι προθέσεως τῆς Σύν, τῆς Ἐπί, ἢ τῆς Μετά, δηλοῖ τὸ συνώνυμον Ὀπηδῶ (Ἡσιόδ. Ἔργ. καὶ ἡμέρ. 230,)

Οὐδέπ' ἰθυδίκαισι ΜΕΤ' ἀνδράσι λιμὸς ΟΠΗΔΕΙ.

Χρώμεθα δὲ καὶ ἀμεταβάτως τοῦ Ἀκολουθῶ τοῖς τρίτοις προσώποις, ἐπὶ τοῦ Συμπίπτειν, ἢ Συμβαίνειν, Ὅσα ἠκολούθησαν, λέγοντες οὐδετέρως, καθὰ καὶ διὰ τῆς συνωνύμου φράσεως, Ὅσα ἔτρεξαν. Καὶ ἔστι τούτου μαρτύριον παρασχέσθαι ἐκ τῶν Στράβωνος (Γ, σελ. 165) Γεωγραφικῶν τὸ, "Ἀφ' οὗ καὶ λοιμοὶ καὶ νόσοι πολλάκις ἠκολούθησαν,,. — Στ. 4, Συνήνυσε πλέων.) Συνετέλεσε τὸν πλοῦν, ὡς ὀρθῶς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο, παρειληφότες τὸ Πλέων ἐκ Δ. Γ. ἀντὶ τοῦ Πλέον. — Στ. 10, Φίλιον.) Ἀθηναίοις φίλιον. Πελοποννησίοις δὲ τοὐναντίον. Μήποτ' οὖν ἀντὶ τοῦ Φίλιον, ἐγέγραπτο Φοινικοῦν, καθὰ φέρεται παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (Η', 46). — Στ. 18. Τισαφέρνῃ) Δι' ἑνὸς σ, ὡς ἐν τοῖς πρόσθεν, καὶ ἐν τοῖς ἑξῆς, γράφει καὶ ὧδε, εἴτε Πλούταρχος, εἴθ' ὁ πρῶτος ἀντιγράψας τὰ τοῦ Πλουτάρχου. Οὕτω δὲ καὶ Πολύαινος, καὶ ἕτεροι, τῶν ἀρχαιοτέρων διπλασιαζόντων τὸ γράμμα.

ΣΕΛΙΔ. 29, στ. 1, Καὶ νὴ Δία) Ἐξ Π. Δ. ἀντὶ τοῦ, Καὶ μὰ Δία, ὅπερ οἱ πρὸ ἡμῶν εἰς τὸ μακρότερον, Καὶ ναὶ μὰ Δία, ἔτρεψαν, ἐπιλαθόμενοι τῆς Πλουταρχείου, ἣν παρεθέμην ἐν ἄλλοις (Ἡλιοδώρ. Β, σελ. 73) ῥῆσιν ἐξηγησάμενος ἅμα καὶ τὴν ἐν τοῖς τοιούτοις ἔμφασιν τοῦ, Νὴ Δία. — Στ. 12, Μὴ διὰ τὸ πλῆθος αὐτὸν κ. τ. λ.) Εἰς τὸ Αὐτῶν πρέπειν παρήνεσάν τινες τὸ Αὐτόν. Ἔστι μέντοι καθ' ὑπερβιβασμὸν τὸ λεγόμενον, ἀντὶ τοῦ, Μὴ, προϊδόντες αὐτὸν, εἰς τὴν γῆν καταφύγωσι, διὰ τὸ πλῆθος, φοβηθέντες δηλονότι τὸ πλῆθος. — Στ. 15, καὶ καταφρονήσαντες.) Ἐκ διορθώσεως προσέθηκαν τὸν σύνδεσμον οἱ πρὸ ἐμοῦ — Στ. 21, Προσβοηθούντων.) Δ. Γ. Βοηθούντων. — Στ. 23, Πολλῶν δὲ καὶ νεῶν κ. τ. λ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Νεκρῶν, ἔγραψαν, Νεῶν. Οὐδετέρα μέντοι τῶν γραφῶν

ἐῤῥῶται. Ἴσως ἐγέγραπτο, Πολλῶν δ' ἀνδρῶν, ἢ Πολλῶν δὲ χρημάτων. —Στ. 29, Ἐῤῥει.) Ἀπόλωλεν, ἔῤῥωται· ὡς ἐξηγεῖται Ἡσύχιος —Ἀπεσσούα.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Ἀπέσσυται. Ἔστι δὲ τὸ Ἀπεσσούα, Δωρικὴ λέξις σημαίνουσα τὸ Ἀφώρμησεν, ἀπῆλθε, τέθνηκεν, ὡς ἐξηγεῖται Εὐσάθιος (Ἰλιάδ. Α. σελ. 63). Τὴν δὲ τοῦ ῥήματος κίνησιν οὕτω προάγουσιν, Ἀπόσουμι (τῇ Λακώνων διαλέκτῳ ἀντὶ τοῦ Ἀποσυμι, ἢ Ἀποσύω), κατὰ δὲ τὸν δεύτερον Ἀόριστον, Ἀπεσούην, ἢ Ἀπεσσούην, καὶ ἑτέρα Λακωνικὴ τροπὴ τοῦ η εἰς τὸ α Ἀπεσσούαν, Ἀπεσσούας, Ἀπεσσούα. —Τῶνδρες.) Ἐξ Ε.Δ. Λακωνικῶς, ὡς καὶ παρὰ τῷ Ξενοφῶντι (Ἑλληνικ. Α, α, 23), ἀντὶ τοῦ Τἄνδρες. Ἔστι δὲ τὸ ἀσυναίρετον, Τοὶ ἄνδρες, τῶν Λακώνων ἀντὶ τοῦ Οἱ ἄρθρου, Τοὶ λεγόντων, οὗ τὸ ἑνικὸν Τὸς σεσῶσθαι ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, ἐδηλώσαμεν ἐν ἄλλοις (Πλουτάρχ. Μέρ. Α, σελ. 391.)—Στ. 30, Ἀπορέομες) Δ.Γ. Ἀπορεῖομες.

ΣΕΛΙΔ. 30, στ. 11, Ὁ δ' Ἀλκιβιάδης.) Ἐξ Η.Δ. ἡ προσθήκη τοῦ συνδέσμου. Οἱ δὲ πρὸ ἡμῶν τὸ ἀσύνδετον, Ὁ Ἀλκιβιάδης, ἔτρεψαν εἰς τὸ, Ὃν Ἀλκιβιάδης.—Στ. 13, Ἀνεμίγνυντο.) Ἐκ διορθώσεως οἱ πρὸ ἡμῶν ἀντὶ τοῦ, Ἀνεμίγνυτο. —Στ. 18, Ὅτι.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Δ' ὅτι —Στ. 21, Προσπέμψας.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Προπέμψας.

ΣΕΛΙΔ. 31, στ. 4, Μεταβαλόμενον.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ σολοίκου, Μεταβαλλόμενον.—Στ. 6, Τῶν περὶ αὐτόν.) Ἐξ Ε.Δ. προσέθηκα τὸ ἄρθρον.—Στ. 12, Στρατηγίαις.) Δ.Γ. Στρατείαις.—Στ. 13, Σηλυβριανοῖς Ἀθηναίους κ. τ. λ.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Σηλυβριανοὺς Ἀθηναίοις. Ὁ νοῦς, Ἀνεῖπε διὰ κήρυκος, ὅτι οἱ Ἀθηναῖοι οὐ παρεγένοντο Σηλυβριανοῖς πολεμήσοντες, ἀλλὰ δηλονότι τοῖς κατέχουσι τὴν πόλιν αὐτῶν Σπαρτιάταις.

ΣΕΛΙΔ. 32, στ. 1, Ἢ ἐκεῖνον.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Ἢ κοινόν· ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ, Ἢ κεῖνον. Λέγει δὲ τὸν Φαρνάβαζον.—Στ. 4, Συνθεμένων.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ συντιθεμένων.—στ. 5, Αὐτούς.) Δ. Γ. Αὐτὸν, ὡς ἡρμήνευσε καὶ Ἀμιότος· ὅπερ ἄμεινον.—Στ. 21, Παρέδοσαν.) Δ. Γ. Παρέδωκαν.—Στ. 22, Μηδὲν αὐτοῖς ἴδιον ὑπεξελόμενοι.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ τὸ Ὑπεξελόμενοι, ἀντὶ τοῦ Ὑπεξελεῖν. Ὁ νοῦς, Οἱ περὶ Ἀναξίλαον συνέθεντο παραδοῦναι τὴν πόλιν ἐπὶ σωτηρίᾳ (τουτέστιν ἐπὶ τῷ μηδένα Βυζαντίων ἀποθανεῖν ἢ φυγεῖν), μηδὲν ἴδιον ἑαυτοῖς, τουτέστιν ἐπὶ τῇ ἰδίᾳ αὐτῶν ὠφελείᾳ, παρὰ τὴν συνθήκην ταύτην ὁρίσαντες.

ΣΕΛΙΔ. 33, στ. 13, Καὶ ξυσίδας... ἀμπεχομένους.) Τὸ μὲν Ξυ-

σίδας, ἔγραψαν οἱ πρὸ ἡμῶν ἐκ διορθώσεως, ἀντὶ τοῦ Ξυσίδα· ἔτρεψα δὲ κἀγὼ τὸ Ἀμπεχόμενον εἰς τὸ Ἀμπεχομένους. — Στ. 15, Ὥσπερ ἐκ μέθης ἐπικωμάζοντος.) Ἐξ Η. Δ. Τὸ Ἐπικωμάζοντος (τοῦ Ναυάρχου δηλαδή, ὃ ἐμπεριέχεται δυνάμει ἐν τῷ Ναυαρχίδα), ἀντὶ τοῦ, Ἐπικωμάζοντας. Οἱ δὲ πρὸ ἐμοῦ τρέψαντες εἰς τὸ Ἐπικωμάζοντα, ταύτην τε καὶ τὰς προηγουμένας τρεῖς λέξεις (Ὥσπερ ἐκ μέθης) βιαίως πάνυ μετέθηκαν εἰς τὸν μετὰ τὸ, Ἀθηναίοις, τόπον. — Στ. 26, Καὶ τὸ δακρύον.) Ἐκ διορθώσεως πιθανῆς μὲν (διὰ τὸ μετοχαῖς φιλεῖσθαι τὸν Πλούταρχον), ἴσως δ' οὔ γ' ἐν τῷ παρόντι ἀναγκαίας, οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καὶ δάκρυον — Στ. 29, Οὔτ' ἄλλο) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐδ' ἄλλο.

ΣΕΛΙΔ. 34, στ. 8, Ἐν ταῖς ἐλεγείαις.) Ἴσως γραπτέον, Ἐν τοῖς ἐλεγείοις, οὐδετέρως (ἰδ. Ἀθην. σελ. 432 καὶ 666). Ἐνδέχεται μέντοι καὶ τοῦ παρακμάζοντος Ἑλληνισμοῦ εἶναι ἡ θηλυκῶς ἐκφερομένη Ἐλεγεία (Ἀθην. σελ. 317), ἐκ τῆς Ῥωμαίων ἴσως φωνῆς (Elegia) τὰς ἀφορμὰς λαβοῦσα. — Στ. 12, Ἡμετέρης.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἡμετέροις — Στ. 17, Πολιτῶν.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Πολεμίων Ὁ νοῦς, Πλεῖστα δὲ διαλεχθεὶς περὶ ὧν ἔχειν ἐχρῆν τοὺς πολίτας ἐλπίδων, καὶ παρορμήσας αὐτοὺς πρὸς τὸ θαρρεῖν. — Στ. 27, Τῇ θεῷ.) Τῇ Ἀθηνᾷ, κατ' ἐξοχὴν οὕτω καλουμένῃ παρ' Ἀθηναίοις· ἢ δῆλον καὶ ἐκ τοῦ Ξενοφῶντος (Ἑλλην. Α. δ', 12). Ἡσύχιος μέντοι (λέξ. Πλυντήρια), καὶ ὁ ἡμέτερος σοφὸς Πατριάρχης Φώτιος ἐν τῷ ἐναγχος ἐκδοθέντι Λεξικῷ (λέξ. Καλλυντήρια), ἐπὶ τιμῇ τῆς Ἀγραύλου τῆς Κέκροπος θυγατρὸς, ἄγεσθαι φασὶ τὰ Πλυντήρια. — Στ. 28, Πραξιεργίδαι.) Ἐνθάδε μέντοι Ἡσύχιος, ὁμολογῶν Πλουτάρχῳ, φησὶ "Πραξιεργί-,, δαι, οἱ τὸ ἔδος τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς ἀμφιεννύντες ,, . — Ἐκτῃ φθίνοντος.) Ὁ δὲ Φώτιος, Δευτέρᾳ φθίνοντος, φησί.

ΣΕΛΙΔ. 35, στ. 9, Καθ' ὁδὸν ἱερῶν.) Διορθοῦν ἐπεβάλοντό τινες οὐκ ἀπιθάνως, Ἱεράν, συνάπτοντες πρὸς τὸ Ὁδὸν. Ἐχρῆν μέντοι, εἰ οὕτως εἶχε, γράφειν, Κατὰ τὴν ὁδὸν τὴν ἱεράν, ἢ γοῦν, Κατὰ τὴν ἱερὰν ὁδόν. Ἐκαλεῖτο δὲ οὕτω ἡ εἰς Ἐλευσῖνα ἄγουσα. — Ἐξηλαύνωσι.) Χρηστότερον ἂν εἶπεν, Ἐξάγωσι. Ἐπιθι. Ἡσύχιον (λέξ. Ἴακχον.) Ἐντευξόμεθα δὲ κἀν τοῖς ἑξῆς (σελ. 382) συγκεχυμένοις τῷ Ἐξήλασαν καὶ τῷ Ἐξήγαγον. — Στ. 24. Ἐπαναγαγών.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Ἐπαγαγών. — Στ. 25, Στρατιάν.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Στρατηγίαν. — Στ. 30, Φλυάρους.) Οὐσιαστικῶς, ὡς ἐν ἄλλοις (Ἡλιοδώρ. Β. σελ. 173-174) δεδήλωται.

ΣΕΛΙΔ. 36, στ. 1, Εἷς ὢν πράξῃ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὡς ἂν πράξῃ. Ἔστι δὲ ταὐτὸν ὧδε τῷ, Μοναρχῶν, ἀντιθιεσταλμένως πρὸς τὴν Δημοκρατίαν. —Στ. 13, Ἀπιστίᾳ.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Ἀπιστίαν. — Στ. 27, Φορτικός.) Ἀλαζὼν καὶ Βωμολόχος. (ἰδ. Ἰσοκράτ. Β. σελ. 113).

ΣΕΛΙΔ. 37, στ. 14, Σπερμολογίας.) Φλυαρίας, φορτικῆς ὁμιλίας, καὶ Σπερμολόγος, ὁ φλύαρος, ἢ ὡς ἐξηγεῖται ὁ ἡμέτερος Φώτιος, " Εὐρυλόγος, ἀκριτόμυθος ,, .—Στ. 17, Δι' ὀλίγου.) Τὸ πλήρες, Δι' ὀλίγου τόπου, ἢ διαστήματος. Ἡ δὲ Ἔλλειψις τοῦ Θουκυδίδου (Ζ, οά) ἐστὶν, ὃς καὶ, Δι' ἐλάσσονος ἐφορμήσειν, ἀλλαχοῦ (Ζ, δ') εἴρηκεν.

ΣΕΛΙΔ. 38, στ. 3, Ὁρμοῦσιν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ὁρμῶσιν. —Στ. 6, Ὅποι τις θέλοι.) Δ. Γ. Ὅποι θέλοι: Ὅποι θέλῃ: Ὅπῃ θέλῃ: Ὅπῃ τις θέλοι. —Στ. 21, Ἀπροσδοκήτως.) Δ. Γ. Ἀδοκήτως. — Στ. 25, Ὀλίγῳ χρόνῳ.) Μετ' ὀλίγον χρόνον. — Στ. 30, Περικοπείς.) Ἴσον ἐνταῦθα δύναται τῷ, Περικλαπείς, λῃστευθείς, ἐφ' ἧς σημασίας ἔταξε καὶ Δημοσθένης (Περὶ τῶν ἐν Χεῤῥόν. σελ. 92) τὴν λέξιν· ὅθεν ἐμπεσοῦται καὶ ἡ παρὰ Ἡσυχίῳ διόρθωσις τῶν κριτικῶν, " Περικοπαί, κλοπαί, λῃστεῖαι ,, . Οἱ δὲ τοῦτο ἐργαζόμενοι, ἐκαλοῦντο, Περικόπται, ὡς φησι Φώτιος.

ΣΕΛΙΔ. 39 στ. 9, Τῆς ἡγεμονίας.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ περιείλον (οὐκ ἀναγκαίως ἴσως) τὸν σύνδεσμον τῆς φερομένης γραφῆς, Καὶ τῆς ἡγεμονίας —Στ. 16, Αἴσχιον.) Δ. Γ. Αἴσχιστον. — Στ. 18, Ἀνέφερε.) Ἀνελάμβανε τοὺς Ἀθηναίους, ὡς ἐξηγήσαντο οἱ πρὸ ἡμῶν, κατ' ἔλλειψιν δηλονότι. Ἄμεινον δέ μοι δοκεῖ, ἢ, κατ' ἔλλειψιν ὡσαύτως, ἀντὶ τοῦ, Ἀνέφερεν ἑαυτὴν ἐλπὶς, ἐκδέχεσθαι τὸ λεγόμενον ἢ τὸ Ἀνέφερε τρέπειν εἰς τὸ Ἀνέφαινε, κατὰ τὴν ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 187-188) σημειωθεῖσαν ἔννοιαν. — Στ. 27, Οὐκ ἔστι.) Ἐκ Δ. Γ. οἱ πρὸ ἡμῶν, ἀντὶ τοῦ, Οὐκέτι. Τὸ δ' ἑξῆς, Οὐκ ἔστι Λακεδαιμονίοις ἄρχειν ἀσφαλῶς τῆς Ἑλλάδος, Ἀθηναίων δημοκρατουμένων.

ΣΕΛΙΔ. 40, στ. 2, Ἐκ ποδῶν.) Η. Δ. ἀντὶ τοῦ, Ἐκποδών. — Στ. 8, Τιμάνδραν.) Λαίδος τῆς νεωτέρας μητέρα φησὶν Ἀθήναιος (ΙΒ, σελ. 535) γεγονέναι τὴν Τιμάνδραν. ἣν ἀλλαχοῦ (ΙΓ, σελ. 575) Δαμασάνδραν ὀνομάζει. —Στ. 12, Ψιμιθιοῦσαν.) Ἐκ τούτου μόνον τοῦ Πλουταρχείου χωρίου ὁρμηθεὶς ὁ Στέφανος, κατεχώρισεν ἐν τῷ Θησαυρῷ ῥῆμα, Ψιμιθιόω. Ἴσως μέντοι γραφικῶς ἡ λέξις ἡμάρτηται (κατ' ἐνεστῶτα δηλαδὴ) ἀντὶ τοῦ, Ψιμιθίζουσαν, ἢ μᾶλλον Ψιμυθίζουσαν. —Στ. 20, Τῇ δὲ δεξιᾷ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προσέθηκαν τὸν σύνδεσμον. —Ἐξέπεσεν.) Ἴσως γρ. Ἐξέπαισεν, ὡς καὶ οἱ

πρὸ ἡμῶν ὑπενόησαν.—Στ. 29, Ὑκκάρων.) Ὁ δ' Ἀθήναιος, ὡς ἔφθην σημειωσάμενος, τῆς νεωτέρας Λαΐδος γεγονέναι μητέρα τὴν Τιμάνδραν φησίν.

ΣΕΛΙΔ 41, στ. 3, Γνωρίμων τινῶν.) Δ.Γ. Γνωρίμου τινός.

Μ. Γ. ΚΟΡΙΟΛΑΝΟΣ.

ΣΕΛΙΔ. 43, στ. 3, Ὁσίλιον.) Η. Δ. ἀντὶ τοῦ, Ὀσύλλιον. — Στ. 18, Χρώμενον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Χρώμενος. — Στ. 23, Ὀλιγαρχικόν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ὀλιγαρχικήν.

ΣΕΛΙΔ. 44, στ. 5, Καὶ μαρτυρεῖ τὸ τήν.) Οὕτως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καὶ ἐμαρτυρεῖτο τήν. Δ. Γ. Ω̄ μαρτυρεῖ τὸ τήν. Ω̄ καὶ μαρτυρεῖ τὸ τήν. Ὁ νοῦς, Καὶ δῆλον ὅτι ἡ Ῥώμη πασῶν μάλιστα τῶν ἀρετῶν τὴν ἀνδρείαν ἐτίμα, ἐκ τοῦ ταύτης, εἶδος ἀρετῆς οὔσης, τοὔνομα εἰς ὅλον τὸ γένος, τουτέστι καὶ τὴν φρόνησιν, καὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην μετενεχθῆναι, ὥστε καὶ ταύτας ἀρετὰς καλεῖσθαι. Virtus γὰρ παρὰ Ῥωμαίοις ὀνομάζεται ἡ ἀνδρεία, παρὰ τὸ Vir, ὅ ἐστιν Ἀνήρ. Ἦν δὲ τοῦτο οὐ Ῥωμαίοις ἴδιον μόνοις, τὸ τὴν ἀνδρείαν πρώτην ἡγεῖσθαι τῶν ἀρετῶν, ἀλλὰ πολὺ πρότερον τοῖς Ἕλλησι, παρ' οἷς τὸ τῆς Ἀρετῆς ὄνομα, τὴν ἀνδρείαν ἐν πρώτοις ἐσήμαινε, παρὰ τὸν Ἄρην, προδήλως ἐτυμολογούμενον, παρ' ὃ καὶ ὁ Ἄριστος, καὶ ὁ Ἀριστεύς, κυρίως ὁ κατὰ πόλεμον διαφέρων (Ἰλιάδ. Α, 244)

—Ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.

— Στ. 11, ἐξηρτυμένον.) Ἐξ Ε.Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Ἐξηρτημένον. Ἔστι δὲ παρὰ τὸ Ἐξαρτύω (ὃ καὶ Ἐξαρτύνω λέγεται) τὸ παρασκευάζω· ἀνθ' οὗ ἡ παρ' ἡμῖν συνήθεια Διαρτύνω, λέγει παρὰ τὸ Διαρτύνω (Ἰσοκράτ. Β. σελ. 299), ὃ καὶ Διαρτίζω ἔλεγον οἱ ἀρχαῖοι. — Στ. 12, Ἤσκησε.) Δ. Γ. Ἴσχυσε. — Στ. 13, Καὶ διαπάλαις.) Δ. Γ. Καὶ ἐν διαπάλαις.— Στ. 14, Ἀεί.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Ἄν. — Στ. 20, Συνεστράτευον.) Δ.Γ. Συνελάμβανον. — Στ. 30, Βαλανηφάγους.) Ἐν τῷ παρ' Ἡροδότῳ (Α, ξστ) περὶ Ἀρκάδων χρησμῷ, ἐν ᾧ ἐστι καὶ τὸ,

Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν.

ὅπερ ἐσημειώσατο καὶ ὁ Πόρτος.

ΣΕΛΙΔ. 45, στ. 3, Πολίτου.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Πολλῆ τοῦ. — Στ. 6, Μελίτιον.) Γραφε Μελιτειον, καθὰ φέρεται ἀλλαχοῦ (Συμποσιακ. Δ, ε) τῶν Πλουτάρχου, " Τῶν τε βαρβάρων οἱ ,, μὴ πίνοντες οἶνον, μελίτειον πίνουσιν, ὑποφαρμάττοντες τὴν γλυ- ,, κύτητα οἰνώδεσι ῥίζαις καὶ αὐστηραῖς ,,. Καὶ διορθούσθω ἐντεῦθεν Ἡσύχιος, " ΔΙΑΒΑΛΛΟΝ, μέλι, καὶ μελίκρατον ,, Γραπτέον γὰρ ΔΙΑΒΑΛΑΝΟΝ, ὅπερ ἐστὶν αὐτὸ τοῦτο τὸ παρὰ Πλουτάρχῳ Μελιτειον, πόμα κληθὲν οὕτως διὰ τὸ διὰ βαλάνων κατασκευάζεσθαι. Ἔστι δὲ ἡ λέξις μυρεψική, ἢ φαρμακευτικὴ τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, καθὰ καὶ τὸ Διακώδιον, τὸ διὰ κωδίων σκευαζόμενον, καὶ τὸ νῦν ἔτι σωζόμενον παρὰ τοῖς Χίοις Διὰ ῥόδου, τὸ διὰ ῥόδων σκευαζόμενον, καὶ ἕτερα πλεῖστα καταχωρισθέντα ἐν τοῖς Ἰατρικοῖς Λεξικοῖς.—Τῶν νεμομένων.) Οὐκ ἀπεικότως ὕποπτος ἔδοξεν ἡ λέξις τοῖς πρὸ ἡμῶν· οὐ γὰρ ἰξῷ θηρᾶται τὰ νεμόμενα, ὥσπερ τὰ πτηνά· πλὴν εἰ μὴ τῶν νεμομένων ἐμνημόνευσε, δι' ἃς ἔνια τῶν τετραπόδων νέμονται βαλάνους.—Στ. 19, Τοῖς αὐτῶν.) Ἐκδιορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τοῖς αὐτοῖς.—Στ. 23, Καὶ τοῖς προτέροις... ἐριζοντας, καὶ μαρτυρίας ὑπερβαλέσθαι.) Ἴσως γραπτέον, Καὶ τοῖς προτέροις... ἐριζοντας μαρτυρίαις ὑπερβαλέσθαι, ἵν' ᾖ ὁ νοῦς, Εἶχε τοὺς ὑστέρους ἡγεμόνας ἐριζοντας τοῖς προτέροις, ὥστε ὑπερβαλέσθαι ἐκείνους ἐν ταῖς περὶ τῆς Μαρκίου τιμῆς μαρτυρίαις. Ἔστι μέντοι καὶ καθ' ὑπερβατὸν ἐκδέξασθαι τὸ λεγόμενον ἀντὶ τοῦ, ... Περὶ τῆς ἐκείνου τιμῆς καὶ μαρτυρίας (τουτέστιν ἐν τῷ τιμᾶν ἐκεῖνον, καὶ μαρτυρεῖν ἐκείνῳ τὰ καλὰ) ἐρίζοντας ὑπερβαλέσθαι.

ΣΕΛΙΔ. 46, στ. 6, Οὐολουμνίαν.) Οὕτω καὶ ἐν τοῖς ἑξῆς (§ 33, σελ. 72). Ἕτεροι δὲ, Οὐετουρίαν κεκλῆσθαι τὴν μητέρα Μαρκίου παραδεδώκασιν, Οὐολουμνίαν δὲ τὴν γυναῖκα. — Στ. 16, Τετρωμένων.) Δ.Γ. Τραυμάτων.— Στ. 19, Μάρκον.) Μάνιον τοῦτον καλεῖ Διονύσιος ὁ Ἁλικαρνασσεύς.

ΣΕΛΙΔ. 47, στ. 7, Ἀνίηνα). Δ. Γ. Ἀνίωνα. — Στ. 15, Μενήνιος.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ Μενίνιος.—Στ. 19, Ἀσυμβόλου.)Δ.Γ. Ἀσυμφόρου. —Στ. 22, Ὑπολαμβάνει.) Ἴσ. γρ. Ἀπολαμβάνει.

ΣΕΛΙΔ. 48, στ. 1, Βροῦτον Ἰούνιον καὶ Σικίννιον Βέλλουτον.) Τούτους ὁ Λίβιος (Βιβλ. Β, κεφ. 33) C. Licinium, καὶ L. Albinum καλεῖ δύο, οἱ τρεῖς ἑτέρους ἑαυτοῖς προσκαταλέξαντες (ὧν εἷς ἐκαλεῖτο Σικίνιος) τὸν παρὰ Πλουτάρχῳ ἀριθμὸν τῶν πέντε ἀπήρτισαν. — Ἔπιθι καὶ Διονύσιον Ἁλικαρνασσέα (Ῥωμ. Ἀρχ. στ. πθ΄). — Στ. 16, Λάρκιον.) Ὁ Ἀμιότος Λάρτιον· ὅπερ ἂν εἴη ἐκ συγκοπῆς τοῦ Ἑλ-

ληνικοῦ ὀνόματος Δαέρτιον, ὡς ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 431) δεδήλωται. —Στ. 17, Ῥωμαίων.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Ῥωμαῖον. —Στ. 1 , Ἐπεξῆλθον.) Η. Δ. ἀντὶ τοῦ Ὑπεξῆλθον. —Στ. 27, Ἐπηκολούθει. —Ἐδίωκεν. — Στ. 28, Προτροπάδην φεύγοντας.) Ἀμεταστρεπτὶ φεύγοντας.

ΙΛΙΔ. 49, στ. 2, Εἰς νοῦν ἐμβαλέσθαι.) Καθὰ καὶ ἐν τῇ συνηθείᾳ, Νὰ τὸ βάλῃ εἰς τὸν νοῦντου. Ἡ δὲ φράσις ὁμηρική· πολὺ γὰρ παρ' ἐκείνῳ τὸ Ἐν θυμῷ, ἢ Μετὰ φρεσὶ βάλλεσθαι, ἢ βάλλειν. Εἴρηκε δὲ καὶ Πίνδαρος (Πυθ. 78) Τιθέμεν νόῳ. Ἡμεῖς δὲ, καὶ, Βάλλει ὁ νοῦς μου, τουτέστι Λογίζεται, καὶ Ὅσα βάλῃ ὁ νοῦς μου, τοὐτέστιν, Ὅ, τι ἂν νοήσω, φαμέν. —Στ. 3, Ὠσάμενος.) Μέσον διὰ τὴν αὐτοπάθειαν· ἔστι γάρ, Ὦσας ἑαυτόν.—Ἐνήλατο.) Καὶ τοῦτο μέσον· ἀλλ' ἐκ τῶν καλουμένων ἀποθετικῶν, ἅπερ οἱ Γραμματικοὶ Ἐπίμεσα ὠνόμασαν. Τὸ γὰρ Ἄλλομαι ἀπέβαλεν ὃν εἶχε πάλαι τύπον ἐνεργητικὸν, τὸ Ἄλλω σωζόμενον ἔτι ἐν τῷ Ῥωμαϊκῷ Salio· ὅπερ οὐδέν ἐστιν ἕτερον ἢ τὸ παρὰ τοῖς Ἕλλησιν ἀπηρχαιωμένον Ἄλλω, προσλήψει τοῦ συνήθους σ (Ἡλιοδώρ. Β. σελ. 344), καὶ τροπῇ τοῦ ἑτέρου λ εἰς τὸ ι, ἣν οὐδὲν ἧττον εἶναι συνήθη μαρτυρεῖ τὸ Alius παρὰ τὸ Ἄλλος, καὶ τὸ Folium παρὰ τὸ Φύλλον, ὡς ἐσημειώσατο Οὐόσσιος) —Στ. 7, Κατεῖδον) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, (ἀναφορικῶς πρὸς τοὺς ἐν τῇ πόλει), ἀντὶ τοῦ, Κατεῖδεν (πρὸς τὸν Κοριολάνον). —Στ. 8, Ἔνδον ὄντας.) Τοὺς Ῥωμαίους, ὡς ἐξεδέξατό τις τῶν πρὸ ἡμῶν· ὁ δ' Ἀμιότος πρὸς τοὺς ἐν τῇ πόλει ἀναφέρει. —Ἀναμεμιγμένους.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀναμεμιγμένους, ἧς μεταμέλει μοι νῦν· ὤφειλον γὰρ προελέσθαι τὴν Δ. Γ. Ἀναμεμιγμένοις. Τῆς ὅλης δὲ ταύτης περιόδου, ἀσαφοῦς οὔσης διὰ τὸ μῆκος, τοιοῦτος ἂν εἴη ὁ νοῦς, Ἐνήλατο ταῖς πύλαις καὶ συνεισέπεσεν ὁ Κοριολάνος, μηδενὸς (τῶν ἐν τῇ πόλει) τὸ πρῶτον ἀντισχεῖν τολμήσαντος· ἔπειτα δὲ, συμβοηθούντων (αὐτῶν τούτων τῶν ἐν τῇ πόλει), ὡς κατεῖδον ὀλίγους ἔνδον ὄντας (τοὺς Ῥωμαίους), ἀναμεμιγμένος (ὁ Κοριολάνος ὁμοῦ (τοῖς συνακολουθήσασιν ὀλίγοις) φίλοις, καὶ (τοῖς ἐν τῇ πόλει) πολεμίοις, λέγεται ἀγωνιζόμενος ἄπιστον ἀγῶνα.. τοὺς μὲν ἐξῶσαι κτλ. — Στ. 13, Λαρκίῳ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Μαρκίῳ. Ἀμιότος δὲ Λαρτίῳ, ὡς καὶ ἀνωτέρω. —Στ. 16, Διαρρήσσει.) Συνώνυμον τοῦ Διακομίσει. Τὴν δὲ Διακόμισιν ἡ χυδαία συνήθεια Διαγούμισιν καὶ Διαγούμισμα λέγει, καὶ τὸ Διακομίζω, Διαγουμίζω (Ἰσοκράτ. Β, σελ. 62).— Στ. 22, Προκεχωρηκός.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Προσκεχωρηκός.—Στ. 28, Τιθεσθαι.)

Ἐξ Η. Δ. ἀντὶ τοῦ Γίνεσθαι, ὅπερ οὐκ ἔχει συνάπτεσθαι πρὸς τὸ, Ὀνομάζοντας. Ἔστι δ' ἐνθάδε τὸ Τίθεσθαι ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει συνθέτου Διατίθεσθαι, ἢ γοῦν ἐπὶ τῆς σημασίας τοῦ Ποιεῖν, καθὰ καὶ Ἀμιότος ἡρμήνευσε.

ΣΕΛΙΔ. 50, στ. 15, Διεκέκοπτο.) Δ. Γ. Διεκόπτετο. — Τῶν δ' ἑκατέρωθεν.) Ἐξ Ε. Δ. περιγραπτέον εἶναι τὸν σύνδεσμον ἔγνων. — Στ. 29, Γεγονώς.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Γενόμενος. — Στ. 30, Λαρκίου. Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Μαρκίου.

ΣΕΛΙΔ. 51, στ. 2, Ἄνευ δ' ἐκείνων.) Ἄνευ ὧν ἐκέλευσεν αὐτὸν ἐξελέσθαι δέκα ἀφ' ἑκάστων. Ἐκ Δ. Γ. Τὸ Ἐκείνων· ἐγράφετο γάρ πρότερον, Ἄνευ δ' ἐκείνου, ὅπερ ὁ Πόρτος ἐξηγεῖτο διὰ τῶν Ῥωμαϊκῶν ἰσοδυνάμων, Sine vero illo, καὶ Præterea vero. — Στ. 17, Ἢ δι' ὧν.) Ἢ τὰ ἀνδραγαθήματα, δι' ὧν (τουτέστιν ὧν ἕνεκεν) ἠξιοῦτο τηλικούτων. Οἱ πρὸ ἐμοῦ, ἔκτε τῆς Λατινικῆς, καὶ τῆς Ἀμιότου μετ αφράσεως ὡρμημένοι, ἔγραψαν, Ἢ δι' ἣν, τουτέστιν, Ἢ τὴν ἀρετὴν, δι' ἣν ἠξιοῦτο τηλικούτων· οὐδὲ οὕτω κακῶς, καίπερ οὐκ ἀναγκαίως. — Στ. 26, Τὸν Κοριολάνον.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Τὸ Κοριολάνον· πιστοῦται δὲ ταύτην Πλούταρχος ἐν τοῖς ἑξῆς (§ 23, σελ. 63) τοῦδε τοῦ βίου, καὶ ἀλλαχοῦ (Αἰμιλ. Παύλ. § 25, σελ. 145). Ἐπιθι καὶ τὰ περὶ τούτου σημειωθέντα μοι εἰς τὸν Ἡλιόδωρον (B, σελ. 57). — Στ. 28, Τῷ δὲ τρίτῳ ὕστερον ἐχρήσατο.) Οὐκ ἀκριβῶς ἐκπεφράσθαι ταῦτα καὶ οἱ πρὸ ἡμῶν συνῆκαν, καὶ Ἀμιότος δηλός ἐστι συνιδὼν ἐκ τοῦ παραφράσαι μᾶλλον αὐτὰ ἢ μεταφράσαι. Θεραπεύσεις οὖν ὁπωσοῦν τὸ λεγόμενον, εἰ τρέψεις τὸ Ἐχρήσατο εἰς τὸ Ἐχρήσαντο, ὑπονοῶν τὸ Ῥωμαῖοι, ἵν' ᾖ ὁ νοῦς, Ῥωμαῖοι τρισὶν ὀνόμασιν ὀνομάζεσθαι φιλοῦσι, τῷ μὲν πρώτῳ ὡς ἰδίῳ (ὥσπερ ἦν ἴδιον τοῦ Κοριολάνου τὸ Γάϊος), τῷ δευτέρῳ δὲ ὡς κοινῷ τοῦ γένους οὗ ἕκαστος ἦν (ὥσπερ τὸ Μάρκιος ἐπὶ τοῦ Κοριολάνου)· τελευτῶντες δὲ καὶ τρίτον προσελάμβανον ἐπωνύμιον ἔκ τινος πράξεως, ἢ ἀρετῆς (ὥσπερ αὐτὸ τοῦτο τὸ Κοριολάνος), ἢ τύχης, ἢ ἰδέας. — Στ. 30, Τὸν Σωτῆρα.) Ὥσπερ Ἀντίοχος ὁ πρῶτος, ὁ ἐπικληθεὶς Σωτὴρ, καὶ Δημήτριος, εἷς τῶν ἀπογόνων αὐτοῦ. — Τὸν Καλλίνικον.) Ὥσπερ Σέλευκος ὁ Ἀντιόχου υἱωνός.

ΣΕΛΙΔ. 25, στ. 1, Τὸν Φύσκωνα.) Ὥσπερ ὁ ἕβδομος Πτολεμαῖος, ὁ ἐπικληθεὶς Φύσκων· τοῦτο δ' ἂν εἴη συνώνυμον τοῦ Γάστρων, καὶ ὡς ἂν ἡ συνήθεια φαίη, Φουσκοκοίλιος, ἢ Φουσκοκοίλις — Τὸν Γρυπόν.) Ὥσπερ ὁ ὄγδοος Ἀντίοχος. — Τὸν Εὐεργέτην.) Ὥσπερ ὁ τρίτος Πτολεμαῖος, καὶ αὐτὸς ἔπειτα ὁ ἀνωτέρω μνημονευθεὶς Φύσκων Πτολεμαῖος,

ὁ ἑαυτὸν Εὐεργέτην ἐπονομάσας. — Στ. 2, Τὸν Φιλάδελφον.) Ὥσπερ ὁ δεύτερος Πτολεμαῖος, Πατὴρ Πτολεμαίου τοῦ Εὐεργέτου, κατ' ἀντίφρασιν οὕτως ἐπονομασθείς. — Τὸν Εὐδαίμονα, καθάπερ τῷ δευτέρῳ τῶν Βάττων.) Περὶ οὗ ἔπιθι τὸν Ἡρόδοτον (Δ, § 159). Τὸ δὲ, Καθάπερ, προσετέθη ὑπὸ τῶν πρὸ ἐμοῦ ἐκ Δ. Γ. — Στ. 4, Τὸν Δώσωνα.) Παρὰ τὴν μετοχὴν, Δώσων· ὑπισχνεῖτο γὰρ ἑκάστοτε δώσειν τοῖς αἰτοῦσί τι παρ' αὐτοῦ· ἐδίδου δὲ ἢ οὐδὲν, ἢ πολλῷ τῶν ἐπηγγελμένων καταδεέστερα. Περὶ τούτου, ἐν τῷ ἔναγχος ἑκδεδομένῳ τοῦ Ζωναρᾶ Λεξικῷ, ταῦτα εὕρηται οὐ πάνυ τι τῆς ἀκριβείας ἐχόμενα, ὥσπερ οὐδὲ πλεῖσθ' ἕτερα περὶ ἑτέρων. "Δώσων. κύριον. Οὕτως ἐκαλεῖτο ὁ εἷς ,, (γρ. Ἐκαλεῖτο εἷς) τῶν Ἀντιγόνων, ὁ υἱὸς Δημητρίου, ὃς ἔγημε Χρυ- ,, σηΐδα (γρ. Χρυσηΐδα) τὴν μητέρα Φιλίππου, τοῦ ὑπὸ Ῥωμαίους ,, γινομένου (γρ. Ὑπὸ Ῥωμαίοις γενομένου). Εἴρηται διὰ (γρ. Εἴρηται ,, δὲ διὰ) τὸ φιλότιμον, καὶ διὰ τὸ πολλὰ διδόναι καὶ χαρίζεσθαι ,, . Τὰ τελευταῖα ταῦτα, εἰ μὴ μνημονικόν ἐστιν ἁμάρτημα τοῦ Ζωναρᾶ, μεταποιητέον ἐστὶν εἰς τὸ, "Καὶ διὰ τὸ πολλὰ μὲν ὑπισχνεῖσθαι, ὀλίγα ,, δὲ διδόναι καὶ χαρίζεσθαι ,, , ὡς αὐτὸς ἐν τοῖς ἑξῆς (Αἰμ. Παύλ. § 7) Πλούταρχος ἐξηγήσεται. — Τὸν Λάθυρον.) Δ. Γ. Τὸν Λάμυρον, ἣν ἐξέφρασε καὶ ὁ Ἀμιώτος. Στράβων (σελ. 796), Λάθουρον, διὰ διφθόγγου. Οὕτω δὲ κληθῆναι Πτολεμαῖον τὸν Φύσκωνος φασί τινες διὰ τὴν ἐπὶ τῇ ῥινὶ ἀκροχορδόνα προσεμφερῆ λαθύρῳ. Ἔστι δὲ τοῦτο εἶδος ὀσπρίου, ὅπερ ἡ συνήθεια Λαθούριον, καὶ Λαθύριον, ὀνομάζει. — Στ. 6, Διαδήματόν τινα.) Γράφε, Διαδημάτου τινά· ἡ γὰρ εὐθεῖα Διαδήματος (οὐ Διαδήματος) ὀφείλει εἶναι, παρὰ τὸ ἐκ τοῦ Διάδημα σχηματισθὲν ὑπὸ Ῥωμαίων Diadematus. Ἀναλογεῖ δέ πως τοῖς παὸ Ἕλλησιν εἰς ωτος τὰ παὸ ἐκείνοις εἰς atus λήγοντα ὀνόματα παρώνυμα, ἢ μετοχικά, ἐξ ὧν παραλαβοῦσα ἡ Βυζαντικὴ χρῆσις ἐσχημάτισε τὰ μέχρι δεῦρο παὸ ἡμῖν σωζόμενα εἰς ατος ὀνόματα. Τοιαῦτα δὲ εἰσι τὸ Στρωτὸς, Χρυσωτὸς, Χειριδωτὸς (χιτὼν), τὰ ἄχρηστα Πωγωνωτὸς (ὁ Πωγωνίας) καὶ Ὠωτὸς (Ὠοειδὴς), ἅπερ ἐκεῖνοι ἐκφράζουσι διὰ τοῦ Stratus, Auratus, Manicatus, Barbatus, Ovatus. Ἐξ ἐκείνων δ' αὖ, τοῦ μὲν Stratus ἐσχημάτισεν ἡ παὸ ἡμῖν συνήθεια τὸ θηλυκὸν Στράτα (ὁδὸς στρωτὴ), τοῦ δὲ Barbatus, τὸ Πωγωνάτος, ἐπώνυμον τῶν Γραικορωμαίων Αὐτοκρατόρων τινὸς, καὶ τὸ αὐτολεξεὶ Βαρβάτος, ἐφ' ἵππου μεταφορικῶς λεγόμενον ἐντελοῦς (Βαρβάτον ἄλογον) διὰ τὸ σημεῖον ἀῤῥενότητος εἶναι τὸν Πώγωνα, τοῦ δὲ Ovatus, τὸν Ὠάτον, οἶκον θολωτὸν ἐν Βυζαντίῳ τὸν καὶ

Τροῦλλον κληθέντα (Δουκάγγ. λέξ. Ὠάτος). Τῆς αὐτῆς ἀναλογίας ἔχεται καὶ τὸ Γεμάτος (ὁ πλήρης), καὶ τὸ Ὀξεισάτος (ὁ ὀξει ῥανθείς, ἢ ὄξος ἔχων), παρὰ τὸν εἰς Ἰταλοὺς ἐκ Ῥωμαίων μεταχωρήσαντα τύπον τοῦ δηλοῦντος τὸν Ὄξυνον Acetato.— Στ. 8, Κέλερα.) Ταχύν. — Στ. 11, Πρόκλον.) Κατὰ συγκοπὴν ἀπὸ τοῦ Πρόκυλος, Ῥωμαϊστὶ Proculus, παρὰ τὸ ἐπίῤῥημα Procul ὃ σημαίνει τὸ Πόῤῥω· οὕτω γὰρ ἐπωνόμαζον τοὺς τοῦ πατρὸς πόῤῥω τῆς οἰκίας ὄντος τεχθέντας.— Στ. 12, Πόστουμον.) Postumus, παρὰ τὴν πρόθεσιν Post (Μετὰ), οὕτω καλουμένων τῶν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν τεχθέντων· οὓς ἂν εἴποις Ὀψιγόνους, ἢ Ὑστερογεννεῖς.—Στ. 12, Θατέρου τελευτήσαντος.) Ἢ μᾶλλον ἐξαμβλωθέντος, ὡς ἀποδεδώκασιν οἱ Ῥωμαϊκοὶ συγγραφεῖς τε καὶ γραμματικοί.—Στ. 14, Οὐοπίσκον.) Ῥωμαϊστὶ Vopiscous· ἡ δὲ παραγωγὴ ἄδηλος, ἢ γοῦν ἀμφίβολος.— Σύλλας.) Ῥωμαϊστὶ, Sulla, ἢ Sylla, ἢ Sula· τριφορεῖται γὰρ ἡ γραφή. Περὶ δὲ τῆς ἐτυμολογίας ἄλλοι ἄλλα ἀποδεδώκασιν οὐ πάνυ τι πιστὰ λέγοντες. — Νέγρους.) Παρὰ τὸ Ῥωμαϊκὸν Niger τὸ δηλοῦν τὸν Μέλανα, ἢ Μελάγχρουν, παρ' ὃν ἡ συνήθεια ἐσχημάτισε τὸ Μελαγχροινὸς ἐκ συναιρέσεως, ὡς ἔοικε, τοῦ Μελαγχρόϊνος. —Στ. 15, Οὐδὲ Ῥούφους.) Ἐκ Δ. Γ. Προσέθηκαν οἱ πρὸ ἐμοῦ τὰς λέξεις ταύτας. Ἔστι δ' ὁ Ῥοῦφος παρὰ τὸ Ῥωμαϊκὸν Rufus, ὃ δηλοῖ Πυῤῥός. Ἴσως δὲ καὶ ἐξ αὐτοῦ τοῦ Πυῤῥὸς (κατὰ μετάθεσιν Ῥυπὸς καὶ Ῥυφὸς) ἐστὶ τὸ Ῥωμαϊκὸν Rufus, καθὰ καὶ ὁ Rapax ἐκ τοῦ Ἅρπαξ. — Καίκους.) Παρὰ τὸ Ῥωμαϊκὸν Cæcus, ὃ σημαίνει τὸν τυφλόν.— Κλωδίους.) Παρὰ τὸ Ῥωμαϊκὸν Claudius κατὰ τροπὴν τῆς διφθόγγου εἰς τὸ ω. Τοῦτο δὲ παρὰ τὸ Claudus, τὸ σημαῖνον τὸν Χωλόν.—Στ. 20, Παυσαμένῳ δὲ τῷ πολέμῳ.) Δ. Γ. Παυσαμένου δὲ τοῦ πολέμου. — Στ. 26, Ἰσχυρᾶς οὖν ἀπορίας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἰσχυρᾶς δ' ἀπορίας.

ΣΕΛΙΔ. 53, Στ. 4, Εἰς θέον γεγονέναι καὶ κατὰ καιρὸν.) Ἴσως περιγράφειν χρὴ τρεῖς τὰς τελευταίας λέξεις· οὐδὲν γὰρ, ὡς εἰπεῖν, πλέον λέγει τὸ Κατὰ καιρὸν, τοῦ Εἰς θέον. — Στ, 5, Διὰ τὴν.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Διὰ δὲ τήν· Δ. Γ. Διά τε τὴν (ἣν προείλοντο οἱ πρὸ ἐμοῦ) . . : Διὰ δὴ τήν. — Στ. 17, Αὐτῷ.) Ἐξαλειπτέον, οἶμαι, τὴν ἀντωνυμίαν ταύτην, ἢ γοῦν τρεπτέον εἰς τὸ Αὐτούς, ὥς ἐστιν εἰκάσαι ἐκ τῆς Δ. Γ. Αὐτοῦ. — Στ. 18, Νοσεροῦ.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Τοῦ νοσεροῦ.— Στ. 21, Συνοικισομένους.) Δ. Γ. Συνοικιζομένους.

ΣΕΛΙΔ. 54, στ. 7, Φθονοῦντας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Φθονήσαντας.—Στ. 15, Ἐκταπεινοῦντες. . . δεικνύντες.) Ὤφειλε γρά-

φειν, Ἐκταπεινοῦσιν... δεικνῦσιν, καθὰ καὶ ἕτεροι πρὸ ἡμῶν ἐσημειώσαντο.—Στ. 18, Δήπου.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Δήμου.—Στ. 19, Προσιέναι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Προϊέναι.—Στ. 20, Οὐδὲ γάρ.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐδὲ δέ. Ἴσως δὲ καὶ ἑτέρου συνδέσμου προσθήκη γραπτέον, Οὐδὲ δὲ καί.—Στ. 22, Θίγουσα.) Ἴσ. γρ. Θιγοῦσα.—Στ. 27, Ὁ δεκάτας πρῶτον.) Γραπτέον, Πρῶτος· καθὰ φέρεται καὶ ἐν τῷ ἑξῆς στίχῳ.—Στ. 29, Προδοσίας περὶ Πύλου.) Περὶ τοῦ προδοῦναι, τουτέστιν ἐγκαταλιπεῖν, τὴν Πύλον καὶ τοὺς ἐν αὐτῇ πολιορκουμένους μὴ παραγενόμενος εἰς βοήθειαν αὐτῶν. Ἡ ἱστορία παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΓ, ξδ').

ΣΕΛΙΔ. 55, στ. 4, Ἑπτακαίδεκα ἔτη.) Ἓξ ἔτη μόνα ἀριθμεῖν τὸν Διονύσιον ἐσημειώσαντο οἱ πρὸ ἐμοῦ.—Στ. 22, Ὡς Πλάτων ἔλεγε.) Διώνι ἐπιστέλλων. Ἔλεγε δ' οὕτως. "Μὴ οὖν καθαυτὸ σε ὅτι διὰ τοῦ ,, ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστὼ· ἡ δ' αὐθάδεια ἐρη- ,, μία ξύνοικος ,,.—Στ. 25, Ἐραστήν.) Δ. Γ. Ἐραστής.—Στ. 29, Πικρίας.) Ἐπὶ τοῦ, Ὀργῆς, ἐνταῦθα. Ἡ δὲ συνήθεια τὴν Πικρίαν, καὶ κατὰ συγκοπὴν καὶ τοῦ τόνου ἀνάθασιν, Πίκρον, (πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου Πικρὰ), μετήνεγκεν ἐπὶ τῆς ἀνίας ἢ λύπης· καὶ τὸ μέσον ῥῆμα Πικραίνομαι, ἐπὶ τοῦ Ἀνιῶμαι ἢ Λυποῦμαι· ἐφ' ἧς σημασίας ἐκληπτέον καὶ τὴν τοῦ Κωμικοῦ Ἀντιφάνους) Παρ' Ἀθηναίῳ σελ. 258 (γράφοντας καὶ στίζοντας ῥῆσιν ὡδί),

Ὁ ζωγράφος πονεῖ τι καὶ ΠΙΚΡΑΙΝΕΤΑΙ·
Ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις πάλιν.
Πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος·
Ἡμῖν δὲ μετὰ ΓΕΛΩΤΟΣ ὁ βίος καὶ τρυφῆς.

Φαμὲν δὲ καὶ Πικραμένον, τὸν λελυπημένον, καθάπερ Ἱπποκράτης (Περὶ διαίτ. ὀξ. § 21) συνωνύμως εἴρηκε, "Περίλυποί τε καὶ πικροὶ ,, γίνονται ,,.

ΣΕΛΙΔ. 56, στ. 5, Καὶ ζῆλον... τοὺς κατορθοῦντας.) Ὅτι μὲν ἡμάρτηται τοῦ χωρίου ἡ γραφὴ, καὶ οἱ πρὸ ἡμῶν ὑπενόησαν· ἣν δὲ προσάγειν θεραπείαν ἐπεχείρησαν ἐκ τῆς Ἀμυότου μεταφράσεως ὡρμημένοι, Καὶ ζ. ἀ. ἄ. φ. π. ἀ. ἐκπυρῶσαι δεινὸς, καὶ ἐπαίνῳ γαυρῶσαι τοὺς κατορθοῦντας, οὐκ ἔστιν ὅστις ἂν τῶν καὶ κατὰ μικρὸν κριτικῆς ἁψαμένων ἀποδέξαιτο. Ἴσως ἐγέγραπτο, "Καὶ ζῆλον ἀ. ἄ. φ. π. ἀ. ,, γαυρῶν τοὺς κατορθοῦντας ,, , ἀπὸ κοινοῦ προσλαμβανομένου τοῦ Διδάσκαλος, ἵν' ᾖ ὁ νοῦς, Καὶ ἦν αὐτοῖς διδάσκαλος τοῦ ζηλοῦν τὴν

ἀρετὴν ἀλλήλων, ἄνευ φθόνου, γαυρῶν (τουτέστιν ἐπαίρων διὰ τῶν ἐπαίνων) οὓς αἴσθοιτο κατορθοῦντας. Ἔστιν ἴσως καὶ οὕτω διορθοῦν, " Καὶ οἷος εἰς ζῆλον ἀρετῆς, ἄνευ φθόνου, πρὸς ἀλλήλους γαυρῶσαι ,, τοὺς κατορθοῦντας ,, , τουτέστι, Καὶ ἱκανὸς ἐπᾶραι τοὺς κατορθοῦντας εἰς τὸν πρὸς ἀλλήλους, ἄνευ φθόνου, ζῆλον τῆς ἀρετῆς. —Στ. 13, Χρήσεσθαι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Χρήσασθαι. —Στ. 29, Ἡμᾶς.) Δ. Γ. Ὑμᾶς.—Στ. 30, Ἐλπίσαντες.) Νομίσαντες.

ΣΕΛΙΔ. 57, στ. 17, Τοῦ Μαρκίου τὴν αἰτίαν ἐποιοῦντο.) Τουτέστι τὸν Μάρκιον μόνον ἠτιῶντο, καὶ οὐ σύμπασαν τὴν βουλήν.—Στ. 22, Ἀπετρίψαντο) Δ. Γ. Ἀπετρέψαντο.—Στ. 27, Καταστήσωσι.) Παύσωσι τῆς ταραχώδους κινήσεως· ὅθεν, Καθεστὼς παρὰ Πλάτωνι (Ἐπιστολ. Ζ. σελ. 331) ὁ φρόνιμος, οὗ τὸν ἀντικείμενον Ἀκατάστατον καλεῖ ἡ συνήθεια.

ΣΕΛΙΔ. 58, στ. 2, Ἀπολυόμενοι.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ ἀποδυόμενοι. —Στ. 10, Παροξύνειν.) Παροξύναι ὤφειλεν εἶναι, καθὰ καὶ οἱ πρὸ ἡμῶν ἐσημειώσαντο.—Στ. 13, Ὁλίτας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Ὁπλίτας.—Στ. 14, Παρὰ φύσιν ὑφέντα τὸ φρόνημα καὶ θεραπεύοντα τὸν δῆμον, ἢ κτλ.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Παρὰ φύσιν θεραπεύοντα τὸ φρόνημα, ἢ—Στ. 18, Ὡς δ' ἤρξατο.) Πρὸς τὸ ἑξῆς Χρῆσθαι.—Πρὸς τοὺς ἀνθρώπους.) Δ. Γ. Πρὸς τὸν δῆμον.—Στ. 21, Προσώπου.) Ὑπόστιζε μετὰ τὸ Προσώπου, ἵν' ἀπὸ κοινοῦ ᾖ τὸ Χρῆσθαι πρὸς τὸ, Τόνῳ, καὶ πρὸς τὸ, Διαθέσει.—Στ. 23, Τοῖς λεγομένοις.) Δ. Γ. Τοῖς λόγοις.—Στ. 30, Πολλοῖς.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Τοῖς πολλοῖς.

ΣΕΛΙΔ. 59, στ. 4, Ἐπειδή.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐπεὶ δὲ, μεταβαλόντες καὶ τὴν στίξιν τοῦ χωρίου.—Στ. 11, Τί βουλόμενοι... κολάζειν.) Δ. Γ. Τί βουλόμενοι Μάρκιον οὐκ ἐῶσι τοὺς Δημάρχους κολάζειν.—Στ. 13, Τί μὲν οὖν... ὑμεῖς.) Τὸ, μὲν οὖν, ὅπερ οἱ πρὸ ἡμῶν μὴ συνέντες διορθοῦν ἐπεχείρησαν, σημαίνει ὧδε τὸ, Μᾶλλον, ὥσπερ ἂν εἰ καὶ ἔλεγον πρὸς τὸν ἐρωτῶντα Σικίννιον, Ὑμᾶς μᾶλλον ἡμεῖς ἐρωτᾶν ὀφείλομεν, ἢ Ὑμεῖς μᾶλλον ἡμῖν ἀποκρίνασθαι ὀφείλετε, Τί διανοεῖσθαι κτλ.—Στ. 14, Ῥωμαίων.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Ῥωμαῖον· πρὸς γὰρ τὸ Ἀρίστοις.—Στ. 23, Νουνδίνας.) Ῥωμαϊστὶ Nundinæ, παρὰ τὸ Nono die, ὅ ἐστιν, Ἐννάτῃ ἡμέρᾳ. Ἀναλογοῦσι δέπως αἱ παρὰ Ῥωμαίοις Νουνδῖναι τῇ παρ' ἡμῖν νῦν Κυριακῇ, ὡς ἐστιν ἀναλέξασθαι ἐκ τοῦ Μακροβίου (Κρονικ. Α, 16).

ΣΕΛΙΔ. 60, στ. 12, Τίνα.) Δ. Γ. Τί.—Στ. 13, Ἐξάγουσιν.) Δ. Γ.

Εἰσάγουσιν. — Στ. 21 στρατευομένων.) Στρατευσαμένων, γράφειν δεῖν ἀπεφήνατό τις τῶν πρὸ ἡμῶν.

ΣΕΛΙΔ. 61, στ. 2, Στρατευσαμένους.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Στρατευομένους.—Στ. 3, Αὐτῷ.) Δ. Γ. Αὐτῶν. —Τέλος δ' οὖν. Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Τέλος δ' αὖ. — Στ. 4, Αἱ καθαιροῦσαι τρεῖς ἐγένοντο.) Τουτέστι τρισὶ πλείους τῶν ἀπολυουσῶν. Εἴκοσι γὰρ καὶ μιᾶς οὐσῶν τῶν παρὰ Ῥωμαίοις φυλῶν, αἱ μὲν ἐννέα ἀπέλυσαν τὸν Μαρκιον, αἱ δὲ δώδεκα κατεδίκασαν· ὡς ὀρθῶς διεσάφησέ τις τῶν πρὸ ἡμῶν, Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ χρησάμενος μάρτυρι.—Στ. 19, Μεταβάλη.) Ἡ λύπη, δηλαδή. — Στ. 30, Λογισμῶν.) Δ. Γ. Διαλογισμῶν.

ΣΕΛΙΔ. 62, στ. 1, Ὥστ' οὔτ' εἰς καλόν ... ἀναστῆσαι ἐπ' αὐτούς.) Δ. Γ. Ὡς οὔτ' εἰς καλὸν κ. τ. λ. Τὸ χωρίον οὐκ ἐρρῶσθαι νομίσαντες διορθοῦν οἱ πρὸ ἡμῶν παρήνεσαν, Ὡσάμενος εἰς καλὸν κ. τ. λ. συνάπτοντες τῷ Θυμός· ἕτεροι δὲ, Ὥσεν ἑαυτὸν οὔτ' εἰς καλόν. Ἴσως γραπτέον (περιελόντας τὸ Ὥστ') Οὔτ' εἰς καλὸν, ἤ γοῦν, "Οὔτε καλὸν, ,, οὔτε συμφέρον οὐδέν, ἀλλ' ἢ τὸ Ῥωμαίους μετελθεῖν ἐγίνωσκε, πό- ,, λεμόν τινα βαρὺν καὶ ὄμορον ἀναστήσας ἐπ' αὐτούς ,,. — Στ. 3, Πρῶτον.) Δ. Γ. Τοπρῶτον. Ἄμεινον δὲ τὸ γράφειν Πρώτων, ὡς παρήνεσαν καὶ οἱ πρὸ ἡμῶν.— Στ. 10. Ἀμφίδιος.) Δ. Γ. Ἀφίδιος· ἑτέρα δὲ Δ. Γ. Ἄττιος, ὥσπερ φέρεται καὶ παρὰ τῷ Λιβίῳ, καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ.— Στ. 17, Κακῶσαι.) Δ. Γ. Κολοῦσαι. —Στ. 18, Τῷ εἰπόντι, Θυμῷ μάχεσθαι κ. τ. λ.) Ἡράκλειτός ἐστιν ὁ εἰπὼν τοῦτο· οὗ Πλούταρχος μέμνηται καὶ ἀλλαχοῦ (Περὶ ὀργ. § 9, καὶ Ἐρωτικ. § 11), καὶ πρὸ τοῦ Πλουτάρχου Ἀριστοτέλης (Πολιτικ. Ε, ιά). Ἔστι δὲ πεζὸν, καὶ οὐχ, ὡς ἄν τις παραχθεὶς ὑπὸ τῶν τυπογραφικῶν χαρακτήρων ὑπολάβοι, ἔμμετρον τὸ λεγόμενον. — Στ. 22, Ἀνδρῶν δυσμενέων.) Ἐξ Ὁμήρου (Ὀδυσ. Δ, 246). —Στ. 25, Ἐκάθιζε.) Ἴσ. γρ. Ἐκάθισε.— Στ. 27, Ἦν γάρ τι καί.) Ἴσως περιαιρετέος ὁ Καί.

ΣΕΛΙΔ. 63, στ. 4, Ὁ πλεῖστά σε καί.) Ἐκ Δ.Γ. Οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὁ πλεῖστα καί. Ἄμεινον δὲ τὸ ὀρθοτονεῖν ὧδε τὴν ἀντωνυμίαν, Ὁ πλεῖστα σὲ καί. — Στ. 13, Ἐκβαλόντων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐκβαλλόντων. — Στ. 16, Τοσούτῳ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Τοσοῦτον.

ΣΕΛΙΔ. 64, στ. 1, Λατῖνος.) Οὗτος παρ' ἑτέροις Λατίνιος, παρ' ἄλλοις Ἀτίνιος, ἔστι δ' οἷς, Ἄννιος καλεῖται.— Στ. 17, Ἠκολουθήκει.) Ἴσ. γρ. Ἠκολούθει.—Στ. 19, Ἐπεξῆλθεν.) Ἐτιμωρήσατο. —Στ. 24,

Ῥυμόν.) Τῆς ἁμάξης τὸ μέσον τῶν ἵππων ξύλον, τὸ εἰς ὀξὺ λῆγον, ᾧ συνδέδεται ὁ ζυγός. — Στ. 27, Φουρκίφερ.) Ῥωμ. Furcifer, ὅπερ ἐξελληνιζόμενον εἴη ἂν Δικρανοφόρος.—Ὑποστάτην.) Οἷον ὑπέρεισμα καὶ ὑποστύλωμα· σχῆμα γὰρ εἶχεν ἡ Φούρκα, τουτέστι τὸ δίκρανον, τοῦ Λ στοιχείου, ᾧπερ ἀνεστραμμένως ἐχρῶντο εἰς τὸ ἀνέχειν τὰ στηριγμοῦ δεόμενα, οἷός ἐστιν ὁ ῥυμὸς τῆς ἁμάξης, ἀπολυθέντων τῶν ἵππων. Τοῦτο δὲ τὸ Λαμβδόσχημον ξύλον ἐπιτιθέντες τῷ τραχήλῳ τοῦ πλημμελήσαντος δούλου, καὶ τὰς χεῖρας ταῖς κεραίαις προσδήσαντες περιηγον αὐτὸν διὰ της γειτνιάσεως. Φούρκα δὲ ὡσαύτως ἐκαλεῖτο, καὶ ᾧ προσέδουν τοὺς καταδίκους· ἦν δὲ τοῦτο παραπλήσιον τῷ Π στοιχείῳ, καθάπερ καὶ ἡ τοῖς Γαλάταις καλουμένη Potence. Ἔσωσε δὲ καὶ ἡ παρ' ἡμῖν συνήθεια ἐπὶ της αὐτῆς ταύτης σημασίας τὸ Ῥωμαϊκὸν Φούρκα (πλὴν εἰ μὴ καὶ τοῦτο, ὥς τισιν ἔδοξε, παρὰ τὸ τῶν ἀρχαίων Ὕρχη παρῆκται, προσθέσει τοῦ φ), καὶ ῥῆμα σχηματίσασα ἀπὸ τούτου τὸ Φουρκίζω τουτέστι διὰ τῆς Φούρκας ἀποκτείνω.

ΣΕΛΙΔ. 65, στ. 2, Ἐξήλασαν.) Δ.Γ. Ἐξήγαγον. —Στ. 8, Ὂκ ἄγε.) Ῥωμαϊστὶ, Hoc age.—Στ. 11, Ὡς τὰ πλεῖστα τῶν ἀνθρωπίνων. . . διὰ βίας περαινόμενα.) Ὁ νοῦς, Οὐ χρὴ τὰς θείας τελετὰς διακόπτειν ἠργμένας ἤδη, καὶ ὑπερτίθεσθαι τὴν τελείωσιν αὐτῶν, προφάσει ἀσχολίας ἑτέρας ἀναγκαίας· ὥσπερ εἰσὶ τῶν ἀνθρωπίνων ἔργων τὰ πλεῖστα, ἃ πολλάκις ἡμιτελῆ καταλείπομεν, καὶ ὅλως, ἑτέρως, ἢ ὥσπερ ἐπεβαλόμεθα τὴν ἀρχὴν, περαίνομεν, διὰ τὸ κατ' ἀνάγκην αὐτὰ πράττεσθαι.—Στ. 13, Ἀλλὰ[καὶ διὰ μικράς.) Οὕτως ὁ Στέφανος καὶ οἱ πρὸ ἐμοῦ δύο· ἑτέρων ἐκδόσεων φερουσῶν, Ἀλλὰ καὶ διὰ μικρᾶς, κατὰ γενικὴν ἐνικήν. Οὐδετέρα μέντοι τῶν γραφῶν ἔρρωται· ἀλλὰ γραπτέον Ἀλλὰ καὶ μικρᾶς, ἀπὸ κοινοῦ λαμβανομένης τῆς προηγησαμένης προθέσεως, Ἐξ. — Στ. 14, Θήσσας.) Ὤφειλεν εἰπεῖν Θήνσας, παρὰ τὸ Ῥωμαϊκὸν Thensæ (Θῆνσαι), αἳ ἦσαν ἁρμαμαξαὶ ὀχήματα ἐν οἷς περιήγοντο τὰ τῶν θεῶν ἀγάλματα· ἀλλ' εἵλετο μᾶλλον τὸν Ἑλληνικὸν τύπον, καθ' ὃν τὸ ν πρὸ τοῦ σ, εἰς αὐτὸ τοῦτο τὸ σ φιλεῖ τρέπεσθαι οἷον Σύσσημος, Σύσσωμος κ. τ. λ.— Στ. 14, Ἵππου τε γὰρ. . . ἀτονήσαντος, καὶ πάλιν κ. τ. λ.) Τοῦτο διαφόρως ἡρμήνευται ὑπό τε τοῦ Λατίνου μεταφραστοῦ καὶ τοῦ Ἀμιότου· οἶμαι δὲ τὸ, Πάλιν, ὧδε ἐπὶ τοῦ ὀπίσω ἐκδεκτέον εἶναι κατὰ τοιόνδε τινὰ νοῦν, Ἑνός ποτε τῶν ἀγόντων τὰς Θήσσας ἵππου ἀτονήσαντος, καὶ ὅσον οὐκ ἤδη προπίπτοντος, καὶ τοῦ ἡνιόχου τῇ ἀριστερᾷ χειρὶ συλλαβόντος εἰς τοὐπίσω τὰς ἡνίας, τουτέστιν ἀναχαιτίσαντος, ἵνα μὴ πέσῃ αὖθις ἐψηφίσαντο

κ. τ. λ.—Στ. 16, Ἐν δὲ τοῖς κάτω χρόνοις.) Τοῖς μικρὸν πρὸ ἡμῶν, δηλαδή.—Στ. 17, Μίαν θυσίαν τριακοντάκις ἐποίησαν.) Τοῦτο γὰρ ἐσύμφερε μάλιστα, χρηστὲ Πλούταρχε, τοῖς νεμομένοις τὰς θυσίας ἱερεῦσι Ρωμαίων καὶ μάντεσι.—Στ. 20, Ἐν Ἀντίῳ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐναντία.

ΣΕΛΙΔ. 66, στ. 9, Συμμαχῶν ὠφελήσει κ. τ. λ.) Συμμαχῶν αὐτοῖς ὠφελήσει πλέον, ἢ ἔβλαψε πολεμήσας. — Στ. 15, Παρασκευάσθαι.) Ἴσ. γρ. Παρασκευάζεσθαι.

ΣΕΛΙΔ. 67, στ. 2, Φύλακα.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Φύλακας. — Στ. 3, Πόλεμον αὐτόν.) Ἐκ Δ. Γ. ἢ μεταφράσεων, ἀντὶ τοῦ, Πόλεμον αὐτῶν. Ἕτεροι δὲ, Πολέμιον αὐτῶν· ὁ δ' Ἀμιότος Πολέμιον αὐτόν. ὅπερ ἄμεινον. Ὁ γὰρ νοῦς· Καθησθαι θεατὰς, ἔχοντας ἔξω αὐτὸν τὸν πολέμιον (τουτέστι τὸν Κοριολάνον) φύλακα τοῦ ἰδίου πλούτου καὶ τῶν χρημάτων.—Στ. 17, Προσδεχόμενος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Προσδεχομένων). — Στ. 23, Λαουϊκάνους.) Ἐξ Ε. Δ. (καὶ Δ. Γ. Λαβικάνους), ἀντὶ τοῦ, Οὐϊκάνους.—Στ. 28, Βόλλας.) Βοΐλλας, γράφειν παρανοοῦσί τινες, ἐκ τοῦ Διονυσίου τοῦ Ἁλικαρνασσέως (Ῥωμ. Ἀρχ. Η, κ΄)ὡρμημένοι.

ΣΕΛΙΔ. 68, στ. 3, Εἶναι.) Περιαιρετέον εἶναι δοκεῖ τὸ ἀπαρέμφατον τοῦτο, ὡς εἰς οὐδὲν χρήσιμον.—Στ. 7, Συγάσεσι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Συστάσει. Δύναται δὲ, Συλλόγοις, συναθροίσεσι.—Στ. 26, Ὑπ' ὀργῆς.) Ἐκ Δ. Γ, οὕτω διορθώσαντος πάλαι καὶ τοῦ Πόρτου, ἀντὶ τοῦ, Ἐπ' ὀργῆς· ὃ οἱ πρὸ ἡμῶν ἔτρεψαν εἰς τὸ, Μετ' ὀργῆς.

ΣΕΛΙΔ. 69, στ, 13, Μετ' ὄγκου καθεζομένῳ.) Τὸ μὲν Καθεζομένῳ ἐκ Δ. Γ. ἀντὶ τοῦ, Καθεζομένου· τὸ δὲ Ὄγκου, ἐξ Ε. Δ. ἀντὶ τοῦ Ὄχλου. Ἐσημειωσάμεθα δὲ καὶ ἡμεῖς ἀλλαχοῦ (Σημ. εἰς τὴν Γαλατ. μετάφρ. τοῦ Περὶ ἀέρ. ὑδ. τόπ. Ἱπποκράτ. σελ. 95) παραπλησίαν σύγχυσιν τῶν λέξεων.—Στ. 16, Ἐν ἤθει τῷ πρέποντι). Ἐν σχήματι σώματος, καὶ φωνῆς τόνῳ πρέποντι· τοῦτο γὰρ ἐνταῦθα σημαίνει τὸ Ἦθος. Ὅθεν καὶ "Ηθολόγος, ὁ Θεατριστὴς ,, παρ' Ἡσυχίῳ, τουτέστιν, ὁ ὑποκρινόμενος τὰς πράξεις τῶν ἀνθρώπων ἐν ἤθει τῷ πρέποντι ἑκάστοις.—Στ. 29, Πάντα μόνον ἡγουμένων αὐτοῖς εἶναι τὸν Μάρκιον.) Ἀντὶ πάντων αὐτοῖς εἶναι νομιζόντων μόνον τὸν Μάρκιον· πληθυντικὸν γὰρ οὐδέτερόν ἐστιν ὅδε τὸ Πάντα, καθὰ καὶ πρὸ ἡμῶν ἐσημειώσατο ἕτερος.

ΣΕΛΙΔ. 70, στ. 5, Πάντα σώζεσθαι) Ἐξ Ε. Δ. ἀντὶ τοῦ (ἐν τρισὶ

λέξεσι) Πάντα ταῦτα σώζεσθαι.— Στ. 6, Οὔ μείζονας οὐδὲν ἐν ἐλάττονι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐ μείζονας, οὐδ' ἐν ἐλάττονι. Δ. Γ. Ὂν μείζονας καὶ ἐν ἐλάττονι. Ἴσως ἄμεινον τὸ γράφειν· Οὔ μείζονας οὐδὲν, οὐδ' ἐν ἐλάττονι. — Στ. 9, Περιέκοπτε.) Ἐξηγησάμεθα ἀνωτέρω (σελ. 372) τὴν λέξιν. — Στ. 15. Δεησομένην.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Δεηθησομένην.— Ὑφέσθαι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ σολοίκου, Ὑφεῖσθαι.—Στ. 19, Γενήτεσθαι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Γενέσθαι —Στ. 21, Ἀποκρίνεσθαι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ἀποκρίνασθαι· ἐνεχῶτος γὰρ ὧδε χρεία, ἢ γοῦν μέλλοντος, Ἀποκρινεῖσθαι, ὡς ἐξέφρασεν ὁ Ἀμιότος.—Στ. 27, Τὴν ἀφ' ἱερᾶς.) Δύω παροιμίας συνέχεεν ὧδε Πλούταρχος, ὧν ἡ μὲν ἐστὶ, Κινεῖν τὸν ἀφ' ἱερᾶς (ἐλλειπτικῶς τοῦ Πεσσὸν, ἢ Λίθον), ἐπὶ τῶν ἐν ἀπογνώσει δεομένων βοηθείας ἐσχάτης ὡς φησιν Εὐστάθιος (σελ 633), λεγομένη, ἀπὸ μεταφορᾶς τῶν πεττευόντων, ὑφ' ὧν μία τις μέση γραμμὴ ὠνομάζετο ἱερὰ, ἐπειδὴ ὁ ἡττώμενος ἐπ' ἐσχάτην αὐτὴν ἵετο· ἡ ἑτέρα δ' ἂν εἴη, ἡ λεγομένη Ἱερὰ ἄγκυρα, ἣν ἐσχάτην ἀφίεσαν εἰς τὴν θάλασσαν οἱ χειμαζόμενοι, καὶ ἣν μάλιστα αἰνίττεσθαι τὸν Πλούταρχον ὧδε, δηλοῖ τό, τε ῥῆμα Ἀφῆκεν, καὶ τὸ, Χειμῶνι πολλῷ καὶ κλύδωνι. Ὤφειλεν οὖν εἰπεῖν, " Τὴν ,, ἱερὰν ἄγκυραν ἀφῆκεν ,, ἢ, τὴν πρώτην ἐκφράζοντα παροιμίαν, " Καθάπερ ἐν κινδύνῳ μεγίστῳ τῆς πόλεως τὸν ἀφ' ἱερᾶς ἐκίνησεν. ,,

ΣΕΛΙΔ. 71. στ. 1, Ὡς ἦν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὡς ἐνῆν. — Στ. 5, Ἔδωκεν.) Ἴσ. γρ. Ἐνέδωκεν. — Στ. 12, Τῷ . . . λεγομένῳ.) Ἐκ διορθώσεως (ᾗ συνάδει καὶ Ἀμιότος) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τῶν... λεγομένων —Στ. 16, Τῷ δ' ἄρ' ἐπὶ φρεσὶ κ. τ. λ.) Γραπτέον, Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ κ. τ. λ. ὡς φέρεται παρ' Ὁμήρῳ (Ὀδυσ. Φ, 1). — Στ. 18, Ἀλλά τις ἀθανάτων κ. τ. λ.) Παρήλλακται ταῦτα τῶν παρ' Ὁμήρῳ Ὀδυσ. Ξ, 178,)

Τοῦ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον εἰσας,

ἢ ἑτέροις ἀντιγράφοις χρησαμένου Πλουτάρχου, ἢ τῇ ἰδίᾳ μνήμῃ παρὰ τὸ προσῆκον θαῤῥήσαντος. — Στ, 19, Δήμου θῆκε φάτιν.) Τοῦτο δὲ οὐδὲ φέρεται ὅλως παρ' Ὁμήρῳ. — Στ. 21, Ἤ τι Ὀισσάμενος κ. τ. λ.) Ἐξ Ὁμήρου (Ὀδυσ. Ι, 339).—Στ. 27, Αὐτὰρ ἐγὼ βουλευσα. κ. τ. λ.) Παρ' Ὁμήρῳ δὲ (Ὀδυσ. Ι, 299), " Τὸν μὲν ἐγὼ βούλευσα κ. τ. λ. ,, . — Στ. 29, Ὡς φάτο κ. τ. λ.) Ἰλιάδ. Α, 188, 189, ὅπου καὶ Δ. Γ. (καθὰ καὶ ἐν τῷδε Πλουτάρχου τῷ χωρίῳ) Μερμήριξεν, ἀντὶ τοῦ Μερμήριζεν.

ΣΕΛΙΔ.

ΣΕΛΙΔ. 72, στ, 2, Ἀλλὰ τὸν οὔ τι.) Ἰλιάδ. Ζ. 162. — Στ. 12, Πλάττοντες.) Σχηματίζοντες τοίως ἢ τοίως. Ἀλλ' ἴσ. γρ. Τάττοντες, τουτέστι Διατάττοντες, διατιθέντες τοίως ἢ τοίως. Ὑπονόει δ' ἀπὸ κοινοῦ τὸ Συνεργοῦσιν.—Εἰς ἃ δεῖ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὡς δεῖ. Τὸ δόγμα δὲ Πλατωνικόν· οὕτω γὰρ ἐκεῖνος ἐν τῷ Κριτίᾳ (σελ. 109) περὶ τῶν θεῶν, "Οὐ σώμασι σώματα βιαζόμενοι, καθάπερ ποιμένες κτήνη ,, πληγῇ νέμοντες, ἀλλ' ἢ μάλιστα διάνοιαν ἄγοντες τὸ θνητὸν ἅπαν ,, ἐκυβέρνων ,, . — Στ. 14, Ἐπινοίαις.) Ἐπιπνοίαις, διορθοῦν τινες ἐπεβάλοντο. — Στ. 17, Δοκιμώταται.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Δοκιμώτατοι. — Καπιτωλίνου.) Ἐκ Δ. Γ, οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Καπιτωλίου. — Στ. 19, Μεγάλα.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μεγάλου.—Στ. 26, Οὐολουμνίας.) Οὐετουρίας καὶ ὧδε γράφειν δεῖν φασίν, ὥσπερ ἀνωτέρω (σελ. 374 ἐσημειωσάμεθα).—Στ. 27, Νυοῦ.) Συγγενὲς καὶ συνώνυμον ὄνομα ἡ Νυὸς τῇ Νύμφῃ, ἣν ἡ χυδαία συνήθεια, ἀποβολῇ τοῦ μ, Νύφην καλεῖ.)—Στ. 28, Ἐν κύκλῳ. . . αὐτῆς.) Περὶ ἑαυτήν· εἰ ὀρθῶς ἔχει ἡ γραφή, ἣν τινες εἰς τὸ, Ἐν κύκλῳ... αὐτῇ, τρέπειν παρήνεσαν, τῆς αὐτῆς σωζομένης ἐννοίας, Περιστήσασα ἑαυτῇ τὰς γυναῖκας ἐν κύκλῳ. Ἴσως μέντοι γραπτέον ἑτεροπαθῶς, Ἐν κύκλῳ. . . αὐτῇ (ἢ Αὐτῆς), ἵν' ᾖ, Περιστήσασα τὰς γυναῖκας ἐν κύκλῳ τῇ τοῦ Μαρκίου μητρὶ (ἢ Τῆς τοῦ Μαρκίου μητρός). Ὁ δ' Ἀμιότος ἡρμήνευσεν, Αὐταῖς· τῇ πενθερᾷ θηλυνότι καὶ τῇ νύμφῃ.—Στ. 29, Αὐταί γε). Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Αὗταί γε.—Οὐολουμνια, καὶ σὺ Οὐεργιλία). Κἀνταῦθα γράφειν παραινοῦσιν, Οὐετουρία, καὶ σὺ Οὐολουμνία· ὧν ἡ μὲν ἦν μήτηρ, ἡ δὲ γυνή, ἡ Οὐολουμνία, Μαρκίου.

ΣΕΛΙΔ. 73, στ. 4, Φέροντα.) Ἐλλειπτικῶς τοῦ Αἰτήματα, ἢ Δεήματα (ὃ ἐμπεριέχεται δυνάμει ἐν τῷ, Δεηθῆναι), ἢ ἄλλου τινὸς τοιούτου. Τὸ ἑξῆς, Δεηθῆναι δεήματα, φέροντα σωτηρίαν μὲν ἡμῖν καὶ τοῖς πολίταις, ὑμῖν δὲ δόξαν ἐπιφανεστέραν. Ἴσως μέντοι καὶ ἐγέγραπτο πάλαι ἐπιθετικῶς "Δεηθῆναι σωτήρια μὲν αὐταῖς . . ὑμῖν δὲ πει- ,, σθεῖσαις ἐπιφανεστέραν φέροντα δόξαν ,, . — Στ. 7, Ἱκετηρίας.) Γραπτέον Ἱκετείας, κατὰ τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, 144) σημειωθέντα. Καὶ μικρὸν ἀνωτέρω δὲ Ἱκετείαν (οὐχ Ἱκετηρίαν) εἴρηκε. — Στ. 12, Οὐολουμνία.) Καὶ ὧδε, Οὐετουρία.--Στ. 13, Ἡμῖν.) Ἐξ Ε. Δ. οἱ πρὸ, ἡμῶν ἀντὶ τοῦ, Ὑμῖν.—Στ. 20, Παίδων.) Δ. Γ. Τέκνων. -- Στ. 23, Οὐεργιλίαν.) Ἐνταῦθα Οὐολουμνίαν γράφειν δεῖν φασι. — Στ. 25, Τότε οἰκτράν.) Πρὸς τὸ ἑπόμενον, Αἰδῶ καὶ σιωπήν. Οἱ μέντοι πρὸ ἐμοῦ ἔτρεψαν, εἰς τὸ, Τό τ' οἰκτρόν. Ἕτεροι δὲ γραπτέον εἶναι ὑπει-

λήφασι, Τότε οἰκτρά, πρὸς τὸ Ὄψις --- Στ. 28, Μητέρα.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Γυναῖκα.

ΣΕΛΙΔ. 74, στ. 1, Προσελθεῖν.) Ἑαυτῷ τὴν μητέρα. --- Στ. 3, Εἶτα.) Οὕτω γέγραφα ὡρμημένος ἐκ τῆς Ἀμιότου μεταφράσεως, αντὶ τοῦ, Ἔτι.— Στ. 9, Παραζησάμενος.) Πλησίον ἑαυτοῦ σήσας. --- Οὐολουμνίας.) Οὐετουρίας, ὧδε γραπτέον εἶναι φασί.—Στ. 21, Παριμενῶ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Περιμένω. ---Στ. 22 Φιλίαν καὶ ὁμόνοιαν ἐκ διαφορᾶς καὶ κακῶν θέμενον.) Ἐξ Ε. Δ. προσέθηκα τὴν πρόθεσιν. Ὁ δ' Ἀμιότος ἡρμήνευσεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Φιλίαν καὶ ὁμόνοιαν διαφορᾶς καὶ κακῶν ἀνθελόμενον.

ΣΕΛΙΔ. 75, στ. 3, Ὅτι τῷ κρατεῖν δόξουσι κ. τ. λ.) Ὁ νοῦς, Ὅτι δόξουσι διὰ τὸ κρατεῖν (τουτέστι διὰ τὸ νικῆσαι ἡμᾶς) διδόναι τὰ μέγιστα τῶν ἀγαθῶν, εἰρήνην φημὶ καὶ φιλίαν, ἣν οὐχ ἧττον αὐτοὶ λαμβάνουσι.---Στ. 5, Γινομένων, μὴ γινομένων.) Ἴσ. γρ. Γενομένων, μὴ γενομένων.---Στ. 10, Οὐολουμνίας... Οὐολουμνία.) Καὶ ὧδε, Οὐετουρίας... Οὐετουρία.---Στ. 17, Οὐδενὶ μᾶλλον... ὡς σοί.) Οἱ πρὸ ἡμῶν ἔτρεψαν τὸ παραβολικὸν Ὡς, εἰς τὸ συγκριτικὸν, Ἢ, διὰ τὸ προηγησάμενον Μᾶλλον, ἀγνοήσαντες, ἢ ἐπιλαθόμενοι, ὅτι οὐδὲ τὸ Ὡς (εἰ καὶ μακρῷ σπανιώτερον τοῦ Ἢ) τὴν συγκριτικὴν ἀποστρέφεται σύνταξιν, ἐπὶ τῶν ἀποφατικῶν, ἢ ὡς ἀποφατικῶν, μάλιστα προτάσεων, κατ' ἔλλειψιν τοῦ Οὕτως, ἢ κατὰ πλεονασμὸν τοῦ Μᾶλλον. Αὐτίκα Πλάτων (Ἀπολογ. σελ. 36), κατὰ τὸ πλῆρες, " Οὐκ ἔσθ' ὅ, τι ΜΑΛΛΟΝ, ὦ ,, ἄνδρες Ἀθηναῖοι, πρέπει ΟΥΤΩΣ, Ὡς τὸν τοιοῦτον ἄνδρα ἐν Πρυ- ,, τανείῳ σιτεῖσθαι ,, ὅ τινες, ἐν οἷς καὶ ὁ Στέφανος (Θησαυρ. Β, σελ. 775), μὴ νοήσαντες, ἡμαρτῆσθαι τὴν γραφὴν τοῦ χωρίου, οὐκ εἰκότως ὑπέλαβον. Καὶ αὕτη μὲν σπανιωτάτη παρὰ τοῖς ἀρχαίοις, ὡς ἔφην, ἡ σύνταξις· ἐπὶ δὲ καταφατικῆς ἐννοίας, καὶ ὅλως ἄχρηστος, πλὴν εἰ μή τις τὸ " Μελάντερον, ΗΫΤΕ πίσσα ,, τοῦ Ὁμήρου (Ἰλιάδ Δ, 277) τοιαύτης εἶναι βούλοιτο συντάξεως, διὰ τὸ τῷ Ὡς συνωνυμοῦν Ηὗτε. Παρ' ἡμῖν δὲ νῦν ἐν πλείστῃ χρήσει τὸ, Ὡς, τὸ Ὡσάν (χυδ. Σάν), καὶ αὐτὸ τὸ Ὅσον, συγκριτικοῖς συναπτόμενα· οἷον, Δὲν εἶναι εἰς τὸν κόσμον πρᾶγμα ἀρεσότερον ὡς ἡ τάξις (Ἀσφαλ. ὁδηγ. τῆς κατὰ χριστ. ἠθικ. σελ. 161), Δὲν εἶναι μανία φοβερωτέρα ὡσὰν τοῦ ἀνθρώπου (Θέατρ. Πολιτ. σελ. 105). Τοιοῦτόν ἐστι καὶ τὸ (Ἐρωτοκρίτ. σελ. 82),

Ἄλλη καμμία ὠμορφήτερη δὲν ἦτο σὰν ἐκείνη.

καὶ τὸ (παρὰ τῷ Δουκαγγ. λέξ. Ζουρλὸς) Δέν μὲ φαίνεται ἄλλη πλέον γελοιώδης ὅσον αὐτή.— Στ. 27, Μόνης.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μόνος.

ΣΕΛΙΔ. 76, στ. 6, Εἴποντο, τὴν ἀρετήν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Εἴποντο μὲν ἀρετήν.—Στ. 29, Εὐρῶτα.) Εὐρώς ἐστιν ὃν ἡ παρ' ἡμῖν συνήθεια Μούχλαν καλεῖ. Ἡ δὲ Μούχλα παρὰ τὴν Μύκλην, ἢ τὸν Μύκλον· ὧν οὐθέτερον μὲν σώζεται, ἐπί γε τοιαύτης ἐννοίας, παρὰ τοῖς ἀρχαίοις, ἑκάτερον δὲ τῆς Ἑλλήνων γεγονέναι φωνῆς, δηλώσει τὰ συγγενῆ, καὶ συγγενοῦς σημασίας ὀνόματα. ΜΥΞΑ μὲν γάρ ἐστι καὶ τοῖς πάλαι καὶ τοῖς νῦν τῶν Ἑλλήνων, τὸ ἐκρέον τῆς ῥινὸς ὑγρὸν περίττωμα· ΜΥΚΤΗΡΕΣ δὲ (καὶ τῇ Λακώνων διαλέκτῳ Μυκτῆρες, παρ' οἷς καὶ τὸ Μυκτηρίζει, Μυκτηριᾷ λέγεται) τὰ ἑκατέρωθεν τῆς ῥινὸς τρήματα, δι' ὧν ἐκρέει. ΜΥΚΗΣ δὲ σημαίνει καὶ τὸ φυτὸν, τὸ παρ' ἡμῖν καλούμενον Ἀμανίτην, καὶ τὸ ἐπιφυόμενον ταῖς καιομέναις Θρυαλλίσιν ἀνθρακῶδες περίττωμα, ὅπερ ἡ συνήθεια Κάρκαδον καλεῖ ὁμωνύμως οὕτω καλοῦσα καὶ τὸ ἐξηρασμένον ἐν τοῖς μυκτῆρσι μυξῶδες περίττωμα, διὰ τὴν πιτυρώδη τραχύτητα, ὡς ἔοικε. Κάρκαροι γὰρ οἱ τραχεῖς, καὶ Κάρκαρα, τὰ πίτυρα, παρ' Ἡσυχίῳ. ΜΥΚΛΟΙ δὲ καὶ ΜΥΧΛΟΙ ἀρσενικῶς, καὶ ΜΥΚΛΑΙ θηλυκῶς, αἱ περὶ τὰ σκέλη, καὶ ἐν τοῖς ποσὶ, καὶ ἐπὶ νώτου, τῶν ὄνων ΜΕΛΑΙΝΑΙ γραμμαὶ, παρὰ τῷ αὐτῷ Λεξικογράφῳ. Εἰκὸς οὖν καὶ τὸν ἐξ ὑγρότητος ἐπιγινόμενον τοῖς νενοτισμένοις ἐριώδη καὶ μέλανα ἐπίπαγον, παραπλήσιον τῷ τε ἐκ τῆς γῆς ἀνατέλλοντι, καὶ τῷ τῇ τοῦ λύχνου ἐπιφυομένῳ Θρυαλλίδι, Μύκητι, Μύχλην, καὶ Λακωνικῶς Μούχλαν κεκλῆσθαι πάλαι, ἴσως δὲ καὶ Μύκην ἀρσενικῶς, καὶ ὁμωνύμως τῷ παρὰ τοῖς γραμματικοῖς διττοκλιτουμένῳ (Μύκης, Μύκητος, καὶ Μύκης, Μύκου) φυτῷ· τὸ γὰρ τῶν Ῥωμαίων Mucor, τὸ σημαῖνον τὸν Εὐρῶτα, ἤτοι παρὰ τὸ Λακωνικὸν Μύκηρ ἢ Μούκηρ (ἀντὶ τοῦ Μύκης) ἐστὶν, ἢ παρὰ τὸ Μύκος, (Λακωνιστὶ Μύκορ), ὅθεν ἐσχημάτισαν καὶ τὸ Mucus, τὸ σημαῖνον τὴν Μύξαν. Εἰς τοῦτο δὲ τὸ Μύκλος ἢ Μύχλος ἀνοιστέον καὶ τὸ ἐν τῇ συνηθείᾳ Μουγκρὸς τὸ σημαῖνον τὸν ὑγρὸν, οἱονεὶ παρὰ τὸ Μυκλὸς, τροπῇ συνήθει τοῦ λ εἰς ρ (ὡς τὸ Ἁρμυρὸς παρὰ τὸ Ἁλμυρὸς) καὶ παρενθέσει τοῦ γ (ὡς ἐν τῷ Ἀγκινάρα παρὰ τὸ Κινάρα). — Γόνιμον.) Ἠπόρησαν οἱ πρὸ ἐμοῦ διὰ τὸ καινὸν τῆς χρήσεως· οὐ γάρ φασι γόνιμος (τουτέστι γεννητικὸς) ἀλλὰ τοὐναντίον γόνος ὑγρότητος (ἐκ τῆς ὑγρότητος γεννώμενος) ὁ εὐρώς. Ἀλλ' ἔστιν εἰπεῖν ὅτι διττῶς ἐκλαμβάνεται τὸ Γόνιμος καὶ ἐνεργητικῶς, ὡς τὸ Γόνιμος γῆ, καὶ κατὰ

παθητικὴν ἔννοιαν, ὥσπερ ἐνθάδε. Μαρτυρεῖ δὲ τὸ συνώνυμον Τρόφιμος, διττῆς καὶ αὐτὸ εἰληχὸς σημασίας. Καταχωριζέσθω οὖν ἐν τοῖς Λεξικοῖς ἡ τοῦ Γόνιμος παθητικὴ σημασία, καὶ ἐξεώσθω αὐτῶν, τὸ δηλοῦν τὸν Ὠφέλιμον Γόνιμος, μόνῃ τῇ ἡμαρτημένῃ γραφῇ ἐπερειδόμενον Παυσανίου (Α, κθ) τῇδε, "Θρασυβούλου... ἀνδρὸς των τε ,, ὕστερον, καὶ ὅσοι πρὸ αὐτοῦ γεγόνασιν ΑΘΗΝΑΙΟΙΣ ΓΟΝΙΜΟΙ, τὰ ,, πάντα ἀρίστου,,. Γραπτέον γὰρ καὶ ἀναγνωστέον... "γεγόνασιν ΕΝ ,, ΑΘΗΝΑΙΟΙΣ ΛΟΓΙΜΟΙ ,,, τουτέστιν ἄνδρες ἄξιοι λόγου.

ΣΕΛΙΔ. 77, στ. 2, Μυγμῷ.) Μυγμὸς παρὰ τὸ Μύζω ἢ Μύσσω, ἢ Μύττω (ὅθεν καὶ τὸ παρ' Ἡσυχίῳ Μυττάζειν, καὶ Μυττικάζειν, τὸ ῥένειν). Σημαίνει δὲ τὸν διὰ τῶν Μυκτήρων ψόφον, ὃν ἡ συνήθεια Μουγκρισμὸν καλεῖ, καὶ Μουγκαλισμὸν παρὰ τὸ Μουγκρίζω ἢ Μουγκαλίζω ῥῆμα, ὅπερ ἂν εἴη καὶ αὐτὸ τῆς ἀρχαίας φωνῆς λείψανον, κατὰ τὸ μικρὸν ἀνωτέρω σημειωθὲν Μουγκρός. —Στ. 7, Λογικοῖς.) Λόγου προφορικοῦ φωνητικοῖς. — Στ. 9, Ἀνόμοιον αἰσθήσει πάθος κ. τ. λ.) Ἀσαφὲς τὸ λεγόμενον· διὸ καὶ των πρὸ ἡμῶν οἱ μὲν τὸ Ἀνόμοιον, εἰς τὸ Ὅμοιον τρεπτέον εἶναι, οἱ δὲ, Ὑποτίθεσθαί τι οὐκ ἀνόμοιον, τριῶν λέξεων προσθήκῃ, γεγράφθαι πάλαι ὑπετόπασαν, τὸ μὲν αὐτόθεν, τὸ δὲ καὶ ἐκ τοῦ Ἀμιότου ὡρμημένοι, ὃς ἡρμήνευσεν Il faut dire que c' est quelque passion différente, etc., ὥσπερ ἂν εἰ ἠβούλετο γράφειν Ὑποτίθεσθαί τι ἀνόμοιον κ. τ. λ. Ἴσως (εἰ ἀντὶ τοῦ Ἐγγινόμενον, γράφοις, Ἐγγίνεσθαι) τοιοῦτός τις ἐστι των λεγομένων ὁ νοῦς, Ἀλλ' ἐπεὶ ἡ ἱστορία πολλοῖς καὶ πιθανοῖς μάρτυσιν ἐκδιάζεται ἡμᾶς πιστεύειν τοῖς λέγουσιν ἀκοῦσαι φωνῆς ἐνάρθρου τῶν μὴ πεφυκότων φωνεῖν, καὶ ἰδεῖν τὰ μὴ πεφυκότα βλέπεσθαι, συναναπείθει (τουτέστιν ἅμα πείθει ἡ ἱστορία) ἐγγίνεσθαί τι πάθος τῷ φανταστικῷ τῆς ψυχῆς ὅμοιον καὶ ἀνάλογον τῇ αἰσθήσει, τὴν καλουμένην δόξαν· ἤ, Τὸ δόξαν, τουτέστιν ἡ δόξα, ἡ δόκησις τοῦ ἀκοῦσαι τὰ μὴ ἀκουστὰ, καὶ ἰδεῖν τὰ μὴ ὁρατὰ, συναναπείθει ἡμᾶς τῇ ἱστορίᾳ ἐγγίνεσθαί τι πάθος κ. τ. λ. Παράθες τούτοις τὰ ἀλλαχοῦ Πλουτάρχῳ (Περὶ τοῦ Σωκράτ. Δαιμον. Τομ. Η, σελ. 325 ἔκδ. Reisk.) διὰ μακροτέρων μὲν εἰρημένα, οὐχ ἧττον δὲ κακῶς ὑπὸ τῶν ἀντιγραφέων διατεθειμένα.—Στ. 20, Ἀπιστίᾳ διαφυγγάνει μὴ γινώσκεσθαι.) Καὶ τοῦτο δυσνόητον τὸ χωρίον, εἰκότως· Ἡρακλείτου γάρ ἐστι τοῦ ἐπικληθέντος Σκοτεινοῦ. Ἐπιτείνει δὲ τὴν ἀσάφειαν ἡ πρώτη λέξις, ἣν ἐξ Ε. Δ. ἔγραψαν οἱ πρὸ ἡμῶν κατὰ θοτικὴν, ἀντὶ τῆς ὀνομαστικῆς Ἀπιστία, καθαφέρεται καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ (Στρωμάτ. Ε, σελ. 591)· οὕτω γὰρ ἐκεῖνος, "Ἀλλὰ τὰ

,, μὲν τῆς γνώσεως βάθη κρύπτειν, ἀπιστίη ἀγαθή, καθ' Ἡράκλειτον ,, ἀπιστίη γὰρ διαφυγγάνει μὴ γιγνώσκεσθαι,,· καὶ ὁ μὲν Ἀμιότος, κατὰ δοτικὴν ἐκλαβὼν κἀκεῖνος, ἡρμήνευσεν, A faute de foy demeurent inconus, τουτέστι, Διὰ τὸ μὴ πιστεύεσθαι, μένει ἄγνωστα, ἢ Μένει τοῖς μὴ πιστεύουσιν ἄγνωστα. Ὁ δὲ Ῥείσκιος γραπτέον ὑπετόπασεν εἶναι, Ἀπυστίη διὰ τοῦ υ τὴν δευτέραν συλλαβήν, ἢ Ἀπευσίη τουτέστι, Διὰ τὸ μὴ πυνθάνεσθαι περὶ αὐτῶν, διαφεύγει τὴν γνῶσιν. Καὶ ἡ μὲν διόρθωσις μείζην ἔχει πιθανότητα· οὐχ ὁμοίως δὲ καὶ ἡ ἐξήγησις· Παρὰ μὲν γὰρ τῷ Κλήμεντι, τὸ Ἀπυσίη (εἴγ' οὕτω γράφοις) ἐπὶ τοῦ Ἀνεκλαλησίη ἐκληπτέον, ἀντιθεσαλμένως πρὸς τὴν Διαλάλησιν, καθ' ἣν φαμέν, Ἐκπυσά τινα γίνεσθαι, ἢ Ἀνάπυσα, τουτέστι πολλοῖς φανερά, ὡς ὑπονοεῖν παρέχει καὶ τὸ παρ' ἐκείνῳ, Κρύπτειν· Παρὰ Πλουτάρχῳ δὲ, ἐπὶ τοῦ Ἀνηκοίη, κατὰ τόνδε τὸν νοῦν, Τὰ πολλὰ τῶν θείων διαφεύγει τὴν γνῶσιν ἡμῶν, διὰ τὸ μηθένα παρὰ θεῶν ἥκειν πρὸς ἡμᾶς, παρ' οὗ εἰη πυθέσθαι καὶ ἀκοῦσαι ὅπως ἔχει τὰ τῶν θεῶν. — Στ. 22, Στρατείας.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Στρατιᾶς. — Στ. 27, Τὴν μὲν ἀρχήν.) Ἐξ Η. Δ. ἡ τοῦ συνδέσμου προσθήκη, ἀφανισθέντος διὰ τὸ προηγούμενον ἄρθρον, Τὴν, καθὰ καὶ ἀλλαχοῦ (Ἀνωτέρ. σελ. 387, καὶ Ἰσοκράτ. Β, σελ. 136 καὶ 142) σεσημείωται.

ΣΕΛΙΔ. 78, στ. 26, Αἰκανούς.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Σικανούς.—Στ. 27, Ἄχρι τραυμάτων καὶ φόνων προῆλθον.) Ἀνάλογον τῇ ἐν τῇ συνηθείᾳ φράσει ταύτῃ, Ἦλθαν ἕως τὰ μαχαίρια.

ΣΕΛΙΔ. 79, στ. 11, Καὶ βωμολοχίας.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἢ βωμολοχίας.

ΣΕΛΙΔ. 80, στ. 2. Τῆς ... συμμαχίας δι' Ἀλκιβιάδου προσγενομένης.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Τὴν ... συμμαχίαν δι' Ἀλκιβιάδου προσγενομένην· ἀνθ' οὗ οἱ πρὸ ἡμῶν, Τῇ ... συμμαχίᾳ δι' Ἀλκιβιάδου προσγενομένῃ.—Στ. 4, Ἐξεπολέμωσε.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐξεπολέμησε.—Στ. 8, Οὐδένα.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Οὐδέν.—Στ. 20, Ἀνίαν.) Δ. Γ. Ἄνοιαν.

ΣΕΛΙΔ. 81, στ. 1. Εἰ μὴ νὴ Δία μὴ φθαρῆναι κ. τ. λ.) Ὁ νοῦς καὶ ἡ συνάρτησις, ὡς τῶν πρὸ ἡμῶν τινες ἐξεδέξαντο, Εἰ μὴ, νὴ Δια, ἐθεράπευε (τουτέστιν ἐπρομηθεῖτο) μὴ φθαρῆναι παντάπασι τὰς Ἀθήνας, εἰς ἃς ἐπόθει κατελθεῖν, ἢ διὰ τὸ ποθεῖν εἰς αὐτὰ κατελθεῖν. Καὶ οὕτω μὲν, ἐὰν τὸ Ἐθεράπευε, ἐφ' ἧς καὶ ἕτεροι ἔταξαν αὐτὸ σημασίας τοῦ Προμηθεῖσθαι, ἐκλάβῃς· εἰ δὲ γραφικῶς ἡμάρτηται τὸ χωρίον, ἀντὶ τοῦ, Εἰ μὴ νὴ Δία τοῦ μὴ φθαρῆναι κ. τ. λ. εἴη ἂν ὁ νοῦς τηνικαῦτα,

ἐθεράπευε τὸν Τισσαφέρνην ἕνεκα τοῦ μὴ φθαρῆναι τὰς Ἀθήνας κ. τ. λ. καθὰ ἐξεδέξατο καὶ Ἀμιότος.---Στ. 8, Περιφρόνησιν.) Δ. Γ. Περιφροσύνην. ---Στ. 13, Ὡς Πλάτων εἶπεν.) Ἐπιθι τὰ ἀνωτέρω (σελ. 379) σημειωθέντα.

ΣΕΛΙΔ. 82, στ. 4, Τὴν ὀργὴν ἐμπλῆσαι.) Μαρτυρεῖ μου τόδε τὸ χωρίον τῇ ἀλλαχοῦ (Πρόδρ. Ἑλλ. βιβλ. σελ. 338) διορθώσει, τρέψαντος τὸ, Ὁρμὴν, εἰς τὸ, Ὀργήν.

ΣΕΛΙΔ. 83, στ. 2, Μάρκιον.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Μάρκιος.

ΤΙΜΟΛΕΩΝ.

ΣΕΛΙΔ. 85, στ. 3, Διέσησαν.) Ἐδιχονόησαν πρὸς ἀλλήλους, καὶ ἄλλος ἀπ' ἄλλου διεχωρίσθησαν, ὡς ἑρμηνεύει ὁ Ἀμιότος. ἕτεροι δὲ, ἐπὶ τοῦ Διεσκεδάσθησαν. Δ. Γ. Συνέσησαν. ---Στ. 9, Ἀμίσθων.) Ἐμμίσθων, γράφειν τινὲς παραινοῦσιν, οὐκ εἰκότως.---Στ. 11, Νυσαῖον.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Νησαῖον. Μνημονεύει τοῦ Νυσαίου καὶ Αἰλιανὸς (Ποικ. ἱστορ. Β, μά) — Στ. 21, Ἀποστροφήν.) Καταφυγὴν, ὥσπερ ἐξηγεῖται Ἁρποκρατίων· ὅθεν διορθωτέον καὶ τὸν Ἡσύχιον, "Ἀποστροφὴ, ,, προδοσία,, τρέποντας τὴν τελευταίαν λέξιν εἰς τὸ Προσδοκία.

ΣΕΛΙΔ. 86, στ 2, Πολλάκις.) Δ. Γ. Πολλά.—Στ. 12, Ἀπείπωσι.) Ἀρνήσωνται· καθὰ καὶ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 434).— Στ. 24, Τιμοδήμου.) Τιμαίνετον τοῦτον ὀνομάζει ὁ Σικελιώτης Διόδωρος (Ις, ξέ). — Στ. 27, Αἵρεσιν.) Δ. Γ. Προαίρεσιν. — Στ. 29, Δημαρίσης.) Δημαρέτης, ὁ Ἀμιότος, εἴτε γραφῇ τοιαύτῃ ἐντυχὼν, εἴτε τῆς ἀκριβείας ἀποπλανηθείς.

ΣΕΛΙΔ. 87, στ. 6, Ξένων στρατιωτικῶν.) Ἴσ. γρ. Ξένου στρατιωτικοῦ Ὁποτέρως δ' ἂν γράφῃς, ἐκδέχου οὐσιαστικῶς (ἐλλειπτικῶς δηλαδὴ τοῦ Πληθῶν, ἢ Πλήθους). — Στ. 7, Ῥαγδαῖον.) Ὁ Φώτιος ἐν τῷ Λεξικῷ· " Ῥαγδαίους, κατὰ μεταφορὰν ἀπὸ τῶν ὄμ- ,, βρων, τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους. Ἀντιφάνης ,, Ἀγροίκοις.

,, Ῥαγδαῖος, ἄραχος, πρᾶγμα μεῖζον εἰ (γρ. ἢ) δοκεῖς.

,, Δίφιλος Πολυπράγμονι

,, Τί ποτε (γρ. Τί ποτ') ἐστιν; ὡς ῥαγδαῖος ἐξελήλυθεν.

,, Ἔστι καὶ ἐν Πρυτάνεσι Τηλεκλείδου τὸ ὄνομα, καὶ ἐν Δαιταλεῦσιν

,, Ἀριστοφάνους ,,.—Στ. 25, Τρέφειν ξένους, τετρακοσίους, καὶ τούτων κ. τ. λ.) Οὕτως ἔσιξαν οἱ πρὸ ἐμοῦ, ἐν' ἢ τὸ ἑξῆς, Κατέσησαν τετρακοσίους, καὶ Τιμοφάνην ἄρχοντα τούτων. Ἀμιότος δὲ, ἄνευ τοῦ, Καὶ, ἡρμήνευσεν, Τρέφειν ξένους τετρακοσίους, τούτων κ. τ. λ.

ΣΕΛΙΔ. 88, στ. 2, Μανίαν καὶ δυσχίαν.) Συνωνύμως· περὶ οὗ ἔπιθι τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 78, καὶ 112) σημειωθέντα. — Στ. 17, Οἰκίας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Οἰκείας.—Στ. 23, Μυσῶδες.) Μυταρὸν, βδελυκτόν. Καὶ καταχωριζέσθω ἐν τοῖς Λεξικοῖς τοὔνομα, Μυσώδης.

ΣΕΛΙΔ. 89, στ. 7, Ὡς ἔοικε.) Προσέθηκα ἐκ Δ. Γ. τὰς δύο ταύτας λέξεις.—Στ. 21, Αὐτόν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Αὐτῷ.— Στ. 27, Μεταμέλεσθαι.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Μεταμελεῖσθαι. Ἑτέρα Δ. Γ. Μεταμελέσθαι.

ΣΕΛΙΔ. 90, στ. 7, Τύραννον ἀνηρηκέναι δόξομεν.) Τύραννον πεφονευκέναι φανησόμεθα· ὥσπερ σκιμάζοντος καὶ συνοικειουμένου Τηλεκλείδους τὸν φόνον. Ὁ μέντοι Ἀμιότος, Nous ferons jugement de toy, que tu auras occis un tyran, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Τύραννον ἀνηρηκέναι σε δόξομεν, τουτέστι, Τύραννον πεφονευκέναι σε λογισόμεθα. Οὕτω δὲ καὶ ὁ Λατῖνος μεταφραστής. — Στ. 17, Ἄλλως τε καί.) Προσετέθη ἐκ Δ. Γ. ὁ δεύτερος τῶν συνδέσμων ὑπὸ τῶν πρὸ ἐμοῦ· ὃν ἀναγκαίως προσίθεσθαι, σεσημείωται ἀλλαχοῦ (Ἰσοκράτ. Β, ἐμ. ἐκδ. ἐν τῷ Πίνακι, λέξ. Ἄλλως τε).

ΣΕΛΙΔ. 91, στ. 3, Ἐμπεποικιλμένας.) Κεντημένας, ἢ Κεντητάς, ὡς ἂν ἡ συνήθεια φαίη, ἀπ' αὐτῶν ἤδη τῶν Καισαρικῶν χρόνων τοῦ ὀνόματος ἐν χρήσει γενομένου, ἢ δῆλον ἐκ τοῦ Ραλληνοῦ, ὃς τὰς παρ' Ἱπποκράτει γλώσσας ἐξηγούμενος φησίν. " Ῥαφίῳ τῷ ΚΕΝΤΗΤΗ-,, ΡΙΩ, ᾧ ΔΙΑΚΕΝΤΟΥΝΤΕΣ οἱ τεχνῖται τῶν τοιούτων, ἐπιτηδείους ,, ὀπὰς τῇ τοῦ λίνου διέρσει παρασκευάζουσι ,,. Διορθούσθω κατὰ πάρεργον καὶ ὁ Ἡσύχιος, ἐν τῷ "Κεντήματα, ΖΗΜΙΩΜΑΤΑ,,, ὅπου γραπτέον, ΣΗΜΕΙΩΜΑΤΑ, εἴτε αὐτὰ ταῦτα βουληθέντος δηλῶται τοῦ Λεξικογράφου τὰ παρ' ἡμῖν κεντήματα, εἴτε τὰ ὀπωσοῦν σημειούμενα ἢ ζιζόμενα. Φαμὲν δὲ οὐ μόνον Κεντῶ, ἀλλὰ καὶ Κεντίζω, οἷς μαρτυροῦσι τὰ παράγωγα Κεντήτρια, καὶ Κεντίστρια, ἣν οἱ ἀρχαῖοι Ποικίλτριαν ὠνόμαζον. Αὐτὴν δὲ τὴν τέχνην, ἐκεῖνοι μὲν Ποικιλτικὴν, οἱ δὲ Βυζαντινοὶ συγγραφεῖς καὶ Πολυμιταρικὴν (ἐκ τῶν πολλῶν δηλαδὴ καὶ ποικίλων ταῖς βαφαῖς μίτων τε καὶ κλωστήρων) ἐκάλουν. Ἐκ τούτων καὶ Ῥωμαῖοι παραλαβόντες Polymitarium τὸν ποικιλτὴν ὠνόμασαν,

τὸν ἄλλως παῤ αὐτοῖς λεγόμενον Plumarium, παρὰ τὸ Pluma τὸ σημαῖνον Πτίλον, ἢ πτερὸν, ὅθεν τὰ ἐν τῇ συνηθείᾳ Πλουμίον, Πλουμίζω, καὶ Πλουμιστής—Στ. 5, Κορινθίας μέν.) Προσέθηκαν Ἐκ Δ. Γ. τὸν σύνδεσμον οἱ πρὸ ἐμοῦ. —Στ. 8, Ῥαγέντα.) Δ. Γ. Καταραγέντα. —Στ. 19, Σπεύδοντες ὡς τὸ πέλαγος διαπλέοντες.) Περιαιρετέον μοὶ ἔδοξεν εἶναι τὸ, Ὡς, ἐπίῤῥημα. Ἔστι δὲ τὸ, Σπεύδοντες διαπλέοντες (καίπερ καινοφανὲς διὰ τὸ ἀσύμπλεκτον τῶν μετοχῶν), ὥσπερ ἂν εἰ καὶ ἔλεγε, Μετὰ σπουδῆς διαπλέοντες. Ἐπιθι τοῦ ἔναγχος ἐκδοθέντος ὑφ' ἡμῶν Πολυαίνου τὸν Πίνακα (λέξ. Θαῤῥέω). — Στ. 30, Παραλογαί.) Ἀντὶ τοῦ Παραλογισμοὶ, τουτέστιν Ἀπάται, παρακρούσεις. Ἕτεροι μέν τοι γραπτέον εἶναι ὑπενόησαν, Παραλογίαι.—Προφάσεις.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Φάσεις. Ἑτέρα Δ. Γ. Φύσεις.

ΣΕΛΙΔ. 92, στ. 4, Συνηρῆσθαι.) Συντετελέσθαι, συμπεπληρῶσθαι.—Στ. 14, Ἢ στρατηγήσοντες ἥκοιεν.) Τὸ μὲν Στρατηγήσοντες, ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Στρατηγήσαντες. Τὸ δὲ Ἢ (ἀνθ' οὗ Δ. Γ. Εἰ) διαφόρως ἐξεδέξαντο οἱ ὑπομνηματισταὶ, καὶ ἄλλοι ἄλλως διορθοῦν ἐπεχείρησαν. Ἡμῖν μέντοι δοκεῖ, ἢ κατὰ χώραν ἐατέον εἶναι, καταχρηστικῶς δηλονότι εἰλημμένον ἀντὶ τοῦ Οἵ (τοῦ δηλοῦντος τὸ Ὅποι), ἢ εἰς αὐτὸ τοῦτο τὸ Οἵ τρεπτέον, ἀναφορικῶς πρὸς τὸ προηγούμενον Ἐκεῖ. Ὁ νοῦς, Τὴν μετ' Ἰκέτου δύναμιν, τὴν οὖσαν ἐκεῖ (τουτέστιν ἐν Συρακούσαις), ὅποι ἦλθον ἵνα στρατηγήσωσι.—Στ. 20, Ἐμμενεῖν.) Ἐξ Ε.Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐμμένειν.—Στ. 22, Ὑπέτεινεν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑπέμεινεν.

ΣΕΛΙΔ. 93, στ. 17, Χαλεπῶς φέροντες τὸ κατεστρατηγῆσθαι.) Ἐξ Η.Δ. ἀντὶ τοῦ, Χ. φ. ἐν τῷ (Δ.Γ. Οὕτω) κατεστρατηγῆσθαι, ἀνθ' οὗ οἱ πρὸ ἡμῶν ἔγραψαν ἐκ διορθώσεως, Χ. φ. ἐπὶ τῷ κατεστρατηγῆσθαι. Τρέψαντες δὲ τὸ Τῷ, εἰς τὸ Τὸ, περιείλομεν καὶ τὴν, Ἐν, πρόθεσιν, ὡς προδήλως ἐκ τῆς τελευταίας τοῦ Φέροντες ἀποτεχθεῖσαν. Τῆς δὲ τοιαύτης συγχύσεως παράδειγμα τὸ τοῦ Πλάτωνος (Πολιτ. ς, σελ. 502) "Σωτῆρες ἔσονται,, μετὰ τῆς κακῆς Δ. Γ. Σωτῆρες ἐν-,, ἔσονται,,.—Στ. 18, Διατριβὴν τοῖς Ῥηγίνοις παρεῖχον.) Τὸ Διατριβὴν παρέχειν, ἴσον ὧδε δύναται τῷ Γέλωτα παρέχειν. — Στ. 22, Ἐκβάλοι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἐκβάλλει.—Στ. 30, Τριήρεις.) Δ. Γ. Τριηρῶν.

ΣΕΛΙΔ. 94, στ. 5, Ἀπ' ἐλπίδος.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ, Ἐπ' ἐλπίδος.—Στ. 16, Ταὐτά.) Ἐξ Ε.Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ταῦτα.—Στ. 27, Χιλίων διακοσίων.) Χιλίων, μόνον φησὶν ὁ Σικελιώτης Διόδωρος (Ις, ξή).

ΣΕΛΙΔ. 95, στ. 14, Δὲ τὸ στρατόπεδον.) Γραπτέον, οἶμαι, Δὲ καὶ τὸ στρατόπεδον. —Στ. 26, Μικρὸν ἀπολιπὼν ἐκπολιορκεῖσθαι.) Ἴσ. γρ. Μικρὸν ἀπολείπων ἐκπολιορκεῖσθαι, ἢ Μικρὸν ἀπολιπὼν ἐκπεπολιορκῆσθαι (ἢ ἐκπολιορκηθῆναι).

ΣΕΛΙΔ. 96, στ. 5, Ἵπποι τε γὰρ ἐνῆσαν κ. τ. λ.) Παράθες ταῦτα τοῖς ἱστορημένοις ὑπ' Αἰλιανοῦ (Ποικ. ἱστορ. ς, 16, σελ. 89, ἐμ. ἐκδ.) —Στ. 25, Οἱ μὲν χαίροντες... οἱ δὲ πρὸς τὴν κ. τ. λ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ (ἴσως οὐκ ἀναγκαίας), ἀντὶ τοῦ, Οἵ τε χαίροντες... οἵ τε πρὸς τήν. — Στ. 28, Ἀνθρωπίνοις.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἀνθρώποις. — Στ. 30, Ἐκεῖνον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐκεῖνο· ὅπερ ἐᾶν κατὰ χώραν ὤφειλον. Ὁ νοῦς, Ὁ τότε χρόνος οὐδὲν ἐπεδείξατο φύσεως ἢ τέχνης ἔργον οὕτω παράδοξον, ὅσον ἦν ἐκεῖνο τὸ περὶ τὸν Διονύσιον συμβὰν ἔργον τῆς τύχης.

ΣΕΛΙΔ. 97, στ. 1, Ὀψόπωλιν.) Ἢ ἐλλειπτικῶς ἀντὶ τοῦ. Ὀψόπωλιν ἀγοράν, τουτέστιν, Ἀγοράν ἐν ᾗ πωλεῖται τὰ ὄψα, ἐφ' ἧς σημασίας οὔπω κατακεχώρισται οὔτ' ἐν τοῖς Λεξικοῖς, οὔτ' ἐν τῇ Συναγωγῇ τῶν Ἑλληνικῶν ἐλλείψεων· ἢ γραπτέον, Ὀψοπωλίαν, οὐ ἐν ἥττον ἀνύποπτον ὄνομα, ᾧ ἐχρήσατο Ἀθήναιος (Α, σελ. 6) ἐπὶ τῆς σημασίας τοῦ Ὀψοπωλεῖον, ἢ Ὀψοπώλιον. Ἄλλως γάρ, Ὀψόπωλις, ἐστὶν ἡ ὄψα πωλοῦσα γυνή, ὡς ἐξεδέξαντο ὅ, τε Ἀμιότος καὶ ὁ Λατῖνος μεταφραστής. —Στ. 2, Πίνοντα κεκραμένον.) Ἐλλειπτικῶς τοῦ, Οἶνον, καὶ ὥσπερ ἂν ἡ συνήθεια φαίη, Πίνοντα κρᾶσιν, ἢ Κρασίον, περὶ οὗ καὶ ἄλλο Πλουτάρχου ἀλλαχοῦ (Ἠλιοδωρ. Β, σελ. 253) παρεθέμεθα μαρτύριον. —Στ. 3, Διαπληκτιζόμενον.) Παρατίθησι τούτῳ Πόρτος τὸ παρ' Ἀριστοφάνει (Ἐκκλ. 964). Ἀλλὰ ἐκεῖνο μὲν τῆς πανδήμου Ἀφροδίτης ἐστὶ ῥῆμα· ἐνταῦθα δὲ τὸ Διαπληκτίζεσθαι, τὸ διαμάχεσθαι καὶ φιλονεικεῖν σημαίνει, ὡς ἐξηγεῖται Ἡσύχιος, καὶ ὡς ἂν ὁ Κωμικὸς φαίη (Ἱππ. 1403),

Πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι.

—Στ. 4, Ἐν ταῖς ᾠδαῖς.) Ὑποψίας μὴ παντάπασιν ἀπηλλάχθαι τὸ χωρίον, ἐδήλωσαν ὅ, τε Ῥείσκιος, παραινῶν γράφειν Ἐν τοῖς ᾠδείοις, ὅ, τε Ἀμιότος, μεταφράσας, En plein carrefour, ὥσπερ ἂν εἰ ἐβούλετο γράφειν, Ἐν ταῖς ὁδοῖς. Μὴ μετακίνει τὴν γραφήν· ἔστι γὰρ τὸ, Ἐν ταῖς ᾠδαῖς ταυτὸν τῷ, Ἐν αὐταῖς ταῖς ᾠδαῖς, ἢ Μεταξὺ ᾀδούσας. —Στ. 6, Καὶ περὶ μέλους ἁρμονίας.) Ἐκ Δ. Γ. Προσέθηκαν τὸν, Καὶ, οἱ πρὸ ἐμοῦ. Ἀλλ' ἴσως διπλῷ συνδέσμῳ γραπτέον, Καί περὶ μέλους,

καὶ ἁρμονίας.—Στ. 11, Ἀβελτεριαν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀβελτηριαν. —Στ. 26, Μέμψις.) Ἐπὶ τοῦ, Διαφορά, ὧδε. —Στ. 30, Εὐφυῶν.) Ἐξηγησάμεθα τὴν λέξιν ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 112.)

ΣΕΛΙΔ. 98, στ. 9, Κώθωνα.) "Ποτήριον Λακωνικόν, στρατιωτικόν,, ὡς ἑρμηνεύει Φώτιος ἐν τῷ Λεξικῷ. Ἐνταῦθα δὲ μεταφορικῶς αὐτὸν τὸν Πότον λέγει· ὅθεν καὶ Κωθωνίζεσθαι παρὰ τοῖς πάλαι τὸ Μεθύειν. Ἔστωσε δὲ τὴν μεταφορὰν καὶ παρὰ τοῖς Χίοις ἡ συνήθεια, Τὸ μὲν Γαβάθιον (εἶδος τρυβλίου κοιλοτέρου, ὅπερ Ἡσύχιος, Γάβαθον, καλεῖ) ἐπὶ τοῦ Πότου ἐκλαμβάνουσα, τὸ δὲ Γαβαθίζω, ἐπὶ τοῦ Συμπίνω, ἢ Κωθωνίζομαι. Καλεῖ δ' ἡ αὐτὴ συνήθεια καὶ Γαβαθάριον τὸν μεθυστήν, ὃν οἱ ἀρχαῖοι Ἀκρατοκώθωνα, καὶ (ὁμωνύμως τῷ ποτηρίῳ) Κώθωνα, ἐκάλουν.— Στ. 20, Ἀλαβάστρους.) Δ. Γ. Ἀλαβάστους, ἄνευ τοῦ ρ, ὅπερ τῶν Ἀττικῶν ἐστιν. Σημειοῦ δὲ καὶ τὸ γένος· ὁ καὶ ἡ Ἀλάβαστρος γάρ, καὶ τὸ Ἀλάβαστρον. Καὶ τὸ μὲν ἀρσενικὸν τῶν ἀρχαίων ἐστιν (Ἀριστοφάν. Ἀχαρν. 1053),

Λαβὲ τόνδε τὸν ἀλάβαστρον·

οὐ μόνον ἴδιον Ἡροδότου, ὡς ὑπέλαβεν ὁ Φώτιος (λέξ. Λήκυθον)· τὸ θηλυκὸν δὲ καὶ οὐδέτερον, τῶν μεταγενεστέρων.—Στ. 26, Συρακουσῶν.) Ἐξ Ε. Δ· οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Συρακουσίων.

ΣΕΛΙΔ. 99. στ. 1, Ὡς ἦν ἀνάγκη καιρὸν περιμένοντας κ. τ. λ.) Τὸ μὲν Περιμένοντας, ἐκ Δ. Γ. τὰ λοιπὰ δ' ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὡς ἐν ἀνάγκῃ καιρὸν περιμένοντες. Ὀνοῦς, Ἐπειδὴ ἦν αὐτοῖς ἀνάγκη ἡσυχάζειν αὐτόθι, περιμένοντας καιρὸν ἐπιτήδειον εἰς τὸ περαιωθῆναι εἰς Σικελίαν.—Στ. 3, Τῶν ἐπὶ Βρεττίους κ. τ. λ.) Τὴν Ἐπὶ Βρεττίους ἔγραψεν ὁ πρὸ ἐμοῦ ἐκ διορθώσεως, προστυπακούων τὸ, Στρατείαν. Ἐμοὶ δὲ μᾶλλον ἀρέσκει περιελεῖν ὅλως τὸ ἄρθρον· ἢ γράφειν, Τότ' ἐπὶ Βρεττίους, ὡς ὑπαγορεύει καὶ ἡ Ἀμυότου μετάφρασις.— Στ. 7, Ὑπέπεμψεν.) Κρύφα ἔπεμψεν. — Στ. 12, Ἀναμιχθέντες, ἐγγυτέρω κατὰ μικρὸν ἐπεχείρουν.) Ἡ γραφέων πλημμελείᾳ ἐξεῤῥύη τοῦ χωρίου τὸ Προσιέναι, ἢ ἕτερόν τι συνώνυμον ἀπαρέμφατον, ὡς ὑπέλαβον οἱ πρὸ ἡμῶν, ἢ μετατιθέντας τὴν στίξιν, γραπτέον, Ἀναμιχθέντες ἐγγυτέρω κατὰ μικρὸν, ἐπεχείρουν, τουτέστιν ἐπιτίθεσθαι παρεσκευάζοντο τῷ Τιμολέοντι. Διόρθου καὶ τὸν Ἡσύχιον ἐν τούτοις, "Ἐπεχείρεον, ,, ΕΠΕΤΙΘΕΣΑΝ, ἐπεχείρουν,, γράφων, ΕΠΕΤΕΘΗΣΑΝ.—Στ. 16, Ὥσπερ εἶχε τὸ ξίφος.) Μετὰ τοῦ ξίφους.—Στ. 17, Ἀνεπήδησεν.) Ἐκ

Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀπεπήδησεν. — Στ. 19, Καθ' αὑτοῦ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Κατ' αὐτοῦ. — Στ. 25, Κινοῦσα καὶ συνάγουσα... καὶ συγκαταπλέκουσα.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Κινοῦσαν καὶ συνάγουσαν... καὶ συγκαταπλέκουσαν.—Στ. 28, Ἐστεφάνωσαν.) Ἐπὶ τοῦ Ἐτίμησαν, ἢ ἐδωρήσαντο ὧδε ἡ λέξις, οὐκ ἐπὶ τοῦ κυρίως Στεφάνῳ ἐκόσμησαν (Ἰδ. Ἁρποκρατ. λέξ. Στεφανῶν).

ΣΕΛΙΔ. 100, στ. 3, Τὰ μέλλοντα.) Δ.Γ. Τὸν μέλλοντα.—Ἐπῆρεν, ὁρῶντας... σέβεσθαι καὶ φυλάττειν.) Τὸ δοκοῦν ἀτυχάρτητον τοῦ χωρίου ὡδί πως ἂν θεραπεύσαις, Ἐπῆρε (τουτέστιν, ἀνέπεισε καὶ προέτρεψε) ταῖς πρὸς τὰ μέλλοντα ἐλπίσι τοὺς ὁρῶντας σέβεσθαι καὶ φυλάττειν τὸν Τιμολέοντα, ὡς ἱερὸν ἄνδρα κ. τ. λ.—Στ. 20 Χαλεπῶς ἀπήλλαττον.) Ἀντὶ τοῦ Κακῶς διῆγον, ἐν κινδύνῳ ἦσαν τοῦ μὴ ἀπαλλαγήσεσθαι τῶν Καρχηδονίων.—Στ. 22, Ἀεὶ δ' ἐν.) Προσέθηκαν ἐκ Δ. Γ. τὸν σύνδεσμον οἱ πρὸ ἐμοῦ.

ΣΕΛΙΔ. 101, στ. 1, Νέων.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Λέων.—Στ. 29, Φοινικίσιν.) Ἴδε Πλουτάρχ. Μέρ. Α, σελ. 481 ἡμετ. ἐκδ.—Στ. 30, Ῥοθίῳ.) Προσγέγραπται σχόλιον, "Συντόνῳ τῇ εἰ-
,, ρεσίᾳ ,,.

ΣΕΛΙΔ. 102, στ. 3, Φενακίζοντος.) Ἀπατῶντος. Θεματικώτερον τοῦ Φενακίζω, ἐξ οὗ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Φενάσσω, ἢ δηλον ἐκ τοῦ παρὰ τῷ Φωτίῳ, Φενάγματα (μηδὲ τούτου καταχωρισθέντος πω ἐν τοῖς Λεξικοῖς), ὅπερ ἑρμηνεύει διὰ τοῦ Φενακίσματα. Ὁ μέλλων Φενάξω, παρ' ὃν ὁ Φέναξ (ὡς παρὰ τὸν Δράξω ἡ Δράξ, καὶ παρὰ τὸν Χαράξω ἡ Χάραξ) οὗ ἡ γενικὴ ἀπέτεκε τὸ Φενακίζω. —Στ. 20, Ἀμφοτέροις.) Ἐκ διορθωσεως οἱ πρὸ ἐμοῦ (οὐκ ἀναγκαίας) ἀντὶ τοῦ, Ἀμφοτέρων — Στ. 28, Τὴν πόλιν.) Περιττὸν κατέδοξέ μοι τὸ ἄρθρον. —Ἐξησκημένην.) Κατακεκοσμημένην.

ΣΕΛΙΔ. 103, στ. 22, Δυσπροσμάχοις.) Ἐκ Δ. Γ, οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Δυσπρομάχοις. — Στ. 25, Ἐπῆγον.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὑπῆγον.

ΣΕΛΙΔ. 104, στ. 1, Μήτ' ἀποθανεῖν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μηδὲ ἀποθανεῖν. — Στ. 10, Καὶ τοσούτῳ κάλλει τῶν ἔργων τὸ τάχος ἡ τύχη προστέθηκεν.) Ἴσως ἐγέγραπτο, Καὶ τοσοῦτον τῷ κάλλει τῶν ἔργων τάχος κ. τ. λ. τουτέστιν, Καὶ τοσοῦτον ἡ τύχη προσέθηκε τάχος τῷ κάλλει τῶν ἔργων· ὥσπερ ἡρμήνευσεν ὁ Ἀμιότος. — Στ. 28, Ἐγένοντο.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἐγίνοντο.

ΣΕΛΙΔ. 105, στ. 1, Κατέβαινεν.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Κατέβαινον. —Στ. 16, Ἐν τῇ Ἑλλάδι.) Ἐκ Δ. Γ. προσέθηκα καὶ τὴν πρόθεσιν καὶ τὸ ἄρθρον.

ΣΕΛΙΔ. 106, στ. 4, Ἄθανις.) Δ. Γ. Ἄθωνις. Ἀθάνης. — Στ. 9, Γινομένης } Ἐξ Η.Δ. (ἡ συνάδει καὶ ἡ Λατινικὴ μετάφρασις), ἀντὶ τοῦ, Γενομένης.—Στ. 14, Ἀναζωπυρούσης.) Οὐδετέρως καὶ ἀμεταβάτως, ἀντὶ τοῦ Ἀναζωπυρουμένης. — Στ. 24, Ἀποθεωρεῖσθαι.) Δ. Γ. Θεωρεῖσθαι.

ΣΕΛΙΔ. 107, στ. 10, Συλλαβέσθαι.) Ἐνταῦθα δὲ τῷ μέσῳ ἀντὶ τοῦ ἐνεργητικοῦ, Συλλαβεῖν, ἐχρήσατο.—Στ. 16, Συνελθεῖν.) Συνεξελθεῖν, ἐκ της Ἀμιώτου μεταφράσεως ὡρμημένοι, γραπτέον εἶναι ὑπετόπασαν οἱ πρὸ ἡμῶν. —Στ. 21, Διαρτῶντος.) Διιστάντος καὶ διείργοντος ἀπὸ τῶν Συρακουσῶν. Διόρθου καὶ τὸν Ἡσύχιον, ἐν τῷ " Διαρτᾷ, κρεμνᾷ, ,, ΔΙΑΡΓΕΙ,, γράφων ΔΙΕΙΡΓΕΙ.—Στ. 23, Ὑπάρξει.) Δ. Γ. Παρέξειν. — Στ. 25, Κρίμησον.) Τοῦτον ἕτεροι Κρίμισον, ἄλλοι δὲ Κρίμισσον ἢ Κρίμεσσον ὀνομάζουσι. — Στ. 27, Ὑπερβαλόντες.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑπερβάλλοντες.

ΣΕΛΙΔ. 108, στ. 2, Τὸν... τοῦτον τοῦ σελίνου.) Σημείωσαι τὸν καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 115 καὶ 125) σημειωθέντα πλεονασμὸν τῆς δεικτικῆς ἀντωνυμίας· ὃν τινες ἀγνοήσαντες, ἡμαρτῆσθαι τοῦ χωρίου τὴν γραφὴν ὑπετόπασαν.—Στ. 5, Διελέχθη.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Διειλέχθη. — στ. 7, Τοὺς Ἴσθμια.) Δ. Γ. Τοὺς τὰ Ἴσθμια.—στ. 8, Τὸ τοῦ σελίνου.) Ἐξ Η. Δ. ἡ προσθήκη τοῦ πρώτου ἄρθρου.—στ. 10, Ἐντυχών.) Διαλεχθεὶς· ἐφ' ἧς σημασίας τέταχεν ἡ συνήθεια τὸ συνώνυμον Συντυγχάνω, τρέψασα εἰς τὸ Συντυχαίνω, καθὰ καὶ ἕτερα πλεῖστα τῶν εἰς ανω, οἷον, Λαβαίνω, Μαθαίνω, Παθαίνω, παρὰ τὸ Λαμβάνω, Μανθάνω Πανθάνω, ἢ παρὰ τὰ θερματικώτερα Λήβω, Μάθω, Πήθω. Τῆς δὲ τοιαύτης παραγωγῆς ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις παραδείγματα, τὸ Λιπῶ καὶ Λιπαίνω, τὸ Ὁρμῶ καὶ Ὁρμαίνω, τὸ Ὑφῶ καὶ Ὑφαίνω, καὶ ἕτερα. — στ. 13, Προσφερομένους.) Δ. Γ. Καταφερομένους. —στ. 16, Ἐτράποντο.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐστρέφοντο.

ΣΕΛΙΔ. 109, στ. 11, Σικελιώταις.) Δ. Γ. Σικελιωτῶν. — στ. 13, Τὸ μαχιμώτατον.) Δ. Γ Τοὺς μαχιμωτάτους.— στ. 16, Μὴ δυναμένους.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Οὐ δυναμένους. — στ. 24, Ἐσήμαινεν... προσέβαλλε.) Ἴσ. γρ. Ἐσήμανεν (ἢ Ἐσήμηνεν)... προσέβαλε.

ΣΕΛΙΔ. 110, στ. 6, Ἐπὶ τὴν μάχην.) Τουτέστιν, Ἐπὶ τὸν τόπον

τῆς μάχης, ὡς ἡρμήνευσεν ὁ Ἀμιότος. — στ. 8, Κατήστραπτε.) Μεταβατικῶς, καθὰ καὶ παρὰ τῷ Ἡλιοδώρῳ (Β, σελ. 296) ἐσημειωσάμεθα. — στ. 16, Ὥστθ' αὐτοῖς.) Ἐξ Ε. Δ. προσέθηκα τὸ, Ὥστθ. Τὸ ἑξῆς, Οἵ τε κόλποι τῶν χιτώνων, πληρούμενοι ὕδατος (ἐμπόδιοι ἦσαν), ὥστε (οἱ Καρχηδόνιοι) αὐτοῖς μὲν ἦσαν βαρεῖς καὶ δύσεργοι χρῆσθαι εἰς τὸν ἀγῶνα κ. τ. λ.—στ. 28, Τῶν λόφων ἐφιεμένους.) Κυριολεκτικῶς, Ἐπὶ τοὺς λόφους ἴεσθαι βουλομένους, ἢ ἐπὶ τοὺς λόφους τείνοντας τὴν πορείαν. Ὅθεν δηλοῦται καὶ ἡ μεταφορὰ τοῦ Ἐφίεσθαι εἰς τὸ Ἐπιθυμεῖν· ὃ γάρ τις ἐπιθυμεῖ, ἐπ' ἐκεῖνο καὶ ἴεται. — στ. 30, Τρισχίλιοι.) Ὁ δὲ Διόδωρος (Ιε, π΄) Δισχιλίους πρὸς τοῖς πεντακοσίοις λέγει.

ΣΕΛΙΔ. 111, στ. 4, Πρὸς τάς.) Δ. Γ. Κατὰ τάς. — στ. 21, Οὐχ Ἑλληνικοῖς κεκοσμημένους κ. τ. λ.) Πλάτων (Πολιτ. Ε. σελ. 469) " Οὐδὲ μήν που πρὸς τὰ ἱερὰ τὰ ὅπλα οἴσομεν, ὡς ἀναθήσοντες· ἄλλως ,, τε καὶ τὰ τῶν Ἑλλήνων, ἐάν τι ἡμῖν μέλῃ τῆς πρὸς τοὺς ἄλλους Ἕλλη-,, νας εὐνοίας. Μᾶλλον δὲ καὶ φοβηθησόμεθα μή τι μίασμα ᾖ, πρὸς ἱερὸν ,, τὰ τοιαῦτα ἀπὸ τῶν οἰκείων φέρειν ,,.

ΣΕΛΙΔ. 112, στ. 2, Τὸν Ἥλιον.) Ἐκ Δ. Γ. προσέθηκα τὸ ἄρθρον. —στ. 5, Τῆς προδοσίας.) Τῆς ἐγκαταλείψεως, τουτέστι τοῦ ἐγκαταλιπεῖν τὸν Τιμολέοντα. Τοῦτο γὰρ ὃλε βούλεται ἡ προδοσία.—στ. 10, Γέσκων.) Γίσκων, διὰ τοῦ ι, οἱ μεταφραστὰι, ὡς γράφεται καὶ ἐντοῖς Πολυαίνου στρατηγήμασι (ἐμ. ἐκδ. σελ. 168).—στ. 17, Ἱερᾶς.) Ἱετὰς, οὐκ ἀπιθάνως γράφειν παρήνεσάν τινες. Αἱ γὰρ Ἱεταὶ, φρούριον Σικελίας εἰσὶ, κατὰ τὸν Βυζάντιον Στέφανον.—στ. 20, Φιλοδήμου.) Φιλομήλου τοῦτον ἕτεροι ἱστορικοὶ οὐκ ὀλίγοι ὀνομάζουσιν.—στ. 28, Τῆς δίκης αὐτοῖς ὁμολογουμένως Τιμολέοντος, κ. τ. λ.) Ἡ τοῦ ἄρθρον περιαίρεσις ἐξ Η. Δ. τὰ δὲ λοιπὰ ἐκ Δ. Γ. ἀντὶ τοῦ, Τῆς δίκης αὐτοῖς ἀπολογουμένης τῇ Τιμολέοντος. Τὸ ἑξῆς, Τῆς δίκης ἐπιτιθεμένης ὁμολογουμένως (τουτέστιν ἀναμφιβόλως) αὐτοῖς, εὐτυχίᾳ (τουτέστι Δι' εὐτυχίαν) τοῦ Τιμολέοντος. Ἔστι δὲ καὶ τὸ ἄρθρον κατὰ χώραν ἐῶντας, οὕτω στίζειν, Τῆς δίκης αὐτοις, ὁμολογουμένως τῇ Τιμολέοντος, ὡς τινες τῶν πρὸ ἡμῶν ἐξεδέξαντο, τουτέστι, Τῆς δίκης ἐπιτιθεμένης αὐτοῖς κατὰ τρόπον ὁμολογοῦντα καὶ ἁρμόζοντα τῇ εὐτυχίᾳ τοῦ Τιμολέοντος. Ἀμιότος δ' ἡρμήνευσεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, τῆς δίκης αὐτοὺς ἀπολογουμένης, Τιμολέοντος εὐτυχίᾳ, καὶ ἐπιτιθεμένης. — Στ. 30, Μηδεμία.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μηδεμιᾶς.

ΣΕΛΙΔ. 113, στ. 9, Ὀστρειογραφεῖς.) Δ.Γ. Ὀστριογραφεῖς. Ἔστι δὲ, Ὀστρείῳ, τουτέστι πορφύρας ἄνθει, κεχρωσμένας.— Χρυσελεφαντηλέ-

κτρους.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Χρυσελεφαντεπιλέκτρους, ἢ Χρυσελεφαντεπηλέκτρους. Ἔστι γάρ, Χρυσῷ, καὶ ἐλέφαντι, καὶ Ἠλέκτρῳ κεκοσμημένας. Τὸ δὲ Ἤλεκτρον μίγμα ἦν χρυσοῦ καὶ ἀργύρου.—Στ. 11, Καλαυρίαν.) Καυλωνίαν γράφειν παραινοῦσί τινες, ἕτεροι δὲ Γαλερίαν· οὐ γάρ ἐστι πόλις Σικελίας ἡ Καλαυρία.—Στ. 12, Συρακουσίαν.) Χρησότερον ἂν εἶπε, Συρακουσίων, ὡς ἐσημείωσατό τις τῶν πρὸ ἡμῶν. —Στ. 17, Ὑπέστη.) Γράφε, Ἐπέστη, τουτέστιν, Ἐπαύσατο τοῦ περαιτέρω πορεύεσθαι, ἢ ὡς ἂν ἡ συνήθεια φαίη, Ἐστάθη, ἢ Ἐσταμάτησε· τὸ δὲ, Ὑπέστη ἕτερόν τι σημαίνει. — Στ. 24, Ἀλλήλοις.) Ἀλλήλους, διορθώσαντες ἔγραψαν οἱ πρὸ ἐμοῦ, οὐκ ἀπιθάνως. — Στ. 25, Ἐμβαλών.) Βάλλειν καὶ Ἐμβάλλειν κυριολεκτεῖται ἐπὶ τῶν κλήρων. Ὅθεν διορθούσθω τὸ ἐν τῷ ἔναγχος ἐκδοθέντι Λεξικῷ τοῦ Ζωναρᾶ (σελ. 1497), καὶ ὁ παῤ οὗ ἥρπισατο τὴν λέξιν Ἐτυμολόγος (σελ. 661), " Πάλος, ὁ κλῆρος· παρὰ τὸ Πάλλω, ἐπειδὴ ἡνίκα ΑΝΑΚΑΗΘΩΣΙΝ ,, οἱ κλῆροι πάλλονται ,,. Γραπτέον γάρ, Ἡνίκα ΑΝΒΑΗΘΩΣΙΝ κ. τ. λ.

ΣΕΛΙΔ. 114, στ. 5, Συνδεθέντας.) Ἐκ Δ. Γ. (ἦν καὶ ὁ ἡμέτερος Πόρτος ὑπενόησε) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Συντεθέντας. — Στ. 11, Αὐτούς.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Αὐτοῖς.—Στ. 13, Κορίνθιαι γυναῖκες κ. τ. λ.) Πρὸς τὸ Γυναῖκες, τὸ Ἐξῆλθον κατὰ πληθυντικὸν ἀριθμόν. Παρῴδηται δὲ ἐκ τῆς Εὐριπίδου Μηδείας (στίχ. 214), ὅπου Μηδειά ἐστιν ἡ λέγουσα πρὸς τὰς Κορινθίας,

Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,

ἐνικῶς καὶ πρωτοπροσώπως περὶ ἑαυτῆς.—Στ. 17, Περιουσίᾳ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περιουσίαι. — Στ. 30 Τὴν Ἄβολον.) Δ. Γ. Τὴν Ἄμβολον. Παραινοῦσι μέντοι τινὲς γράφειν, ἐκ τῆς Πτολεμαίου Γεωγραφίας ὡρμημένοι, Τὸν Ἄλαβον· ποταμὸν οὕτω καλούμενον τῆς Σικελίας.

ΣΕΛΙΔ. 115, στ. 4, Λύκου.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Λύκου. Ἐπιθι καὶ Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 359.—Καὶ τοῖς βουλομένοις.) Ἡ μὲν τοῦ συνδέσμου περιαίρεσις Ἐξ Η. Δ. ἔγραψα δ' ἐξ Ε. Δ. Τοῖς βουλομένοις, ἀντὶ τοῦ, Τοὺς βουλομένους.— Στ. 27, Πολέμους.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ πολεμίους.

ΣΕΛΙΔ. 116, στ. 3, Κατῴκισαν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Κατῴκησαν.—Στ. 4, Ἐκ Κέω.) Ἐκ Χίου, τῶν πάλαι τες μεταφραζῶν Λατίνων.—Στ. 11, Ἔργῳ συντελουμένῳ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἔργου συντελουμένου.—Στ. 12, Ἐπιθείς.) Ἴσ.

γρ. Ἐπιτιθείς. Κατ' ἐνεςῶτα δ' ἡρμήνευσαν καὶ οἱ μεταφραστάι. --- Στ. 17, Ἐπιγίνεσθαι.) Ἐνταῦθα δ' ἐξ ἐναντίας γράφε. Ἐπιγενέσθαι, κατὰ παρωχήμενον χρόνον, ὃν ἐδήλωσαν καὶ οἱ μεταφράσαντες.---Στ. 21, Τοῦδε.) Τῷδε, γραπτέον εἶναί τις ὑπετόπασε τῶν πρὸ ἡμῶν.

ΣΕΛΙΔ. 117, στ. 1, Ἀνῆπτε.) Δ. Γ. Ἀνῆγε. --- Στ. 5, Ἱερὸν . . . Αὐτοματίας.) Οὗ καὶ ἀλλαχοῦ (Πολιτ. παραγγέλμ. § 20) ἐμνημόνευσε.— Στ. 13, Ὑφ' ἑαυτοῦ.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ (ἀντὶ τοῦ, Ἐφ' ἑαυτοῦ.--Στ. 16, Ἐπεὶ δὲ χρὴν.) Γράφε, Ἐπεὶ δ' ἐχρὴν, ἤ γοῦν, (ὡς ἀλλαχοῦ Πλούταρχος, ταύτης μνημονεύων Σιμωνίδου της ῥήσεως) Ἐπεὶ δὲ χρή.— Πᾶσι κορυδαλοῖς.) Ἀλλαχοῦ δὲ (Πῶς ἂν τις ὑπ' ἐχθρ. ὠφελοῖτ. § 10, καὶ Πολιτ. παραγγέλμ. § 14) αὐτοῖς ῥήμασιν ἐχρήσατο Σιμωνίδου, Πάσαισι κορυδαλίσι. Λέγεται γὰρ καὶ Κορυδαλὶς, καὶ Κορυδαλὸς, ὁ ἐν τῇ παῤ ἡμῖν συνηθείᾳ Σκορδαλός· περὶ οὗ ἀλλαχοῦ (Ἰλιαδῶρ, Β, σελ. 184) σεσημείωται τὰ δέοντα. — Στ. 17, Ἐγγίνεσθαι.) Ἐν οἷς ἀνωτέρω ἐσημειωσάμεθα παραλλήλοις Πλουτάρχου χωρίοις γράφεται, Ἐγγενέσθαι. — Στ. 19, Πρός τινα δίκην κατεγγυῶντος.) Πρὸς δίκην τινὰ ἁπαντᾶν ἐν ἡμέρᾳ ῥητῇ καὶ συντεταγμένῃ ἀναγκάζοντος, ὥσπερ ἡρμήνευσεν ὁ Νέπως (Τιμολέοντ. § 4) διὰ τοῦ Vadimonium imponere, ὅπερ οἱ Γάλλοι διὰ τοῦ Assigner, ἢ Ajourner ἐκφράζειν φιλοῦσιν. Ἔςι δὲ ἄλλως τὸ Κατεγγυᾶν συνώνυμον τοῦ Ἐνεγγυᾶν, τουτέςι τὸ παρατιθέναι τί τινι ἐπὶ φυλακῇ· ὅθεν διόρθου καὶ τὸ ἐν τῷ Λεξικῷ Φωτίου, "Κατεγγυᾶν, παραδιδύναι. ,, Κατεγγυῶ, ΑΝΕΓΓΥΩ,, γράφων ΕΝΕΓΓΥΩ. Σημαίνει πρὸς τούτοις, ὡς καὶ τὸ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 261) Διεγγυᾶν, τὸ ἐγγυητὴν παρά τινος αἰτεῖν, τὸ ἐγγυᾶσθαί τινα ἀναγκάζειν, ὅπερ οἱ Γάλλοι διὰ τοῦ Rendre responsable ἐκφράζειν εἰώθασι. — Στ. 25, Ἧς εὔξατο.) Πρὸς τὸ, Παῤῥησίας, καθ' ὑπερβατόν. Δ. Γ. Οἷς εὔξατο, πρὸς τὸ, Θεοῖς.—Ἐπιδῶν.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Ἐπιδεῖν.—Στ. 27. Οἱ σοφισταὶ διὰ τῶν λόγων τῶν πανηγυρικῶν.) Λυσίαν αἰνίττεται, καὶ Γοργίαν, καὶ Ἰσοκράτην (Ἴδε Ἰσοκράτ. Β, σελ. 30, ἐμ ἐκδ.).—Στ. 29, Ταύταις.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Αὐταῖς.

ΣΕΛΙΔ. 118, στ. 5, Ἀϊδίων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἀηδιῶν. Ἕτεροι δὲ, Ἰδίων, γεγράφθαι πάλαι ὑπετόπασαν. — Στ. 12, Ἄθανις.) Δ. Γ. Ἀθάνις.—Στ. 13, Μυλλαῖς.) Μύλαι (καὶ οὐ Μυλλαὶ) καλεῖται ἡ Σικελικὴ πόλις αὕτη ὑπὸ τῶν γεωγράφων.—Στ. 23, Αὐταί.) Δ. Γ. Αὐτοῦ.

ΣΕΛΙΔ. 119, στ. 14, Ἐκ μικρᾶς προφάσεως.) Κατὰ γὰρ τὸν Σοφοκλέα (Οἰδ. Τύρ. 961),

Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή·

τὸ δὲ κλέος τῶν τοιούτων ἀνδρῶν οὐδ' ἂν ὁ σύμπας αἰὼν κατευνάσειε, καίπερ τοῦτο σπουδαζόντων ἐπιεικῶς πλείστων ὅσων συκοφαντῶν,

Καὶ βωλομόχων δημοπηθίκων,
Ἐξαπατώντων τὸν δῆμον ἀεί.

(Ἀριστοφ. Βατρ. 1085-1086). — Στ. 29, Διακοσίων μνῶν.) Ἐλλειπτικῶς τῆς προθέσεως· τουτέστιν, Ἀπὸ δαπάνης διακοσίων μνῶν. Αἱ δὲ διακόσιαι μναῖ ἴσον δύνανται σχεδὸν μυρίαις ὀκτακισχιλίαις Γαλατικαῖς λίτραις.— Ἐτίμησε.) Δ. Γ. Τιμήσει.

ΑΙΜΙΛΙΟΣ ΠΑΥΛΟΣ.

ΣΕΛΙΔ. 121, στ. 4, Οὐδενὶ γὰρ ἄλλῳ, ἢ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐδὲν γὰρ ἀλλ' ἢ. — στ. 7, Ὅσσος ἔην, οἷός τε.) Ἐξ Ὁμήρου (Ἰλιάδ. Ω, 630),

Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐΐκει,

ὥσπερ ἐδίδαξαν οἱ πρὸ ἡμῶν. — στ 10, Φεῦ, φεῦ.) Ἐξ ἀδήλου ποιητοῦ, τραγικοῦ τινος ἴσως. — στ. 12, Εὐλόγχων εἰδώλων.) Ὁ νοῦς Ὅπως προσπίπτωσιν ἡμῖν ἀπὸ τοῦ περιέχοντος (τουτέστι τοῦ περικυκλοῦντος ἡμᾶς ἀέρος) φαντασίαι εἰδώλων εὐτυχῶν· οὕτω γὰρ ἐξηγήσαντο τὸ Εὐλόγχων, παρὰ τὸ Λόγχη τὸ σημαῖνον, κλῆρον, λῆξιν, μερίδα. Τὸ δὲ δόγμα, οὗ καὶ ἀλλαχοῦ (Περὶ τῶν ἐκλελοιπ. χρηστηρ. § 17) ἐμνημόνευσε, τῆς Δημοκρίτου καὶ Ἐπικούρου φιλοσοφίας ἐστὶν, εἰκότως ἀποδοκιμαζόμενον ὑπὸ τοῦ Πλουτάρχου. — Σύμφυλα.) Δ. Γ. (παρὰ τῷ Εὐσεβίῳ Εὐαγγελ. Προπαρασκ. Δ΄. ιζ΄) Σύμφορα.—στ. 13, Φαῦλα.) Οἱ μέν τινες παρήνεσαν τρέπειν εἰς τὸ, Ἄφυλα, ἕτεροι δὲ, εἰς τὸ Ἀσύμφυλα (ἀντιδιεσταλμένως πρὸς τὸ Σύμφυλα), ἤ, Ἀσύμφορα (ἀντιδιεσταλμένως πρὸς τὴν Δ, Γ. Σύμφορα). — στ. 24, Τύχαις.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ψυχαῖς.

ΣΕΛΙΔ. 122, στ. 3. Μάμερκος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μάρκος.— στ. 21, Λεγόμενοι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Γενόμενοι. Ὁ νοῦς, Δοκοῦντες, ἀλλ' οὐκ ὄντες σπουδαῖοι· ἢ Λύγῳ μόνῳ, καὶ οὐ ταῖς ἀληθείαις σπουδαῖοι. — στ. 27, Αὐγούρων.) Αὔγουρες, ἢ Αὔγουροι (Λατιν.

τιν. Augures), οἱ οἰωνοσκόποι, τουτέστιν οἱ ἐκ τῆς τῶν οἰωνῶν πτήσεως, ᾠδῆς, καὶ ἁπλῶς οἱασοῦν φορᾶς ἢ κινήσεως τὰ μέλλοντα προφητεύοντες.

ΣΕΛΙΔ. 123, στ. 17, Ἀλλ', ὥσπερ ἱερεὺς ἄλλων ὀργίων δεινῶν.) Τοῦθ' ὁ πρὸ ἐμοῦ οὕτω γράφειν παρήνει, Ἀλλ' ὥσπερ ἱερεὺς, περὶ τὰς τῶν ὀργίων θυσίας δεινὸς, ἢ ἐπιρρηματικῶς, Ἀ. ὥ. ἱ. π. τ. τ. ὀ. θυσίας, δεινῶς· πρὸς τὸ ἐξηγούμενος. Ἴσως ἀπόχρη μόνη ἡ τοῦ Δεινῶν εἰς τὸ Δεινὸς τροπή, ἵν' ᾖ τὸ ἑξῆς, Ἀλλ' ἐξηγούμενος ἕκαστα τῶν περὶ τὰς στρατείας ἐθῶν, ὥσπερ ἱερεὺς δεινὸς (τουτέστιν ἔμπειρος καὶ σοφὸς) ἄλλων ὀργίων.—Στ. 18, Στρατείας... ἕκαστα.) Δ.Γ. Θυσίας... ἑκάστῳ.—Στ. 25, Γινομένων.) Γενομένων, ὀρθώτερον ἡρμήνευσεν ὁ Ἀμιότος. — Στ. 30, Περιφανῶς.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περιφανές.

ΣΕΛΙΔ. 124, στ. 5, Ἀπό.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὑπό. — Στ. 7, Φερνῆς.) Προικός. Ἅπαντες ὡς εἰπεῖν οἱ γραμματικοὶ παρὰ τὸ, Φέρω, παρῆχθαι φασὶ τὴν φερνήν· τοῦ γε μὴν τὴν πρόσθεσιν οὐκ ἐξηγήσαντο. Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Φέρνω (Ἡλιοδώρ. Β, σελ. 120) οὐδὲν ἧττον ἑλληνικόν ἐστι τοῦ Φέρω, ὡς μαρτυρεῖ οὐ μόνον τὸ παράγωγον Φερνή, ἀλλὰ καὶ ἡ ἐν ἑτέροις ῥήμασι παραπλησία προσθήκη ὑπὸ τῶν ἀρχαίων, οἷον Κεδάω καὶ Κιδνάω, Κεράω καὶ Κιρνάω, Κρεμάω καὶ Κρεμνάω. Παρὰ δὲ τὸ Φερνὴ, ἕτερον ῥῆμα Φερνίζω (Ἐξόδ. κδ', 16), τὸ Προικίζω, οὗ αἰολικὸς μέλλων, Φερνίξω, παρ' ὃν συνώνυμον τῆς Φερνῆς ἕτερον ὄνομα, ἡ Φέρνιξ (Ἐτυμολογικ. σελ. 790 καὶ Φωτ. Λεξικ. σελ. 470), ὡς παρὰ τὸ Προίξω, ἡ Προὶξ, παρὰ τὸ Δράξω ἡ Δράξ κ. τ. λ., καὶ οὐ παρὰ τὸ Φέρειν ὄνησιν, ὡς ἐδίδαξεν ὁ Ἐτυμολόγος.—Στ. 10, Μάσωνος.) Ἐκ Δ.Γ. καὶ τοῦ Τίτου Λαβίου, ἀντὶ τοῦ, Μνάσωνος. — Στ. 15, Ὡς ἀνὴρ Ῥωμαῖος κ. τ. λ.) Ἕτερος παρὰ τὸν Αἰμίλιον, καὶ οὐκ αὐτὸς ὁ Αἰμίλιος, ὥς τινες κακῶς ἐξεδέξαντο. — Στ. 18, Κάλτιον.) Λατιν. Calceus. Ἡ δὲ λέξις, Κάλτιος, οὐ τῶν Ῥωμαίων, ἀλλὰ τῶν κατὰ τὴν Σικελίαν Ἑλλήνων ἐστίν· οὕτω γὰρ ἐκάλουν ἐκεῖνοι τὰ κοῖλα ὑποδήματα, ἅπερ οἱ Βυζαντινοὶ συγγραφεῖς ὕστερον Καλτίκια, καὶ Καλίγια οὐδετέρως, καὶ συνωνύμως οἷς ἐκάλουν Σαγγίοις (τοῖς νῦν παρ' ἡμῖν, Τζαγγίοις) ὠνόμαζον. Τὰ δὲ Σαγγία, ἐπεὶ περικνημίδές εἰσι, τουτέστι τῆς κνήμης σκεπάσματα, εἰκὸς παρὰ τὸ Σαγία παρῆχθαι, πλεονασμῷ τοῦ γ (καθάπερ καὶ ἐν τῷ Σπαράγγια ἀντὶ τοῦ Ἀσπαράγια). "Σάγανα, σκεπάσματα, περι-,, βόλαια,, φησὶν Ἡσύχιος, καὶ "Σάγη . . . περιβόλαιον, σκέπασμα,, καὶ "Σάγος, μέρος τι τῆς πανοπλίας, ,, καὶ " Σκυτεὺς, Σαγγάριος,

,, καλιγάριος,,, ὃν οἱ χυδαίζοντες Τζαγγάριν, ἢ Τζαγγάρην καλοῦσι, καθὰ δηλοῖ καὶ ἡ ἐπὶ τῶν ἀχρήστως τοῖς χρηστοῖς εὐπορουντων παροιμία ‘‘ Τζαγγάρης ἐξυπόλυτος, ῥάπτης παραλυμένος,,. Ἁμαρτάνουσιν οὖν οἱ Ῥωμαϊκῶς τὸ Ῥωμαϊκὸν Calceus παρὰ τὸ Calx (τὴν Πτέρναν) ἐτυμολογοῦντες· καὶ αὐτὸ γὰρ τὸ Calx παρὰ τὸ Λάξ μεταθέσει τῶν στοιχείων ὁμολογουμένως ἐστὶ, καθὰ καὶ τὸ Rapax παρὰ τὸ Ἁρπαξ. Καὶ ἡ παρ᾽ ἡμῖν δὲ Κάλτζα, τουτέστιν ἡ ἐκ λίνου, ἢ ἐρίου περικνημὶς, οὐ παρὰ τὸ τοῦ παρακμάζοντος Λατινισμοῦ Calcia (ὅθεν τὸ τῶν Ἰταλῶν Calza) παράγεται, ἀλλὰ παρὰ τὴν Κάλτην, ἢ τὸν Κάλτον. ‘‘ Κάλτοι (φησὶν Ἡσύχιος), ὑποδήματα κοῖλα, ἐν οἷς ἱππεύουσι ,, . —στ. 20, Τῷ γὰρ ὄντι μεγάλαι μὲν . . . ἄλλας οὐκ ἀπήλλαξαν· ταῖς δ᾽, ἔκ τινος κ. τ. λ.) Ἐξ Η. Δ. καὶ ἡ προσθήκη τὴς ἀρνήσεως, καὶ ἡ μεταβολὴ τοῦ τε ἄρθρου καὶ τῆς ςίξεως, ἀντὶ τοῦ, Τῷ γὰρ ὄντι μεγάλαι μὲν . . . ἄλλας ἀπήλλαξαν· τὰς δ᾽, ἔκ τινος. Ἄλλων ἄλλως διορθωσάντων καὶ ἐξηγησαμένων τὸ ἡμαρτημένον τοῦτο χωρίον, ἡμῖν ἔδοξεν οὐ μόνον διὰ τὰς γραφικὰς πλημμελείας, ἀλλὰ καὶ διὰ τὸν Πλούταρχον αὐτὸν, πέρα τοῦ καλῶς ἔχοντος μηκύνειν τὰς περιόδους φιλοῦντα, δυσνόητον ἀποθέσθαι τὸ χωρίον. Τὸ ἑξῆς καὶ ὁ νοῦς, Τῷ γὰρ ὄντι ἄλλας μὲν γυναῖκας οὐδ᾽ αὐταὶ αἱ μεγάλαι καὶ ἀναπεπταμέναι ἁμαρτίαι (φέρ᾽ εἰπεῖν μοιχεῖαι) ἀπήλλαξαν τῶν ἀνδρῶν· ταῖς δὲ, (τουτέστιν Ἄλλαις δὲ) μικρὰ καὶ πυκνὰ προσκρούματα, ἐξ ἀηδίας καὶ δυσαρμοςίας τῶν ἠθῶν γεννώμενα, καὶ τοὺς ἄλλους λανθάνοντα, ἀπεργάζεται ἀνηκέςους ἀλλοτριότητας ἐν ταῖς συμβιώσεσι. Καὶ σημείωσαι ὅτι αὐτὸ τὸ, Ἀνηκέςους ἀλλοτριότητας, ὑπαγορεύει ἀναγκαίως τὸ μετ᾽ ἀρνήσεως γράφειν ἐν τῷ πρώτῳ τῆς περιόδου μέρει, Οὐκ ἀπήλλαξαν. Εἰ γὰρ ἐπίσης αἱ μεγάλαι, ὥσπερ αἱ μικραὶ τῶν ἁμαρτιῶν ἀπαλλάττουσι τῶν ἀνδρῶν τὰς γυναῖκας, οὐδὲν ἂν εἴη μᾶλλον ἀνήκεςος ἡ διὰ μικρὰ ἁμαρτήματα τῆς διὰ μεγάλα ἀπαλλαγή. Ἀναγκαίαν οὖν ἡγούμενος τὴν προσθήκην τοῦ ἀρνητικοῦ μορίου, οὐκ ἔτι ἀναγκαίαν ὑπολαμβάνω τὴν μεταβολὴν τοῦ ἄρθρου, οὐδὲ τῆς ςίξεως. Δύναται γὰρ καὶ οὕτω νοεῖσθαι τὸ λεγόμενον, Μεγάλαι μὲν ἁμαρτίαι πολλάκις οὐκ ἴσχυσαν ἀπαλλάξαι γυναῖκας ἀνδρῶν· τὰ δ᾽ ἔκτινος ἀηδίας προσκρούματα ἀπεργάζεται κ. τ. λ.—στ. 24, Οὕτω δ᾽ οὖν.) Δ. Γ. Ὁ δ᾽ οὖν. — στ. 28, Τῷ Μαξίμου.) Ἐκ διορθώσεως (ἢ συνάδει καὶ ὁ Ἀμιότος) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀπὸ Μαξίμου.

ΣΕΛΙΔ. 125, στ. 8, Δι᾽ ἧς.) Ἴσ. γρ. Δι᾽ ἣν. — στ. 9, Κλίμασι.) Οὐκ ἀποτόμως ὧδε ἐκληπτέον τὸ κλίμα, κατὰ γεωγραφικὴν ἔννοιαν

ἐπὶ τοῦ μεταξὺ δύο παραλλήλων τῷ ἰσημερινῷ διαστήματος, ἀλλ' ἐπὶ τῆς ἁπλῶς θέσεως πρὸς τὸ περιέχον· οἷον ἡνίκα χωρίον πατρῷον πολλῶν ἀδελφῶν κληρουμένων, ὁ μὲν τὸ πρὸς βορρᾶν, φέρ' εἰπεῖν, ὁ δὲ τὸ πρὸς νότον, ὁ δὲ τὸ πρὸς ἀνατολὰς, ἢ πρὸς δύσιν νεῦον μέρος τοῦ χωρίου ἑαυτῷ περιποιεῖται. — στ. 21, Περιέκοπτον.) Ἐλήϊζευον.

ΣΕΛΙΔ. 126, στ. 2, Τρισκάλμου.) " Σκαλμοὶ, τὰ ξύλα, ὧν (γρ. ,, ἐφ' ὧν) δέονται αἱ κῶπαι πρὸς τὴν εἰρεσίαν ,, ὡς ἐξηγεῖται Φώτιος ἐν τῷ Λεξικῷ. Πρῶτος ἐχρήσατο τῇ λέξει Αἰσχύλος (Πέρσ. 676), ἐν τῷ " Τρίσκαλμοι νᾶες ,,. Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὸν Σκαλμὸν, καίπερ ἐν οὐδενί πω τῶν ἡμετέρων καταχωρισθέντα Λεξικῶν, ὡς ἔστι μαθεῖν ἔκ τε τῶν νῦν ναυτιλλομένων Ἑλλήνων, καὶ τοῦ Εὐσταθίου (Ὀδυσσ. Δ, σελ. 1517) λέγοντος, "Τροποὶ δὲ ὀξυτόνως, ἤτοι κοινότερον εἰ- ,, πεῖν Τροπωτῆρες, ἱμάντες, οἷς ἡ κώπη πελάζουσα ἐνείρεται τῷ ἰδιω- ,, τικῶς λεγομένῳ σκαλμῷ ,,. Ἐλέγετο δὲ ὁ Σκαλμὸς καὶ Τύλος, κατὰ τὸν Φώτιον. " Τύλοι, σκαλμοὶ πλοίων. Τύλος ὁ ἐξέχων ἦλος περὶ ὧν ,, (γρ. Περὶ ὃν) δεσμεύεται ὁ τροπωτήρ ,,· καὶ Κωπητὴρ, κατὰ τὸν Ἡσύχιον. Μήποτε μέντοι ὁ Κωπητὴρ, τὸ ἑκατέρωθεν ἄκρον ὅλον τοῦ τοίχου τοῦ πλοίου, ᾧ ἐμπεπήγασιν οἱ σκαλμοί, ἐσήμαινεν, ὃν ἡ νῦν συνήθεια, Κωπασὴν, ἢ Κουπαστὴν, θηλυκῶς, ὀνομάζει. —στ. 3, Ὑπ' αὐτῶν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑπὸ τῶν. — στ. 12, Καὶ διδάσκαλοι θήρας Ἕλληνες ἦσαν.) Ἐξ Η. Δ. ᾗ συνάδει καὶ ἡ Ἀμιότου μετάφρασις. Ἐγέγραπτο παρ' ἅπασι, Καὶ διδάσκαλοι θήρας ἐλεῖν, ἔσησαν· οὗ τὸ ἀλλοκότως βάρβαρον ὁ Ῥεισκιος κατενόησε μὲν, οὐ μὴν ἴσχυσε θεραπεῦσαι. — στ. 19, Πάσχοντας... ποιοῦντας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Πάσχοντες... ποιοῦντες.

ΣΕΛΙΔ. 127, στ. 9, Συνοικίσαντες.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Συνοικήσαντες. — στ. 11, Δώσων.) Περὶ οὗ ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 377) σημειωθέντα· οἷς προστίθει, ὅτι τοὺς, οἵος ἦν Ἀντίγονος, Δώσονας, καὶ Προδοσικόμπους ἐκάλουν οἱ πάλαι, ὡς φησι Φώτιος, καὶ ὁ ἐκ τοῦ Φωτίου παρειλημφὼς Σουίδας· "Προδοσίκομπος, ὁ ὑποσχετικὸς, ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος, ἀλλὰ ΠΡΟΔΙΔΟΥΣ ,,. Καὶ ἔχει ἀπορίαν τὸ ἔτυμον. Ἔστι μὲν γάρ πως ἀναλογώτερον, παρὰ τὸ Προδιδόναι ἑρμηνεύειν τὴν λέξιν, κατὰ τὸ Προδοσέταιρος· σκεπτέον γε μὴν μήποτε κωμικώτερον εἴρηται Προδοσίκομπος, ὁ πρὸ τῆς δόσεως κομπῶν. — στ. 14, Ἀναστήσων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀναστήσει. — στ. 17, Σκοτοῦσσαν.)

Ἔγραψα διὰ διπλοῦ τοῦ σ. παρὰ γὰρ τὸ Σκοτόεσσα. — Φλαμινίνου.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Φλαμινίου.

ΣΕΛΙΔ. 128, στ. 2, Προαγαγεῖν εἰς ἔργον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Προσαγαγεῖν εἰς ἔργον.—Στ. 4, Ὑπολειπόμενος.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ἀπολειπόμενος.—Στ. 9, Ἀκεστρίας.) Ἀκέστρια ἡ ἐν τῇ συνηθείᾳ Ῥάπτρια (Εὐσάθ. σελ. 1647, καὶ 1764), ἢ Ῥάπτησσα· λέγεται γὰρ καὶ τοῦτο, κατὰ τὸν ἐθνικὸν τύπον τοῦ Κρὴς, Κρησσα, Μάγνης, Μάγνησσα. — Στ. 10, Γναθαινίας.) Ἴσ. γρ. Γναθαίνης, ἢ, ὡς εἴκασαν ἕτεροι πρὸ ἡμῶν, Γναθαινίου. Οὕτω γὰρ αὐτὴν καὶ ἀλλαχοῦ (Ἀράτ. § 54) ὀνομάζει Πλούταρχος. — Στ. 14, Ῥώμης.) Δ. Γ. Ῥύμης. — Στ. 15, Διηρείσατο.) Ἀντέσχε καὶ διετείνατο. Παρὰ τὸ Διερείδομαι, οὗ τὸ ἁπλοῦν καὶ ἐνεργητικὸν Ἐρείδω. συγγενὲς καὶ συνώνυμον εἶναι τοῦ Ἐρίζω (ὅθεν τὸ τῆς συνηθείας Συνερίζομαι) διδάξει σε ἡ μετὰ προσοχῆς τῶν συγγραφέων παράθεσις. — Στ. 21, Ναυστάθμου.) Ἐπὶ τοῦ στόλου ὧδε, ἤγουν τοῦ ναυτικοῦ στρατοῦ, ὥσπερ ἐν τοῖς πρόσθεν (σελ. 368) ἐσημειωσάμην, τῇ λέξει ἐχρήσατο. Ἄλλως γὰρ ὁ Ναύσταθμος, ἢ τὸ Ναύσταθμον, Λιμένα, ἢ τόπον ἐν ᾧ ἵστανται αἱ νῆες, σημαίνει.— Στ. 23, Γεμούσας κατέδυσεν· ἐκράτησε δὲ καὶ πεντηρικὰ τέσσαρα. Καὶ μάχην ἐπολέμησε τὸ δεύτερον, ἐν ᾗ τὸν ὑπατικὸν Ὀστίλιον κ. τ. λ.) Ἐκ Δ.Γ. παρείληφα τὸ, Τὸν ὑπατικὸν, ἀντὶ τοῦ, Τῶν ὑπατικῶν. Ἑτέρα δὲ Δ. Γ. φέρεται εἰς μακρῷ βραχύτερον συντετμημένη ἥδε, "Γεμούσας· τὸν δὲ δεύτερον τῶν ὑπατικῶν ,, Ὀστίλιον ,,. Ἀμιότος δὲ ἡρμήνευσεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, "Γε- ,, μούσας κατέδυσεν· ἐκράτησε δὲ καὶ πεντηρικὰ ΠΕΝΤΗΚΟΝΤΑ ΚΑΙ ,, ΤΕΣΣΑΡΑ. Καὶ μάχην ἐπολέμησε ΠΡΟΣ τὸν δεύτερον τῶν ὑπατικῶν ,, Ὀστίλιον,,. — Στ. 25, Καταβιαζόμενον.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Καὶ βιαζόμενον.—Ἐλιμιας.) Ἐλιμίαν, ἢ Ἐλίμειαν, ταύτην ἑνικῶς ἕτεροι καλοῦσι.

ΣΕΛΙΔ. 129, στ. 6, Ἐάσαντας, αὐτοὺς καλεῖν.) Ἤν τινες τῶν πρὸ ἡμῶν εἰς τὸ, Εὐθὺς, ὑπέλαβον μεταβλητέον εἶναι ἀντωνυμίαν, ἐμοὶ περιελεῖν ὅλως ἔδοξε τοῦ χωρίου. — Στ. 13, Ἐθρύπτετο.) Μὴ βούλεσθαι τὴν ὑπατείαν προσεποιεῖτο. Τοῦτο ἡ συνήθεια, Ἐχαδεύετω, ἂν ἑρμηνεύσεις. Σκεπτέον δὲ εἰ καὶ τὸ Χαδεύομαι, τῆς Ἑλλήνων ἐστὶ φωνῆς· ὁ μὲν γὰρ ἐνεργητικὸς τύπος Χαδεύω (καὶ οὐ Χαιδεύω) σημαίνει τὸ παρὰ τοῖς Γαλάταις Caresser, ὁ δὲ μέσος τύπος, Χαδεύομαι, σημαίνειε μὲν ἂν καὶ τὸ Χαδεύω ἐμαυτὸν (se caresser), ἐξενίκησε δὲ σημαίνειν, τὸ Προσποιητῶς ἀρνοῦμαι, καὶ ὑποχωρῶ, ἢ ἀναχωρῶ

ἔργου τινὸς ἢ πράξεως. Ἔστι ῥῆμα Χάζω καὶ Χάζομαι, τὸ εἰς τοὐπίσω χωρῶ καὶ ἐκκλίνω, παρ' ὃ καὶ Ἀναχάζειν, τὸ ἀναχωρεῖν, καὶ Συγχάζειν, τὸ συγχωρεῖν. Τούτου ὁ μέσος παρακείμενος Κέχαδα ἀπέτεκε ῥηματικὸν τύπον ἕτερον, Χάδω, καὶ Χαδέω· ὅθεν ἔοικε παρῆχθαι τὸ τῆς συνηθείας Χαδεύομαι, τοῦτῳ διαφέρον τοῦ Χάζομαι, ὅτι τὸ μὲν ἁπλῶς τὸ ἀναχωρῶ καὶ φεύγω ἢ ἐκκλίνω σημαίνει, τὸ δὲ ἡμέτερον Χαδεύομαι, τὸ ὑποκρίνομαι φεύγειν, ἢ ἐκκλίνειν, τὸ προσποιητῶς ἀρνοῦμαι, ὅπερ οἱ Γάλλοι διὰ τοῦ Faire de difficile ἐκφράζειν φιλοῦσι. Παράδειγμα τοῦ πρώτου (Εὐριπίδ. Ὀρέστ. 1116),

Καὶ μὴν τόδ' ἔρξας, ὃς θανεῖν οὐ χάζομαι,

τουτέστιν, Οὐκ ἐκκλίνω τὸ ὃς ἀποθανεῖν· τοῦ δευτέρου δ' ἔστω τὸ, ὡς ἄν τις, ἐπ' ἀριστόν τινα καλῶν, φαίη,

Ἔλα σήμερον νὰ γευθῇς, ἔλα, καὶ μὴ χαδεύου.

—Στ. 25, Δεδακρυμένην.) Σημειωσαι τὸν παρακείμενον ὧδε, οὔτε τὴν Δακρύουσαν κυρίως σημαίνοντα, οὔτε μὴν ἁπλῶς καὶ συντελικῶς τὴν Δεδακρυκυῖαν, ἀλλὰ τὴν Δεδακρυκυίας ἔτι σημεῖα φέρουσαν ἐπὶ τοῦ προσώπου, ὅπερ ἀκριβῶς ἐκφράσαι, παρὰ τὴν συνήθη φωνὴν ἡμῶν, χαλεπόν ἐστι δυναμένην ἑτέραν γλῶσσαν εὑρεῖν. Τὸ γὰρ τοῦ Ἀμιότου Esplorée, ὃ καὶ ὁ Στέφανος (Θησαυρ. Α, σελ. 907) ἐσημειώσατο, ἴσως οὐ ταὐτὸν δύναται τῷ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ παρακειμένῳ, Δακρυσμένην (Δακρύζω γὰρ λέγομεν τὸ Δακρύω, κατὰ τὰ παρὰ τοῖς ἀρχαίοις Βλύω καὶ Βλύζω, Βρύω καὶ Βρύζω, Φλύω καὶ Φλύζω), καὶ τῷ συνωνύμῳ Κλαυμένην, ὅπερ σεσημείωται ἐν τῷ ἔναγχος ἐκδοθέντι Λεξικῷ τοῦ Ζωναρᾶ. Οὕτω γὰρ ἐκεῖνος, "Κεκλαυμένην, ,, ἀντὶ τοῦ Κεκλαυκυῖαν· ἔστι δὲ ποιητικόν,,· ἀληθῶς μέν, οὐκ ἀκριβῶς δέ. Οὔτε γὰρ ἁπλῶς τὸ Κεκλαυκυῖαν, ἀλλὰ τὸ, Κεκλαυκυίας ἔτι φέρουσαν ἐπὶ τοῦ προσώπου σημεῖα, δηλοῖ, οὔτε ποιηταῖς ἴδια λεκτέον ἅπερ ἄλλως ἐκφράσαι λογογράφοις οὐ συγκεχώρηται. Ὁ γὰρ παρὰ τῷ Αἰσχύλῳ (Χοηφ. 727) οἰκέτης, ἡνίκα, τῆς τροφοῦ ἐξερχομένης τοῦ οἴκου, λέγει,

Τροφὸν δ' Ὀρέστου τὴν δ' ὁρῶ ΚΕΚΛΑΥΜΕΝΗΝ,

οὔτε, Κλαίουσαν τηνικαῦτα σημαίνει (οὐ γὰρ ἂν ἐχρήσατο τῷ παρακειμένῳ), οὔτε Κεκλαυκυῖαν ἁπλῶς ὁρίζεται (πῶς γὰρ ἄν, ἣν οὐχ ἑωράει κλαίουσαν;), ἀλλ' ἐκ τῶν σημείων τοῦ κλαυθμοῦ (τῆς τῶν

ὀφθαλμῶν οἰδήσεως δηλονότι καὶ τοῦ ἐρεύθους) κεκλαυκέναι τεκμαίρεται τὴν τροφὸν, καὶ λέγει ὅπερ ἂν φαίη καὶ ἡ συνήθεια ἐπὶ παραπλησίας συναντήσεως. "Βλέπω τὴν παραμάναν (ἢ τὴν βυζάστριαν) τοῦ Ὀρέστου κλαυμένην,,. —στ. 27, Εἰπεῖν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Εἶπεν.

ΣΕΛΙΔ. 130, στ. 1, Ἐν τοῖς περὶ μαντικῆς.) Βιβλ. Α, κεφ. 46, ὅπου καὶ ἀντὶ τοῦ Δεδακρυμένην, Tristiculam, ὅπερ ἂν εἴη Ὑπόλυπον, εἴρηκεν ὁ Κικέρων. — στ. 5, Συναγαγών.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐναγαγών, ἤ, ὡς ἑτέρα Δ. Γ., Ἀναγαγών.— στ. 8, Εἰ μέν.) Προσέθηκα τὸν Μὲν ἐξ Ε. Δ. —στ. 11, Ἄρχοντος.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἄρχοντας. —στ. 19, Ἐπὶ τὴν στρατείαν.) Ἐκ διορθώσεως προσέθηκαν τὸ ἄρθρον οἱ πρὸ ἐμοῦ. —στ. 28, Φησίν.) Φήσει, γραπτέον, οἶμαι. — στ. 30, Ἀποδειλιάσαντος.) Πρὸς τὸ Περσέως. Εἴληφα δ' ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἀποδειλιάσασα.

ΣΕΛΙΔ. 131, στ. 2, Παραβάται.) Ἰσοδρόμως παρεπόμενοι τοῖς ἱππεῦσι πεζοὶ, ἵν' ἐκείνων πεσόντων αὐτοὶ τοὺς ἵππους ἀναβαίνοιεν, ὡς ἐξηγήσατο Λίβιος αὐτὴν ταύτην (ΜΔ, κς΄) τοῦ Περσέως ἱσορῶν τὴν παρασκευήν. Ἀμίππους καλοῦσι τούτους ὅ τε Θουκυδίδης καὶ ὁ Ξενοφῶν (Ἁρποκρατ. λέξ. Ἀμιπποι).—στ. 5, Μηδικήν.) Γράφε, Μαιδικήν, ὡς ἐξέφρασε καὶ ὁ Ἀμιότος (Mædique)· Παρὰ γὰρ τοὺς Μαιδοὺς, ἔθνος Θράκης πλησίον Μακεδονίας, ὡς ἱστόρηκε Στράβων (σελ. 318), καὶ ὁ Βυζάντιος Στέφανος (λέξ. Μαιδοί.).—στ. 13, χιλίους.) Ἐλλειπτικῶς τοῦ Χρυσοῦς στατῆρας.—Πρὸς τὸ γιγνόμενον τοῦ χρυσίου πλῆθος.) Πεντακοσίων ταλάντων τὸ σύμπαν, ὡς ὁ Σικελιώτης φησὶ Διόδωρος (Τομ. Β, σελ. 580).— στ. 17, Καί τοι διδασκάλους.) Ἐκ Δ. Γ. (καὶ τοῦ Ἀμιότου) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καὶ διδασκάλους.— Οἷς ἄνευ τῆς ἄλλης παρασκευῆς στρατιωτῶν δέκα μυριάδες ἦσαν κ.τ.λ) Ἐκ Δ. Γ. καὶ τοῦ Ἀμιότου οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οἱ ἄλλης παρασκευῆς, τῶν δέκα μυριάδων ἦσαν. — στ. 21, Ἀλλοτρίου.) Ἐξ Η. Δ. ᾗ συνάδουσι καὶ αἱ μεταφράσεις, ἀντὶ τοῦ, Ἀλλοτρίων.

ΣΕΛΙΔ. 132, στ. 2, Καταχεάμενος.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Καταχεόμενος. — στ. 7, Γένθιον.) Ὡς καὶ ἀνωτέρω, καὶ ἐν τοῖς ἑξῆς· ἕτεροι δὲ Γέντιον ὀνομάζουσι, παρ' ὃν καὶ ἡ Γεντιανὴ, βοτάνη τις οὕτω καλουμένη.—στ. 10, Ἔχειν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Εἶχεν. — στ. 29, Καὶ λόγῳ πολλὰ διαστρατηγοῦντα τῶν ἀπράκτων.) Διαστρατηγεῖν εἴρηκεν ἐνταῦθα, ὅπερ ἀνωτέρω Παραστρατηγεῖν. Ὁ νοῦς, Καὶ πολλὰ τῶν μὴ πραχθέντων (ὡς ὁ Ἀμιότος), ἢ τῶν μὴ δυνατῶν

πραχθῆναι (ὡς ὁ Λατ. μεταφρ.) πρακτέα εἶναι λέγοντας, ὥσπερ ἂν εἰ στρατηγοὶ αὐτοὶ ἐτύγχανον ὄντες.

ΣΕΛΙΔ. 133, στ. 1, Ἀλλ' ἤ.) Γράφε, Ἀλλ' ἤ, τουτέστιν, Ἄλλο ἤ· πρὸς τὸ Μηδέν. — στ. 8, Ἐπίδυε.) Ἐπήγαζε· παρὰ τὸ Πιδύω, παρ' ὃ καὶ τὸ, Πίδαξ, συνώνυμον καὶ συγγενὲς τῷ Πηγή, ὥσπερ τὸ Πιδύω, τῷ Πηδάω. Καὶ σημειούσθω ἡ γραφὴ τῆς πρώτης ἑκατέρου συλλαβῆς, ὡς οὐδεμίαν, ἢ πάμπαν ἐλαχίστην ἐλέγχουσα διαφορὰν τῆς τοῦ η καὶ τοῦ ι προφορᾶς. Παραπλήσιον δέ τι ὑπονοεῖν παρέχει καὶ ἡ τοῦ ι καὶ υ ἐν τῷ Φίτυ καὶ Φυτὸν, καὶ Φιτύσαι καὶ Φυτεῦσαι. "Φίτυ (φησὶ ,, Φώτιος), φυτὸν, φύτευμα, Φερεκράτης. Φιτύσαι, γεννῆσαι, ἐπὶ τοῦ ,, πατρὸς τίθησιν. Ἐπὶ δὲ μητρὸς οὐκέτι, ἀλλὰ ΓΕΝΝΗΣΑΙ. Καὶ Φι- ,, τύοντος ὁμοίως τοῦ (γρ. Ἐπὶ τοῦ) γεννῶντος. Λέγεται δὲ καὶ τὸ ,, γέννημα, Φίτυ κ.τ.λ. ,, Ὅπου καταχρηστικώτερον ἔταξε καὶ Φώτιος, καὶ ὁ τὰ αὐτὰ Φωτίῳ σημειωσάμενος Ἐτυμολόγος (795), ἐπὶ μητρὸς τὸ, Γεννῆσαι, ἀντὶ τοῦ ΤΕΞΑΙ· ἄλλως γὰρ ταῦτα πάλαι διώρισται· οἷόν ἐστι τὸ παρὰ τῷ Σοφοκλεῖ (Τραχ. 311),

Τίς ἡ ΤΕΚΟΥΣΑ; τίς δ' ὁ ΦΙΤΥΣΑΣ πατήρ;

Παρὰ τοῦτο δὲ τὸ, Φιτύω, τρέψαντες αὖθις οἱ Ῥωμαῖοι τὸ ι εἰς τὸ υ ἐσχημάτισαν τὸ κακέμφατον Futuo, οὗπερ ἡ χρῆσις παρὰ τοῖς Γαλάταις τοὺς ἀναγώγους ἐπιεικῶς διακρίνει τῶν ἀγωγῆς καὶ παιδείας μετειληφότων. — Συνελείβετο.) Συνέσαζε, συνέῤῥεε· παρὰ τὸ Λείβω, τὸ σάζω. Παρὰ τοῦτον τὸν δεύτερον ἀόριστον, Ἔλιβον, ἡ Λιβάς, "Σταγών, κρήνη, ἔνυδρος τόπος ,, ὡς ἐξηγεῖται ὁ ἡμέτερος Φώτιος· ὅθεν καὶ τὸ μέχρι δεῦρο σωζόμενον ἐν τῇ συνηθείᾳ Λιβάδιον, καὶ ἡ Λιβαδοπέρδικα, τὸ ἄλλως λεγόμενον Ταγηνάριον, παρὰ τὸν παρὰ τοῖς ἀρχαίοις Ἀτταγῆνα. Παρὰ δὲ τὸν παρακείμενον Λέλειμμαι, ὁ συνώνυμος τῆς Λιβάδος, Λειμὼν (ἀποβολῇ τοῦ ἑτέρου μ, ἢ παρὰ τὸ θεματικώτερον Λειω, Λέλειμαι), καὶ ὁ Λείμαξ, ὁ σημαίνων οὐ μόνον τὸν Λειμῶνα, ἀλλὰ καὶ τὸν Κοχλίαν· ὃς παρὰ μὲν τοῖς Ῥωμαίοις Limax καὶ τοῖς Γάλλοις Limaçon, τηρήσας τοὔνομα· ἐν δὲ τῇ παῤ ἡμῖν συνηθείᾳ, Σάλιακας, εἴτε παρὰ τὸ Σιάλαξ (ὡς ὁ Κόρακας παρὰ τὸ Κόραξ) διὰ τὸ ἔνυγρον καὶ σιελῶδες τοῦ ζώου, εἴτε παρὰ τὸν Σεσῆλον, τὸν καὶ Σελάτην, καὶ Σέμελον καλούμενον (Ἡσύχ. λέξ. Σελάτης, Σεμελοιρίδαι, Σέμελος, καὶ Σεσῆλοι). — στ. 23, Πιδακώδεις.) Ἡσύχιος "Πιδηέσσης, καθύδρου, πιδακώδους. Καὶ ἡμεῖς Πίδαν (γρ. Πίδακα) ,, λέγομεν τὸ ἀναβάλλον ὑγρόν,,. — στ. 27, Ἀναπιδύει.) Ἐκ Δ, Γ. ἀντὶ

τοῦ Ἀναδύει, οἱ πρὸ ἐμοῦ· οἳ καὶ ὑπετόπασαν μήποτε ἐγέγραπτο, Ἀναβλύει.

ΣΕΛΙΔ. 134, στ. 2 Ἀπορητικοῖς.) Τοῖς καὶ Ἐφεκτικοῖς, καὶ Ζητητικοῖς, καὶ Σκεπτικοῖς, καλουμένοις φιλοσόφοις, ὧν καθηγήσατο Πύῤῥων (Διογ. Λαέρτ. Θ, § 70) — Στ. 9, Ἐξεπήδησε.) Ἴσ. γρ. Ἐξεπίδυσε, ὥς τις ὑπενόησε τῶν πρὸ ἐμοῦ. — Στ. 15, Πύθιον.) Πόλις Μακεδονίας, κατὰ τὸν Βυζάντιον Στέφανον. — Πέτραν.) Μνημονεύει τῆς Πέτρας, καθὰ καὶ τοῦ Πυθίου, καὶ Λίβιος (ΜΔ, λϛ΄). — Στ. 30, Ἡράκλειον.) Οὗ μέμνηται καὶ Λίβιος (ΜΔ. λέ).

ΣΕΛΙΔ. 135, στ. 2, Ἐγένετο.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ἐγίνετο. — στ. 7, Ἔπι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τῆς ὀξυνομένης Ἐπί. — Στ. 8, Πρὸς κάθετον δ' ἐμέτρει.) Ἐκ διορθώσεως, ἣν εὕρηκα προσγεγραμμένην ἀνωνύμως ᾧ κέχρημαι τεύχει τῶν Παραλλήλων τῆς Στεφανείου ἐκδόσεως, ἀντὶ τοῦ ἀμέτρου, Πρὸς τὴν κάθετον δ' ἐμετρήθη. — Στ. 10, Πλέθρον.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Πλέθρων. — Στ. 11, Δέ μιν.) Οὐκ ἔῤῥωται τὸ χωρίον. Ἴσ. γρ. Τὰ μὲν, πρὸς τὸ Μέτρα, καὶ ἀνταποδοτικῶς πρὸς τὸν τοῦ ἐχομένου στίχου, Δέ. — στ. 22, Παρακελευσάμενος.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Παρασκευασάμενος. — στ. 25, Αὐτός.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Αὐτόν.

ΣΕΛΙΔ. 136. στ. 3, Πολέμιον.) Ἐξ Ε. Δ. (διὰ τὸ προσεχὲς Ἐκ πεσεῖν) ἀντὶ τοῦ, Πόλεμον. — στ. 5, Ὑπάρξειν.) Ἐξ Η. Δ. ἡ συνάδουσι καὶ αἱ μεταφράσεις, ἀντὶ τοῦ, Ὑπάρχειν. — στ. 8, Βαλόμενος.) Ἐκ διορθ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Βαλλόμενος. — στ. 27, Στραφέντας... βαλέσθαι.) Ἴσ. γρ. Συστραφέντας...βάλλεσθαι, ὡς ὑπετόπασαν οἱ πρὸ ἡμῶν.

ΣΕΛΙΔ. 137, στ. 5, Χαλκοῦ τε πατάγοις ἀνακαλουμένων τὸ φῶς αὐτῆς.) Ὥσπερ καὶ νῦν νενόμισται παρὰ τοῖς Τούρκοις ἐν ταῖς σεληνιακαῖς ἐκλείψεσιν. Ἐνενόμιστο δὲ καὶ τοῖς Ἕλλησι πάλαι, ὥς φησιν ὁ τοῦ Θεοκρίτου σχολιαστὴς τουτὶ τὸ χωριόν (Εἰδυλλ. Β, 36),

Ἀ Θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει,

ἐξηγούμενος· "Τὸν γὰρ χαλκὸν ἐπεῖδον ἐν ταῖς ἐλλείψεσι (γρ. Ἔπαιον ,, ἐν ταῖς ἐκλείψεσι) τῆς σελήνης, καὶ ἐν τοῖς κατοιχομένοις, ἐπειδὴ ,, ἐνομίζετο καθαρὸς (γρ. καθαρτικὸς) εἶναι, καὶ ἀπελαστικὸς τῶν ,, μιασμάτων κ. τ. λ. ,, Σημειωτέον δὲ, ὅτι τὰ περὶ τῆς παρὰ τὸν πόλεμον ἐκλείψεως ταύτης ἱστορούμενα, οὐ δι' ὅλου συνάδει τοῖς παρὰ τῷ Λιβίῳ (Μ. Δ. λζ). — στ, 13, Ἐπίσκοτον.) Ἐξ Η. Δ. (ἣν ὑπετό-

πασαν μὲν καὶ οἱ πρὸ ἡμῶν, ἐν δευτέρῳ γε μὴν ἔθεντο κακῆς ἑτέρας διορθώσεως, τῆς Ἐπισκοτουμένην), ἀντὶ τοῦ, Ἐπὶ σκότου, ἤ, ὡς ἑτέρα Δ. Γ. Ἐπισκότου. Καταχωριζέσθω δὲ καὶ ἐν τοῖς Λεξικοῖς τὸ τέως ἀγνοούμενον Ἐπίσκοτος· ἔστι γὰρ κατὰ τὸν τύπον τοῦ, Ἐπίφθονος, Ἐπίπονος, καὶ πολλῶν ἄλλων παραπλησίων.—Στ. 27, Ἐξελάσαντας.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐξελάσαντος. Τὸ δ' ἑξῆς οὕτω στίζοντας, θηρατέον, Οἱ μὲν φασιν, αὐτοῦ τοῦ Αἰμιλίου τεχνάζοντος ἐκ τῶν πολεμίων γενέσθαι τὴν ἐπιχείρησιν (τουτέστι μηχανωμένου, ὅπως οἱ πολέμιοι πρῶτοι κατάρξουσι μάχης.), τοὺς Ῥωμαίους, ἐξελάσαντας ἀχάλινον ἵππον, ἐμβαλεῖν αὐτοῖς (τοῖς Μακεδόσι), καὶ τοῦτον (τὸν ἵππον), διωκόμενον, παρασχεῖν ἀρχὴν μάχης.

ΣΕΛΙΔ. 138, στ. 2, Ἀμφωτέρωθεν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀμφοτέρων. — Στ. 8, Φησίν.) Ὁ Νασικᾶς. — Στ. 9, Θυρεῶν.) Ἐκ διορθ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Θυρεῷ. — Στ. 12, Ὧν σκευαὶ παντοδαπαί.) Περιεῖλον τὸν σύνδεσμον, ὡς ἐπισκοτοῦντα τῷ νῷ τοῦ χωρίου. Λάμβανε δὲ καὶ τὸ, Ὧν σκευαὶ παντοδαπαὶ, διὰ μέσου. Ἴσως μέν τοι οὕτως ἐγέγραπτο πάλαι τὸ χωρίον ὅλον· " Παρὰ δὲ τοὺς. . ,, παρενέβαλλον (ὧν σκευαὶ παντοδαπαὶ) καὶ μεμιγμένοι Παίονες ,, ἦσαν ἐπὶ τούτοις ἄγημα τρίτον κ. τ. λ. ,, . Ἀμιότος δ' ἡρμήνευσεν ὥσπερ ἂν εἰ ἐγέγραπτο, " Παρὰ δὲ τοὺς. . . παρενέβαλλον, ὧν σκευαί ,, τε καὶ ὁπλίσεις παντοδαπαί· καὶ τούτοις μεμιγμένοι Παίονες ἦσαν. ,, Ἐπὶ δὲ τούτοις ἄγημα τρίτον κ. τ. λ. ,,. — Στ. 20, Ἐπῆσαν.) Ὑπέγραψα τὸ ι (ἵν' ᾖ παρὰ τὸ Εἶμι τὸ πορεύομαι), ἀντὶ τοῦ Ἐπῆσαν (παρὰ τὸ Εἰμί). Λέγεται δὲ καὶ Ἐπήεισαν, καὶ Ἐπήεσαν, ὃ προείλοντο οἱ πρὸ ἐμοῦ. — στ. 24, Σαρίσσας.) Ἐξ Η. Δ. ὧδέ τε καὶ καθεξῆς, ἀντὶ τοῦ Σαρίσας. Ἔστι δὲ εἶδος ἀκοντίου Μακεδονικοῦ, τὸ μῆκος κατὰ μέν τινας τεσσαρεσκαιδεκα πηχέων· Θεόφραστος δὲ (Περὶ φυτῶν Γ, ιϐ), δώδεκα μάλιστα πηχέων τῶν σαρισσῶν τὴν μεγίστην εἶναί φησι. — στ. 25, Προσιεμένους.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Προσιεμένοις.

ΣΕΛΙΔ. 139, στ. 5, Εἰς τὴν πόλιν.) Ἐξ Ε. Δ. προσέθηκα τὸ ἄρθρον, ἵν' ἀναφέρηται εἰς τὴν Πύδναν, ἧς ἐμνήσθη ἀνωτέρω (σελ. 136). Οὕτω δ' ἡρμήνευσε καὶ Ἀμιότος (Dedans la ville de Pydne)· ἕτεροι δὲ ἀντὶ τοῦ, Εἰς πόλιν, γράφειν παρῆνεσαν, Εἰς Πέλλαν. — στ. 18, Φορέων.) Ὁ μὲν Λατῖνος μεταφραστὴς Viatorius ἡρμήνευσεν· Ἀμιότος δὲ, De ceulx qu' il chevauchoit en allant par les champs, ἐκλαβόντες ἀμφότεροι ἐπὶ ἵππου ὁδοιπορικοῦ, τουτέστιν ἵππου, ᾧ ἐχρῆτο παρὰ τὰς ὁδοιπορίας. Τόγε μὴν Φορεὺς, ᾧ καὶ ἀλλαχοῦ (Ἀρ-

τοξ. § 22) Πλούταρχος ἐχρήσατο, συνώνυμόν ἐστι τῷ Ἀχθοφόρῳ ἢ Φορτοφόρῳ ἀνθρώπῳ, ὃν ἡ συνήθεια, Βασταγάριον, ἢ Βασταγάριν (παρὰ τὸ Βαστάζω) καλεῖ· ἐφ' ἵππου δὲ ταττόμενον, μᾶλλον ἂν ἁρμόσειε τῷ σκευοφόρῳ (ὃν οἱ Γάλλοι Cheval de somme καλοῦσιν) ἢ τῷ πολεμιστῇ, ἢ καὶ ἁπλῶς ἄνθρωπον φέροντι ἵππῳ. Σκεπτέον οὖν, μήποτε ἀντὶ τοῦ Φορέων, γραπτέον Φορβάδων, ὅ ἐστιν ἵππων συναγελαζομένων καὶ συμφερβομένων (τουτέστι συντρεφομένων) ἐν τῷ λεγομένῳ Ἱπποφορβίῳ (Γαλατ. Haras)· ἐν ᾧ τῶν πλείστων, ὡς εἰκός, θηλειῶν οὐσῶν, ἐξενίκησεν ἡ Φορβὰς καὶ ἁπλῶς τὴν θήλειαν ἵππον σημαίνειν, καθὰ καὶ παρὰ τοῖς Γερμανοῖς αὐτὸ τὸ Ἱπποφόρβιον Stuterei ἐκλήθη παρὰ τὸ Stute, τὸ σημαῖνον τὴν θήλειαν ἵππον. Τοιοῦτόν ἐστι καὶ τὸ παρ' Εὐριπίδῃ (Βακχ. 166),

Πῶλος ὅπως ἅμα
Ματέρι φορβάδι.

Ἐντεῦθεν ἡ συνήθεια, περιελοῦσα τὸ β, ἐποίησε τὴν Φοράδαν καὶ τὸ Φοράδιον· πλὴν εἰ μήτις καὶ τὴν δίχα τοῦ β Φοράδα τῆς ἀρχαίας εἶναι φωνῆς ἰσχυρίζοιτο, οὐκ ἔτι παρὰ τὸ Φέρβω, ἀλλὰ παρὰ τὸ Φέρω, τὴν φέρειν δηλονότι δυναμένην καὶ γόνιμον, πρὸς ἀντιδιαζολὴν τῶν ἀρρένων ἵππων. Ἡσύχιος μὲν γάρ φησιν, "Φοράδες, αἱ ,, θήλειαι ἵπποι . . . Φορβάδες, νομάδες, φοιτάδες, βοσκήματα,,. ὁ δὲ τοῦ Νικάνδρου (Θηρ. 925) σχολιαστής, "Φορβὰς δὲ λέγεται καὶ ,, τὸ Φοράδιον ,,. Ῥωμαῖοι δὲ, συγκόψαντες τὴν λέξιν, Φόρδαν (Forda) ἐκάλεσαν, τὴν ἐγγυμονοῦσαν βοῦν. — στ. 21, Ἀκμῇ.) Οὐ τρεπτέον εἰς τὸ Αἰχμῇ, ὡς ἔδοξέ τινι τῶν πρὸ ἡμῶν· ταὐτὸ γὰρ ἀμφότερα δύναται, ὡς ἐκ τῆς αὐτῆς ῥίζης, τοῦ Ἀκω ῥήματος, πεφυκότα. Σημαίνει δ' ἐνθάδε τὴν ὀξεῖαν ἄκραν τοῦ παλτοῦ, ἣν καὶ Μύτιν ἡ συνήθεια ὀνομάζει, μετενεγκοῦσα ἀπὸ τοῦ ἀνθρωπίνου μέλους τῆς ῥινός. Ἔστι δὲ οὐδὲ τὸ Μύτις (ἡ ῥὶς) βάρβαρον, ὡς ἐσημειώσατο καὶ ὁ Εὐσάθιος (σελ. 950). Συγγενὲς γάρ ἐστιν ὄνομα τῷ Μυκτῆρι, καὶ τῇ Μύξῃ· πλὴν ὅτι ἀπὸ τοῦ θεματικωτέρου Μύω, παράγεται, τοῦ Μυκτῆρος καὶ τῆς Μύξης παρὰ τὸ Μύζω, ἢ Μύσσω, παρηγμένων.— Θιγεῖν) Ἐξ Η. Δ. ἀντὶ τοῦ βαρβάρου ἐνεγῶτος, Θίγειν. Διορθοῦσθω δὲ κατὰ πάροδον καὶ ὁ Φώτιος, "Θίγειν, (γρ. Θιγεῖν), Ψαῦσαι, ,, ἐγγίσαι,,. — στ. 23, Τυφλῷ μώλωπι.) Μώλωψ ἐστὶν ὁ ἐκ πληγῆς αἱματώδης τύπος, ὃν οἱ ἰατροὶ Θλάσμα, καὶ Ἰωνικῶς Φλάσμα, καλοῦσι (Γαλλιστὶ Contusion, ἢ Meurtrissure). Γίνεται δὲ ἄνευ

διαιρέσεως τοῦ δέρματος, ὡς φησιν ὁ Γαλληνὸς (Ὑπομν. εἰς τὸ Κατ' ἰντρ. σελ. 698)· ᾧ καὶ δῆλον, ὅτι ἐκ περιουσίας πρόκειται τὸ, Τυφλῷ. — στ. 27, καὶ 29, Πελιγνῶν.) Ἐξ Ε. Δ. καὶ τοῦ Τίτου Λιβίου, ἀντὶ τοῦ Παλινῶν.

ΣΕΛΙΔ. 140, στ. 2, Σαρίσσας.) Ἔγραψα καὶ πάλιν διὰ διπλοῦ τοῦ σ, ὥσθέ τε καὶ ἐν τοῖς ἑξῆς. —στ. 4, Δὶ ἀμφοτέρων.) Τῶν χειρῶν δηλονότι, ὡς ἡρμήνευσαν οἱ μεταφραστάι. — στ. 7, Πελιγνῶν καὶ Μαρρουκινῶν.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Παλινῶν καὶ Ῥακινῶν (ἢ ὡς ἑτέρα Δ. Γ. ... Καὶ Ταῤῥακινῶν). Οὕτω γὰρ καὶ Λίβιος (Μ. Δ. μ΄) Πελιγνοὺς καὶ Μαρρουκινοὺς αὐτοὺς ὀνομάζει· Στράβων δὲ (σελ. 241), Πελίγνους καὶ Μαρουκίνους. — στ. 21, Προπίπτουσαν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Προσπίπτουσαν.—στ. 27, Κατὰ τὰ γυμνά.) Ἐξ Η. Δ. ἡ προσθήκη τοῦ ἄρθρου.

ΣΕΛΙΔ. 141, στ. 3, Ὑπὸ βάρους καὶ καταφορᾶς.) Διὰ τὸ βάρος αὐτῆς τῆς μαχαίρας, καὶ τὴν μεθ' ἧς κατεφέρετο ὁρμὴν, ὡς ἡρμήνευσαν οἱ μεταφρασταί. Σημειοῦ δὲ ὅτι ἐντεῦθεν καὶ ἡ συνήθεια, τὸ Βαρῶ ἐπὶ τοῦ Πλήττω, τέταχε, καὶ τὴν μετοχὴν, Βαρεμένος, ἢ Βαρημένος, ἐπὶ τοῦ Πεπληγμένου. Τὸ δὲ θηλυκὸν, Βαρεμένη, οὐ μόνον τὴν Πεπληγμένην, ἀλλὰ καὶ (τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς) τὴν ἐν γαστρὶ ἔχουσαν, ἢ ἔγγυον, σημαίνει· διὰ τὸ βαρύνεσθαι δηλονότι τὴν γαστέρα. Ἔστι δὲ καὶ τούτου μαρτύριον ἐκ τοῦ Λουκιανοῦ (Περὶ τῶν ἐπὶ μισθ. συν. § 24) παρασχέσθαι τὸ, "Βαρύνεται γὰρ ἡ ἀθλία τὴν ,, γαστέρα, καὶ σχεδὸν ὡς ἐπίπεξ ἐστίν,, —στ. 11, Κατεῖδε.) Ἴσ. γρ. Κατείδοι, ἢ μᾶλλον, Κατίδοι. —στ. 22, Λεύκου.) Ἐξ Η. Δ. ἡ βαρεῖα τάσις, ἀντὶ τοῦ Λευκοῦ· διὰ τὸν ὡς εἰπεῖν γενικὸν κανόνα τῆς ἀναβιβάσεως τοῦ τόνου, ἐπὶ τῶν ἀπὸ ἐπιθέτων εἰς κύρια μεταβαινόντων ὀνομάτων. — στ. 25, Ἑκατόν.) Τοσούτους λέγει καὶ ὁ Λίβιος (ΜΔ, μβ΄). Ἀμιότος δ', οὐκ οἶδ', ὅθεν ὡρμημένος, Ἑκατὸν εἴκοσιν ἐξέφρασε.

ΣΕΛΙΔ. 142, στ. 4, Αὐτῷ.) Δ. Γ. Αὐτοῦ.—στ. 5, Στρατευομένων.) Παρήνεσάν τινες γράφειν, Συστρατευομένων. — στ. 15, Ἀγαστός.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀγαθός. — στ. 18, Αἵματος καὶ φόνου πολεμίων ἀνέπλεως.) Ἐξ εὐτυχεστάτης τοῦ φίλου Κλαυερίου διορθώσεως, ἀντὶ τοῦ βαρβάρου, Αἵματος καινοῦ πολεμίων ἀνάπλεως. Ἄχρηστον γὰρ ἂν ἦν ὧδε τὸ Καινὸν αἷμα, δέον εἰπεῖν Νεαρὸν, ἢ Πρόσφατον, ὅπερ ἡ συνήθεια, Νωπὸν λέγει κατὰ συναίρεσιν ἐκ τοῦ Νεωπόν. Εἴρηκε δὲ καὶ ἀλλαχοῦ (Πελοπίδ. § 21), Αἵματι καὶ φόνῳ, συνεξευγμένως ὁ Πλούταρχος. —στ. 20, Τοῖς ἱκνουμένοις χρόνοις.) Ἐν

τοῖς ἑξῆς, ἢ τοῖς ἔπειτα χρόνοις. Προσέθηκα τὸ Χρόνοις, δόξαν τοῦτο καὶ τοῖς πρὸ ἡμῶν, τῆς χρησεως οὐκ ἀποδεχομένης ὧδε τὴν ἔλλειψιν, ὥσπερ ἐν τῷ Διὰ πολλοῦ, καὶ Δι ὀλίγου. Εἶπε δὲ καὶ ἀλλαχοῦ (Καισαρ. § 69), Τῷ ἰκνουμένῳ χρόνῳ, κατὰ τὸ πληρες. — στ. 24, Ὑπερβαλλομένη. Σημειούσθω ὡς ἐπὶ τῆς σημασίας τοῦ Ἀναβαλλομένη, ἀλλ' οὐκ εἰς τοῦτο τρεπέσθω· ἐχρήσατο γὰρ καὶ Ἡρόδοτος (Γ, § 76) ἐφ' ὁμοίας ἐννοίας τῇ λέξει.

ΣΕΛΙΔ. 143, στ. 19, Γαληψῶ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀλήψω.—στ. 30, Ἐπὶ τοὺς Διοσκούρους.) Οὕτως ἅπαντες πλὴν μιᾶς τῶν ἀρχαίων ἐκδόσεων, ἐν ᾗ Ἐπ' αὐτούς... γέγραπται, κενῆς ἑπομένης μικρᾶς χώρας, ὅπου προσετέθη ἔπειτα τοὔνομα, Διοσκούρους. Ὅπως ποτε δ' ἂν ἔχῃ τὰ τῆς γραφῆς, Διοσκούρους ἐνθάδε νοητέον, οὐ Κάστορα καὶ Πολυδεύκην, τοὺς Τυνδαρίδας, ἀλλὰ τοὺς μάλιστα τιμωμένους ἐν Σαμοθράκῃ θεοὺς Καβείρους, Διοσκούρους κἀκείνους ἐπονομασθέντας (Ἐπιθι Γυβερλεθ. Περὶ μυστηρ. τῶν Καβείρ. κεφ. 3, καὶ Ῥάσχ. Λεξικ. νομισματ. Τόμ. Α. μέρ. β, σελ. 21, καὶ Ἀναπληρώμ. Τόμ. Α, σελ. 1457).

ΣΕΛΙΔ. 144, στ. 9, Πάντα.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ. Πάντως. — στ. 21, Καὶ Πλαταιᾶσι τῆς ἐν Μυκάλῃ πρὸς Μήδους.) Μνημονικὸν Πλουτάρχου ἁμάρτημα· ὤφειλε γὰρ εἰπεῖν, καὶ ἐν Μυκάλῃ τῆς Πλαταιᾶσι πρὸς Μήδους, ὡς ἐσημειώσατο ὁ Κασωβών (Ἴδε Πολυαίν. Στρατηγημ. Α, λγ', σελ. 23, ἐμ. ἐκδ.).

ΣΕΛΙΔ. 145, στ. 1, Χαλκοπώγωνα.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Χαλκοπώγων.—στ. 10, Εἰς ἄλλον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προσέθηκαν τὴν πρόθεσιν.—στ. 15, Ἢ δ' αὐτοῦ τοῦ.) Οὐκ ἀπιθάνως ὑπειλήφασι γραπτέον εἶναι, οἱ μὲν, Ἢ δ' αὐτὴ τοῦ, οἱ δὲ, Ἢ δ' αὐτὴ τοῦ τε. — στ. 18, Ναυαρχῶν.) Δ. Γ. Συνάρχων.—στ. 23, Νύκτωρ ἀνέλαβεν, ἐκεῖνον δὲ τῆς νυκτός.) Ἢ τὸ Νύκτωρ περιαιρετέον μετὰ τοῦ Λατίνου μεταφραστοῦ, ἢ ἀντὶ τοῦ ἐχομένου, Τῆς νυκτὸς, γραπτέον, ὡς ἐξέφρασεν Ἀμιότος, Τῆς ἐχομένης νυκτός.—στ. 28, Ἀπείρους) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀπείρων, ἢ ἑτέρας Δ. Γ. Ἄπειρα.

ΣΕΛΙΔ. 146, στ. 16, Γονάτων ὀρεξάμενος.) Ἐκτείνας τὰς χεῖρας ἐπὶ τῷ ἅψασθαι τῶν γονάτων, καὶ ἀκολούθως, ἁψάμενος. —στ. 24, Ἀρετὴ τοῖς.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀρετή τοι.

ΣΕΛΙΔ. 147, στ. 2, Εὐπραγίας παρούσης.) Δ. Γ. Εὐπραγίαις παρούσαις.—στ. 4, Ἢ τὴν μεταβολὴν ταύτην τῆς τύχης... διανοεῖσθαι;) Τὸ χωρίον οὐκ ἔρρωται. Προσθετέον οὖν ἕτερον ἀπαρέμφατον μετὰ τὸ,

Τύχης, ἢ τὸ Ἐννοεῖν, ὡς ὁ Λατῖνος μεταφραστὴς, ἢ (ὃ καὶ μᾶλλον ἀντιδιέσταλται πρὸς τὸ Θρασύνεσθαι καὶ μέγα φρονεῖν) τὸ, Δεδιέναι, ὥσπερ ἐξέφρασεν Ἀμιότος. Ἔστι καὶ ἑτέρως διορθοῦν τρέποντας τὸ, Ὡς, εἰς τὸ, Οἴεσθαι, ἵν' ᾖ τὸ ἑξῆς, Ἡ (ἄξιον) διανοεῖσθαι τὴν μεταβολὴν ταύτην της τύχης, ἢ, προθεῖσα παράδειγμα κοινης ἀσθενείας τῷ πολεμοῦντι, παιδεύει (αὐτὸν) μηδὲν οἴεσθαι μόνιμον καὶ βέβαιον. — στ. 16, Οὐ . . . καταπτήξετε) Σημείωσαι τὴν ἄρνησιν μετὰ τοῦ ὁριστικοῦ μέλλοντος, ἐν ταῖς ἐρωτήσεσιν ἰσοδυναμοῦσαν καταφατικῇ προσάξει, οἷόν ἐστι τὸ προκείμενον, ἀντὶ τοῦ, Καταπτήξατε. Τοῦτο δὲ γίνεται διὰ τὴν φύσιν αὐτὴν τοῦ μέλλοντος, πολλάκις τὸ καθῆκον δηλοῦντος, ὡς ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 208) ἐσημειώθη. Τὸ γάρ, Οὐ καταπτήξετε; οὐδὲν ὡς εἰπεῖν διενοχλεῖ τοῦ, Οὐκ ἐχρῆν ὑμᾶς καταπτῆσσειν; ἐρωτηματικοῦ, ἢ τοῦ ἐχρῆν ὑμᾶς καταπτήσσειν, ἀποφαντικοῦ, ὡς ὀρθῶς ἐξέφρασε καὶ ὁ Ἀμιότος. — στ. 22, Κόπτοντι.) Κυριώτερον ἂν εἶπεν, Ἀνακόπτοντι, πρὸς τὴν μεταφορὰν τοῦ χαλινοῦ· ὥσπερ καὶ ἐν τοῖς ἑξῆς (§ 32, σελ. 151) ἐρεῖ, Ὑπὸ τῶν λόγων τούτων ἀνακοπηναι. Σουίδας· " Ἀνασειράζω, ἀναχαλινῶ, ἀνακόπτω ,, . — στ. 26, Ἐκ τοῦ Βασιλικοῦ.) Ἐκ τοῦ Βασιλικοῦ σίτου, τοῦ Περσέως δηλονότι· ἢ καὶ ἐλλειπτικῶς τοῦ, Ταμείου, ἐφ' ἧς σημασίας οὔπω κατακεχώρισται ἐν τοῖς Λεξικοις. Τοιοῦτον δ' ἐστὶ καὶ τὸ παρὰ τῷ Διογένει τῷ Λαερτίῳ (Ζ, 182), " Τῆς οὐσίας. . . . εἰς τὸ βασιλικὸν ἀνα- ,, ληφθείσης ,, , τουτέστι Δημευθείσης (Γαλατ. Confisquée, παρὰ τὸν Φίσκον (Fisc,) ὅσπερ ἂν λέγοιτο καὶ αὐτὸς Βασιλικόν).

ΣΕΛΙΔ. 148, στ. 1, Τίθεσθαι.) Δ. Γ. Τεθηναι. - στ. 8 Διπλάσιον.) Εἰκότως ὁ Ἀμιότος ἐξέφρασε, καὶ ὁ της Ἀβρίγκης ἀρχιερεὺς Ὑέτιος θεὶν γράφειν ὑπέλαβε, Δεκαπλάσιον. — στ. 10, Ἀφθόνῳ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀφθόνως.—στ. 25, Μόνα.) Ἴσ. γρ. Μόνα δέ.

ΣΕΛΙΔ. 149, στ. 14, Ὑφ' ἕνα.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ἐφ' ἕνα. — στ. 16, Πόλεων.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Πολεμίων.— στ. 18, Ἀπό.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἐκ — στ. 19, Μεῖζον' ἑνδεκα.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Μεῖζον ἕνδεκα. — στ. 26, Ὡς καὶ πανηγυρίζοντας ἔξωθεν, καθάπερ εἰς τινα Θριαμβικὴν θέαν, πομπὴς προαπολαύειν τοὺς Ῥωμαίους.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τῶν ἀδιανοήτων τούτων, Ὡς καὶ πανηγύρεων ἔξωθεν, ὥστε ὄντινα (Δ. Γ. Εἴ τινα) Θριαμβικης πομπης προαπολύειν τοὺς Ῥωμαίους. Ἴσως δ' ὀρθώτερον ἦν τὸ γράφειν, Ὡς καὶ πανηγυρίζοντας ἔξωθεν, καθάπερ τινὸς Θριαμβικῆς πομπῆς

προαπολαύειν τοὺς Ρωμαίους. — στ. 30, Ἐποφθαλμήσαντες.) Γραπτέον, Ἐποφθαλμίσαντες, παρὰ τὸ Ἐποφθαλμίζω, ἢ Ἐποφθαλμιάσαντες, παρὰ τὸ Ἐποφθαλμιάω, ὥπερ ἀλλαχοῦ (Καισαρ. § 2, καὶ Δημοσθ. § 25) ἐχρήσατο Πλούταρχος. Ἔστι δὲ ἀντὶ τοῦ Ἐπιθυμητικῶς ἐπιβαλόντες τοὺς ὀφθαλμούς, ἢ Φθονήσαντες, ἢ Βασκήναντες, ἐφ' ἧς σημασίας τέταχε καὶ ἡ συνήθεια τὸ ἁπλοῦν Ὀφθαλμίζω, καὶ τὸ συνώνυμον Ὁμματιάζω (χυδ. Φθαρμίζω καὶ Ματιάζω)· περὶ ὧν ἔπιθι καὶ τὰς εἰς τοὺς Θεοφράστου χαρακτῆρας Γαλατικὰς ἡμῶν σημειώσεις (σελ. 261), καὶ τὸν Ἡσύχιον (λέξ. Ὀφθαλμιάσαι, μετὰ τῶν ἐκεῖ σημ.).

ΣΕΛΙΔ. 150, στ. 20, Δήμον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, καὶ ὁ Ἀμιότος, ἀντὶ τοῦ, Τόπον. — Στ. 6, Ἐνείς.) Ἐμβαλών. — Στ. 28, Ἄχρις.) Δ. Γ. Μέχρις. — Στ. 29, Πάντων.) Ἴσ. γρ. Τούτων· τουτέστι τῶν Δημάρχων.

ΣΕΛΙΔ. 151, στ. 5, Λιγύων.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Λιβύων. — Τὸν Μακεδόνων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, τῶν Μακεδόνων. — Στ. 8, Εἶπεν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Εἰπεῖν. — Στ. 11, Ἀφαιρεῖσθε.) Δ. Γ. Ἀφαιρεῖσθαι. — Στ. 13, Φειδόμενοι πολεμίου βασιλέως.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Φειδόμενοι τοῦ βασιλέως. Ἀμιότος δὲ, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Φειδόμενοι αἰχμαλώτου βασιλέως. — Στ. 18, Ἡμᾶς.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ὑμᾶς. — Στ. 20, Τῆς ἐσθῆτος διασχών.) Μέρος τοῦ ἐνδύματος διαῤῥήσας. — Στ. 21, Ἕνια τῶν οὐκ εὐπρεπῶς κτλ.) Ἐξηγησάμην ὡς οἷόν τε τὸ χωρίον τόδε ἐν ταῖς εἰς τὸ Ἱπποκράτους Περὶ ἀέρων, ὑδάτων, τόπων, Γαλατικαῖς σημειώσεσι (Β, σελ. 341).

ΣΕΛΙΔ. 152, στ. 2, Κίρκους.) Ὁ παρὰ Ῥωμαίοις Κίρκος (Circus) αὐτός ἐστιν ὁ Ἑλληνικὸς Κρίκος, καὶ κατὰ στοιχείων μετάθεσιν οὐδὲν ἧττον χρηστὴν, Κίρκος. "Κίρκοι· κρίκοι, ἅρπαγες, πάντα (ἴσ. γρ. ,, Ἁρπάγαι, καὶ πάντα) τὰ ἐπικαμπῆ, Κίρκοι λέγονται. Κίρκος, κρί- ,, κος· ἱέραξ· κωπηλάτης, καὶ τῆς αἰγείρου ἡ Βλάστησις,, φησὶν Ἡσύχιος, Ἁρπάγην μὲν καλῶν, ᾧ τοὺς ἐμπεσόντας τοῖς φρέασι κάδους ἐξαιρούμεθα (ὅθεν καὶ τὰ παρὰ τοῖς Γάλλοις Harpeau καὶ Harpon), Ἱέρακα δὲ, τὸ πᾶσι γνωσὸν ὄρνεον (ὥσπερ καὶ τὸ συνώνυμον Κορώνη, καὶ τὸ Ὄρνεον σημαίνει, καὶ τῆς Θύρας τὸν κρίκον, ὃν ἡ συνήθεια Κρικίλλιον καὶ Κιρκέλλιον, καὶ Κουρκέλλιον καὶ Κρουκέλλιον, οὐδετέρως καλεῖ), Κωπηλάτην δὲ (εἰ μὴ ἡμάρτηται ἡ γραφὴ ὧδέ τε καὶ παρὰ τῷ Φωτίῳ), ἀκύρως πάνυ, τὸν τροπωτῆρα, τουτέστι τὸν ἱμάντα, ᾧ περιθέονται τοῖς σκαλμοῖς αἱ κῶπαι, καθάπερ ἀλλαχοῦ ἐδήλωσεν αὐτὸς

Ἡσύχιος "Κρίκος, κίρκος, ἔνθα αἱ κῶπαι εἰσέρχονται,,. — στ. 12, Τούτων.) Ἐκ Δ. Γ. (τουτέστι τῶν ἀνδριάντων καὶ γραφῶν καὶ κολοσσῶν), ἀντὶ τοῦ, Τοῦτο. — Θέαν.) Δ. Γ. Θέαμα .— στ. 15, Ὡς ἂν μάλιστα... ἐῴκει πεποιημένα.) Οὐκ ἔῤῥωται τὰ τῆς γραφῆς. Γραπτέον καὶ ϛικτέον, οἶμαι, Ὡς ἂν μάλιστα... ἐῴκοι, πεποιημένα, ἵν ᾖ τό θ' ἑξῆς καὶ ἡ διάνοια, Πεποιημένα τὴν θέσιν ἐκ τέχνης καὶ συναρμογῆς, ὡς ἂν ἐῴκοι μάλιστα (τουτέϛιν, Οὕτως, ὥϛε μάλιστα ἐοικέναι) συμπεφορημένοις χύδην καὶ αὐτομάτως. —στ. 23, Ἐπεπορεύοντο.) Γράφε Ἐπορεύοντο, δίχα προθέσεως. Ἕτερον γάρ τι σημαίνει τὸ προθετικὸν, αἰτιατικῇ συναπτόμενον· οἷόν ἐσιν ὃ ἀλλαχοῦ (Λυκούργ. § 23, ἐμ. ἐκδ. Μέρ. Α, σελ. 102,) εἴρηκε, "Πολλάκις δὲ καὶ τοὺς ἀργοὺς ἐπιπορευό-,, μενοι,,. Οὕτω γὰρ ὤφειλον ἐκεῖ γράφειν, καὶ οὐ, Τοῖς ἀγροῖς, ὡς ἐγεγράφεσαν οἱ πρὸ ἐμοῦ, καὶ κατεχώρισεν ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Γ, σελ. 182). — στ. 24, Ὧν ἕκαϛον ἀνὰ τέσσαρες.) τοῦ παρακμάζοντος ἑλληνισμοῦ ἡ μετ' εὐθείας σύνταξις τῆς προθέσεως, οἷόν ἐϛι καὶ τὸ ἐν τῇ Ἀποκαλύψει (κά, 21) "Ἀνὰ εἷς ἕκαϛος τῶν πυλώνων. ,, Ἐνδέχεται μέντοι καὶ γραφικῶς ἡμαρτῆσθαι, ἀντὶ τοῦ, Ὧν ἕκαϛον τέσσαρες. — στ. 25. Κέρατα.) Τὰ ποτήρια· ἀπὸ τῆς ἀρχαίας χρήσεως τηρήσαντα τοὔνομα· ζώων γὰρ κέρασιν ἔπινον τὸ πάλαι, ὅθεν καὶ τὸ ῥῆμα Κεράσαι, ὡς Ἀθήναιος (ΙΑ, σελ. 476) φησί. — στ. 27, Παχύτητι.) Δ. Γ. Τραχύτητι.

ΣΕΛΙΔ. 153, στ. 6, Ἀργυρῷ.) Ἐξ Η. Δ. (ἀπὸ κοινοῦ συνυπακουομένου τοῦ Νομίσματι), ἀντὶ τοῦ, Ἀργυρίῳ. — στ. 8, Δεκατάλαντον διάλιθον.) Ἐκ Δ. Γ. ἀντι τοῦ, Δέκα ταλάντων διὰ λίθων. — στ. 9, Ἀντιγονίδας καὶ Σελευκίδας.) "Ἀντιγονὶς, ἔκπωμα, ἀπὸ τοῦ βασιλέως ,, Ἀντιγόνου· ὡς ἀπὸ Σελεύκου, σελευκίς· καὶ ἀπὸ Προυσίου, προυσὶς ,,(Ἀθην. ΙΑ, Τομ. 4, σελ. 222, νέας ἐκδ.),, . — Θηρικλείους.) Ἀπὸ τοῦ πρώτου κατασκευάσαντος Θηρικλέους τοῦ Κορινθίου (Ἀθην. ΙΑ, σελ. 470).—στ. 13, Ἤγοντο.) Δ. Γ. Ἤγετο.—στ. 18, Πρὸς τὴν μεταβολὴν τῆς ἀναισθησίας.) Ἢ γραπτέον, Τῆς πρὸς τὴν μεταβολὴν ἀναισθησίας, ὥσπερ ἡρμήνευσεν Ἀμιότος, ἢ ἀντὶ τούτου, καθ' ὑπερβατὸν ὑποσόλοικον οὕτω γεγραφέναι τὸν Πλούταρχον ὑποληπτέον. —στ. 20, Προσεῖχον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Προσείχοντο. — στ. 22, Χάριτι.) Συνωνύμως τῷ συγγενεῖ Χαρὰ τέτακται ἡ Χάρις ὧδε. Ἡσύχιος "Χάρις, δωρεὰ, χαρά...,, Ἔϛι δὲ τοῦ παρακμάζοννος ἑλληνισμοῦ, ἀπὸ τῶν Πολυβίου χρόνων εἰσδεδυκὸς εἰς τὴν γλῶσσαν· διὸ καὶ πολὺ παρ' ἐκεῖνο τὸ, Μετὰ χάριτος, ἐφ' οἷς ἡμεῖς ἐν τῇ συνηθείᾳ

τάττομεν τὸ, Μετὰ χαρᾶς, τὸ Προθύμως, δηλοῦν βουλόμενοι. Εὕρηται δὲ καὶ ἐν τῇ Τωβίου (ζ, 20) βίβλῳ, "Ὁ κύριος... δῴη σοι χάριν ,, ἀντὶ τῆς λύπης ταύτης,,.—Στ. 27, Πάντα θαμβοῦντι.) Πάντα θαυμάζοντι καὶ ἐκπληττομένῳ. Οὐδέτερον τὸ Θαμβέω· καὶ σπανίως φέρεται πρὸς αἰτιατικήν, οἷόν ἐστι τὸ Ὁμηρικὸν (Ὀδυσ. Ρ, 367),

Οἱ δ' ἐλεαίροντες ὄιδοσαν, καὶ ἐθάμβεον αὐτὸν,

ἐλλειπτικῶς τῆς Διὰ προθέσεως.

ΣΕΛΙΔ. 154, στ. 1, Ὀλοφύρονται.) Ἴσ, γρ. Ὠλοφύροντο· ὡς ἡρμήνευσε καὶ Ἀμιότος.—Στ. 12, Ἐξουσίας.) Ἐπὶ τοῦ Πομπῆς ὧδε ἐξεδέξαντο τὴν λέξιν οἱ μεταφραταί· καὶ ὡς τοῦ παρακμάζοντος ἑλληνισμοῦ ἐσημείωσαντο οἱ ὑπομνηματισαί. Ταὐτὸ σχεδὸν βούλεται ἐν τῇ συνηθείᾳ τὸ συγγενὲς Παρουσία· οἷον ἐν τῷδε τῇ φράσει, Εἰσέβη εἰς τὴν πόλιν μὲ τόσην παρουσίαν, ἢ μὲ τόσην παράταξιν· τὸ μὲν ἀπὸ τοῦ Παρεῖναι, τὸ δὲ ἀπὸ τοῦ Παρατετάχθαι πολλοὺς τοὺς συνομαρτοῦντας καὶ συμπομπεύοντας.— στ. 21, Καθ' Ὅμηρον.) Ἐν τῇ ῥήσει (Ἰλιάδ. Ω, 525-533) ἧς ἡ ἀρχὴ,

Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ κ. τ. λ.

ΣΕΛΙΔ. 155, στ. 2, Εἰς τὴν οἰκίαν.) Ὁ δ' Ἀμιότος ἀνάρθρως, Εἰς οἰκίαν, ἐξέφρασε.—στ. 18, Παρά.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περί. — στ. 19, Παρούσης) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Παρούσαις. — στ. 30, Σωθεὶς.) Σῶος παραγενόμενος. Ἐκ τούτου τοῦ Σώζω, ἢ μᾶλλον ἐκ τοῦ συγγενοῦς καὶ θεματικωτέρου Σόω, παραλαβοῦσα ἡ συνήθεια τὸ Σόνω, οὐδετέρως ἐπὶ τοῦ ἁπλῶς Παραγίνεσθαι τέταχεν, ὥσπερ καὶ τὸ Φθάνω· οἷον, Ἔσωσεν, ἢ ἔφθασεν εἰς τὴν Χίον. Ἀμφοτέροις δὲ πάλιν, χρώμεθα πολλάκις οὐδετέρως ἐπὶ τοῦ Ἀρκεῖν, ἢ Ἀποχρᾶν, Ἱκανῶς, ἢ Ἅλις ἔχειν, οἷον "Σόνει, ἢ Φθάνει τὸ ψωμίον, ,, δὲν θέλω περισσότερον, Δὲν μᾶς ἔσωσεν, ἢ δὲν μᾶς ἔφθασε τὸ ψω- ,, μίον. ,, τῷ δὲ πρώτῳ καὶ ἐνεργητικῶς ἐπὶ τοῦ Συντελεῖν, ἢ Ἐξεργάζεσθαι, οἷον, "Δὲν ἔσωσα ἀκόμη τὸ ἔργον μου ,, , καὶ παθητικῶς ἢ μέσως, οὐ μόνον ἐπὶ τοῦ συντελεῖσθαι, οἷον "Ἐσώθη ἡ οἰκοδομὴ ,, ἀλλὰ καὶ ἐπὶ τοῦ Ἀναλοῦσθαι· συντέλεια γάρ τίς ἐστι καὶ ἡ ἀνάλωσις· ὁ γὰρ λέγων "Ἐσώθη τὸ ψωμίον ,, ὅλον κατηναλῶσθαι τὸν ἄρτον, οὐδὲν ἔτι λείπεσθαι τοῦ ἄρτου, σημαίνει. Διὸ καὶ οὗ οὐδὲν ἐλλείπει, ἢ ὃ οὐδενὸς ἐνδεῖ, σωστὸν καλεῖν εἰώθαμεν, τουτέστι, σῶον, ἀνενδεές, ὁλόκληρον. Ὁ τοίνυν λέγων, Σόνει, ἢ Φθάνει, ἐπὶ τοῦ Ἀπόχρη ἢ ἀρκεῖ,

Σῶον

Σῶον, ἢ Σωτὸν, ἔχειν λέγει ὃ εἴληφε, καὶ οὐδενὸς ἔτι προσδεῖσθαι, καθὰ καὶ ὁ Σώσας, ἢ Φθάσας (φέρ' εἰπεῖν) εἰς Χίον, συνετέλεσε τὸν πλοῦν, καὶ οὐ προσδεῖται τοῦ περαιτέρω ναυτίλλεσθαι. Ἐντεῦθέν μοι νόει καὶ τὸ Ὁμηρικὸν (Ὀδυσσ. Χ, 28),

. . . . . Νῦν τοι ΣΩΣ αἰπὺς ὄλεθρος,

ἀληθῶς μὲν, οὐκ ἀκριβῶς δὲ ἡρμηνευμένον ὑπὸ τῶν γραμματικῶν διὰ τοῦ, "Πρόδηλος καὶ φανερὸς, καὶ μέγας, καὶ ΤΕΛΕΙΟΣ (Ἡσύχ. λέξ. ,, Σῶς),,. Ἐν ταύτῃ γάρ τῇ ἐξηγήσει τὸ Τέλειος μόνον ἔχεται τῆς ἀκριβείας, ὃ ἐστι μηδενὸς ἔτι λειπόμενος ἢ προσδεὴς ὤν, ἀλλ' ὁλόκληρος, καὶ ὡς ἂν ἡ συνήθεια φαίη ΣΩΣΤΟΣ, καθ' ἣν καὶ τὴν προκειμένην τοῦ ποιητοῦ ῥῆσιν ἐκφράσαιμεν ἄν, "Τώρα ΕΣΩΣΕΝ, ἢ ΕΦΘΑΣΕΝ, ,, ὁ ἐξολοθρευμός σου ,,. Καὶ δηλοῖ αὐτὸς ὁ ποιητὴς τοιοῦτον εἶναι τὸν νοῦν τοῦ λεγομένου δι' ὧν μετ' ὀλίγα, ὡς ἂν αὐτὸς αὑτὸν ἐξηγούμενος, φησὶ (Ὀδυσσ. Χ. 33),

Ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου ΠΕΙΡΑΤ' ἐφῆπτο.

Τί γὰρ εἶεν ἄλλο τὰ Πέρατα καὶ τέλη τοῦ ὀλέθρου, ἢ αὐτὸς ὁ Σῶς ὄλεθρος, ὁ συντετελεσμένος δηλονότι καὶ ὁλόκληρος, εἰς ὃν ὁ παραγενόμενος, οὐκέτι προσωτέρω χωρεῖ, ἀλλ' ἀπόλωλε;

ΣΕΛΙΔ. 156, στ. 9, Θαῤῥῶ καὶ νομίζω.) Σημείωσαι ὅτι ἐκ τῆς συμπλοκῆς τῶν δύο τούτων ῥημάτων ὁρμηθεῖσα ἡ συνήθεια, οὐ μόνον ἐπὶ τοῦ Ἐλπίζω, ὥσπερ ὧδε, ἀλλὰ καὶ ἐπὶ τοῦ Νομίζω τέταχε τὸ Θαῤῥῶ· ἐπεὶ καὶ αὐτὸ τὸ Ἐλπίζω ἔστιν οὗ τὸ Νομίζω σημαίνει. Τοῦ μὲν πρώτου παράδειγμα ἐστὶ τὸ παῤ ἡμῖν, Θαῤῥῶ εἰς τὸν θεὸν, καὶ Ἔχω τὸ θάῤῥος μου, ἢ τὰ θάῤῥη μου εἰς τὸν θεόν· λέγομεν γὰρ καὶ πληθυντικῶς, Τὰ θάῤῥη (τουτέστι τὰς ἐλπίδας), ὡς Τὰ πλούτη (Ἰσοκράτ. Β, σελ. 103), καὶ τὰ Κάλλη. Τοῦ δευτέρου, ἡνίκα φαμὲν, Ἐθάῤῥουν ὅτι ἦτον ἄνθρωπος φρόνιμος, ἢ Τὸν ἐθάῤῥουν ἄνθρωπον φρόνιμον. Ἑρμηνευέσθω κατὰ πάρεργον καὶ τὸ Πλάτωνος χωρίον τουτὶ (Εὐθυδήμ. σελ. 275 ("Οὐδὲν διαφέρει, ὦ Σώκρατες, ἔφη, ἐὰν μόνον ,, ἐθέλῃ ἀποκρίνασθαι (γρ. ἀποκρίνεσθαι) ὁ νεανίσκος. Ἀλλὰ μέν δή, ,, ἔφην ἐγὼ, τοῦτό γε καὶ εἴθισαι. . . ὥστε ΘΑΡΡΕΙ τὸ ἀποκρίνεσθαι,," ὅπου ἐνδέχεται μὲν ὡς ὑπενόει ὁ Στέφανος, καὶ ἡμαρτῆσθαι τὴν γραφὴν, ἀντὶ τοῦ ΘΑΡΡΕΙ, ἐπὶ τοῦ, Οὐ φοβεῖται, τουτέστιν ὁ νεανίσκος· ἐνδέχεται δὲ καὶ καλῶς ἔχειν τὸ προσακτικὸν, Θάῤῥει, ἐπὶ τοῦ, Ἔλπιζε, τουτέστι σὺ ὦ Εὐθύδημε, τὴν παρὰ τοῦ νεανίσκου ἀπόκρισιν.—

Ὑμῖν.) Ἐκ τῆς τοῦ Ἀμιότου. καὶ ἑτέρας ἀρχαίας Λατινικῆς μεταφράσεως, ἀντὶ τοῦ Ἡμῖν.—Στ. 17, Ἁπλάστου καὶ ἀληθινοῦ.) Δ. Γ. Ἀληθινοῦ καὶ γενναίου. — Στ. 18, Οἰκτείρας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Οἰκτεῖραι. — Στ. 20, Κάρκερε.) Ῥωμαϊστὶ, Carcere, ἀπὸ τῆς εὐθείας Carcer, ὅ ἐστιν Εἱρκτή. Ἔστι δὲ καὶ τοῦτο τῶν Σικελιωτῶν Ἑλλήνων τοὔνομα, ὡς διδάσκει ὁ ἡμέτερος Φώτιος, "Κάρκαρον, τὸ ,, δεσμωτήριον. Οὕτως Σώφρων ,, · ἦν γὰρ ὁ Σώφρων Σικελιώτης. Διὸ καὶ Διόδωρος ὁ Σικελιώτης αὐτὸ τοῦτο ἱστορῶν (Τομ. Β, σελ. 516) τὸ Περσέως πάθημα "'Ενέβαλλεν (γρ. 'Ενέβαλεν) αὐτὸν εἰς τὸν ἐν ,, Ἄλβαις κάρκαρον μετὰ τῶν τέκνων ,, φησὶν, οὐχ ὅμοια τῷ Πλουτάρχῳ τὴν Ῥωμαίων τηρήσας λέξιν, ὥσπερ ὑπέλαβον οἱ ὑπομνηματισταὶ, ἀλλ' αὐτὴν ἀκριβῶς τὴν πάτριον φωνὴν προελόμενος. Ἔλεγον δὲ Καρκάρους καὶ τοὺς δεσμοὺς, καὶ Κάρκαρα οὐδετέρως, τὰς μάνδρας, οἱονεὶ εἱρκτάς τινας οὔσας καὶ ταύτας τῶν προβάτων (Ησύχ. λέξ. Κάρκαρα, καὶ Κάρκαροι).—Στ. 28, 'Ετελεύτησεν. 'Ετελεύτησε δέ.) Οἱ πρὸ ἡμῶν Δ.Γ. ἐσημείωσαντο τήνδε, "Τέθνηκεν. "'Ετελεύτησε δὲ,, ἣν εἰκὸς μᾶλλον οὕτω γεγράφθαι "'Ετελεύτησε. Τέθνηκε δὲ ,,. — Στ. 29, Εὐφυᾶ μὲν ἐν τῷ τορεύειν καὶ λεπτουργεῖν γενέσθαι.) Δ. Γ. Εὐφυᾶ μὲν ἐν τῷ τορεύειν καὶ λεπτουργὸν γενέσθαι· οὐ παντάπασιν ἀπόβλητος, ἐὰν περιέλῃς τὸν σύνδεσμον Καί. Γραπτέον δ' ἴσως καὶ Τορνεύειν ἀντὶ τοῦ Τορεύειν, διὰ τὰ ἀλλαχοῦ (Ηλιοδώρ. Β, σελ. 65) σημειωθέντα· Λεπτουργὸν γὰρ ἐνθάδε χρὴ νοεῖν, ὥσπερ καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΖ, ριε'), καὶ ἐν τῇ συνηθείᾳ, τὸν παρὰ τοῖς Γάλλοις καλούμενον Ménuisier.

ΣΕΛΙΔ. 157, στ. 1, 'Επιδέξιον.) Οὐκ ἄλλως ἡ παρ' ἡμῖν συνήθεια καλεῖ τὸν εὐφυῶς τι μεταχειριζόμενον. Ἡ δὲ μεταφορὰ δῆλον ὅτι ἀπὸ τῆς Δεξιᾶς· εὐμαρέστερον γὰρ διὰ ταύτης ἢ τῆς ἀριστερᾶς, διὰ τὴν ἕξιν ποιεῖται τὰ ποιούμενα πάντα. Τῇ δ' 'Επιδεξιότητι τῶν ἀρχαίων προσεσχημάτισεν ἡ αὐτὴ συνήθεια τὴν συνώνυμον 'Επιδεξιωσύνην, δι' ἀμφοτέρων τὴν ποιότητα δηλοῦσα τοῦ 'Επιδεξίου. Οὐ μὴν ἀλλὰ καὶ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς οὐσιαστικὸν καὶ οὐδέτερον (ἢ μᾶλλον ἐλλειπτικὸν τοῦ Ἀγγεῖον, ἢ Δοχεῖον) 'Επιδέξιον, ἐπὶ τοῦ παρὰ τοῖς παλαιοῖς καλουμένου, Λασάνου, ἢ Σκωραμίδος, εἴτε κατ' εὐφημισμὸν, εἴτε καὶ ἄλλως τέταχε. — Στ. 4, Ὡς τοσούτων.) Πλεονάζειν μηδὲν δέον τὸ, Ὡς, ἐνθάδε ἐσημείωσαντο οὐκ ἀλόγως οἱ πρὸ ἡμῶν. —Στ. 22, Λικίννιος καὶ Φιλόνεικος.) 'Εξ Ε.Δ. προσέθηκα τὸν Καὶ, ἵν' ὦσι δύο κύρια ὀνόματα, τῶν πρὸ ἐμοῦ ἑνὶ τῷ Λικιννίῳ προσαψάν-

των τὸ Φιλόνεικος, ὡς προσηγορικόν. Μνημονεύει δὲ καὶ ἀλλαχοῦ (Πολιτ. παραγγέλμ. § 14) Πλούταρχος τοῦ Φιλονείκου τοῦδε. — Στ. 23, Τιμητίαν.) Γράφε Τιμητείαν, ὥσπερ γέγραφε καὶ ἀλλαχοῦ (Κρασσ. § 13), παρὰ τὸ Τιμητεύω, ὥπερ ἐν ἄλλοις (Τιβ. Γρακχ. § 14) ἐχρήσατο. Λέγει δὲ τὴν τοῦ Τιμητοῦ (Λατιν. Censor) ἀρχήν. — Στ. 27, Τιμητίας.) Γρ. καὶ ὧδε, Τιμητείας. — στ. 30, Τιμηταῖς.) Ἐκ Δ. Γ. (ὃ καὶ ὁ Πόρτος κατενόησεν) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τιμητίαις. — Προγράψαι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Προσγράψαι.

ΣΕΛΙΔ. 158, στ. 2, Ἀπογραφάς.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἐπιγραφάς. — στ. 8, Αὐτῷ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Αὐτοῦ. — στ. 14, Εὐχόμενοι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Εὐωχούμενοι. — στ. 16, Ἱκανῶς ἔχειν.) Ἡ μὲν χρῆσις ὡς ἐπὶ τὸ πολὺ μεταφορικῶς, ὡς συνώνυμον τοῦ Ἅλις, καὶ τοῦ παρ' ἡμῖν Ἀρκετῶς ἢ Ἀρκετά, οἷδε τὸ Ἱκανῶς· ἐνταῦθα μέντοι οὐ μόνον τὸ Δυνατῶς (Ἡσύχ. λέξ. Ἱκανῶς), ἀλλὰ καὶ κυριολεκτικώτερον τὸ Πορευτικῶς δύναται σημαίνειν, ἵν' ᾖ ὁ νοῦς, Δοκοῦντος τοῦ σώματος οἷόν τ' εἶναι τὴν ἐπὶ Ῥώμης πορείαν ποιήσασθαι. Τὸ γὰρ Ἱκανὸς παρὰ τὸ Ἵκω (τὸ Παραγίνομαι, ἢ καταλαμβάνω, ἢ ἐφικνοῦμαί τινος) παρῆκται, καθάπερ καὶ τῶν παρὰ τοῖς Γερμανοῖς Hinreichen καὶ Hinlangen τῶν δηλούντων τὸ Ἐφικνεῖσθαι, τὸ μὲν ἀπέτεκεν τὸ Hinreichend, τὸ δὲ τὸ Hinlænglich, τὰ σημαίνοντα τὸν Ἱκανόν. Ἔστιν οὖν κυρίως Ἱκανὸς, ὁ ἵκειν ἢ ἱκνεῖσθαι δυνατὸς, ὡς ὁ παρὰ τὸ Ἄγω Ἀγανὸς σημαίνει τὸν ἄγειν δυνατὸν, καὶ ὁ παρὰ τὸ Πείθω Πιθανὸς, τὸν πείθειν δυνατόν. Νόει δέ μοι κἀκ τούτου, διά τι καὶ ἡ παρ' ἡμῖν συνήθεια τὸ Φθάνει ἐπὶ τοῦ Ἱκανῶς ἔχειν τέταχεν, ὡς ἐν τοῖς πρόσθεν (σελ. 456) σεσημείωται· συνώνυμον γάρ πως ἐστὶ τὸ Φθάνω τοῦ Ἵκω, ἢ Παραγίνομαι. — Στ. 20, Ὡς προείρηται.) Περιέγραψα τὰς δύο ταύτας λέξεις, λειπούσας καὶ ἐν τῇ τοῦ Ἀμιότου μεταφράσει· ὧν τὸ ἄτοπον συννενοηκότες καὶ οἱ πρὸ ἡμῶν (οὐδὲν γὰρ περὶ τῆς δευτέρας ταύτης Θυσίας προλέλεκται) τρέπειν παρήνουν εἰς τὸ, Ὡς προῄρητο. — στ. 21, Πρὶν αἰσθέσθαι καὶ νοῆσαι τὴν μεταβολήν.) Ὁ Ἀμιότος ἐξέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Πρίν τιν' αἰσθέσθαι καὶ νοῆσαι τὴν μεταβολήν, τουτέστι, Πρίν τινα τῶν οἰκείων τοῦ Αἰμιλίου αἰσθέσθαι κ. τ. λ. Ἡμῖν δὲ μᾶλλον ἀρέσκει τὸ ἄρθρον τρέψαντας γράφειν, Πρὶν αἰσθέσθαι καὶ νοῆσαι τινὰ μεταβολήν, αὐτὸν ἐν ἑαυτῷ δηλονότι τὸν Αἰμίλιον.

ΣΕΛΙΔ. 159, στ. 10, Οὗτος.) Ἴσ. γρ. Τοιοῦτος.

ΣΕΛΙΔ. 160, στ. 8, Παρεγχειρεῖν.) Παραλογιστικῶς ἀντειπεῖν, δεῖξαι βουλόμενον ἀνόμοιον Αἰμιλίῳ Τιμολέοντα.

ΣΕΛΙΔ. 161, στ. 2, Καίτοι καὶ Δίωνα.) Προσέθηκα τὸν, Καὶ, ἐκ τῆς Ἀμιότου μεταφράσεως, προσθεὶς ἂν μηδ' ὑπαγορευούσης ἐκείνης. — Στ. 15, Παρανόμων.) Παρανόμως, γραπτέον εἶναι ὑπενόησαν οἱ πρὸ ἐμοῦ· σὺ δὲ γράφε διὰ δυεῖν λέξεων, Παρὰ νόμον. — Στ. 21, Περιουσία τις ἀρετῆς.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Περιουσία τῆς ἀρετῆς.—Στ. 22, Φέρειν.) Γραπτέον εἶναι ὑπενόησαν οἱ πρὸ ἡμῶν ἀρνητικῶς, Οὐ φέρειν. — Στ. 25, Οὔτε συμφοραί.) Ἴσ. γρ. Οὔθ' αἱ συμφοραὶ, ὥσπερ ὑπετόπασαν οἱ πρὸ ἡμῶν.

ΠΕΛΟΠΙΔΑΣ.

ΣΕΛΙΔ. 163, στ. 3, Τοῦ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν τὸ μὴ πολλοῦ κ. τ. λ.) Ἡ μὲν τροπὴ τοῦ πρώτου ἄρθρου ἐξ Η. Δ. ἡ δὲ παράλειψις τοῦ συνδέσμου ἐκ Δ.Γ. Ἐγράφετο γάρ, Τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν καὶ τὸ μὴ πολλοῦ, μετὰ Δ. Γ. τῆσδε, Τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν τὸ μὴ πολλοῦ. — Στ. 5, Ἰταμὸς, φαῦλος δὲ τὴν.) Δ. Γ. Ταμὸς φαῦλός τε τὴν. Τῶν πρὸ ἡμῶν οἱ μὲν τινες ὑπενόησαν γραπτέον εἶναι Ἴταμος κ. τ. λ. προπαροξυτόνως, ἵν' ᾖ κύριον ὄνομα, ἡ Ἰταμὸς μὲν, φαῦλος δὲ τὴν, ὥσπερ ἐξέφρασε καὶ ὁ Ἀμιότος, καὶ ἡμῖν ἀρέσκει· ἕτεροι δὲ, τρεπτέον εἶναι εἰς τὸ Ἰταλὸς, ἡ Γάλλος, ἡ Αἰτωλὸς, τὸ Ἰταμὸς, εἴκασαν, καὶ ἄλλοι ἄλλως. Ὁ δὲ Ἰταμὸς, ὥσπερ καὶ ὁ Ἴτης, τὸν θρασὺν δηλοῦσιν, ἀμφότερα παρὰ τὸ Ἔεσθαι, ὅ ἐστιν ὁρμᾶν (Ἡσύχ. καὶ Φώτ. λέξ. Ἰταμὸς, καὶ Ἴτης). — Στ. 10, Ῥαγδαῖος.) Ῥαγδαίους, κατὰ μεταφορὰν ἀπὸ τῶν ὄμβρων, τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους εἰρῆσθαι ἐν τοῖς πρόσθεν (σελ. 390) δεδήλωται. Ἡ δὲ συνήθεια τῇ κυρίᾳ μόνον σημασίᾳ ἠγάπησεν, οἷον ἐν τῷ, Ῥαγδαία βροχὴ, ἀμελήσασα τῆς μεταφορικῆς. — Στ. 18, Διὰ τὴν πρὸς τὸ καλὸν... τὸν θάνατον.) Καθ' ὑπερβιβασμὸν οὐ πάνυ τι δόκιμον· τὸ γὰρ ἑξῆς, Οἱ μὴ φοβούμενοι τὸν θάνατον διὰ τὴν πρὸς τὸ καλὸν ὁρμὴν καὶ φιλοτιμίαν, εἰκότως Συβαρίτας ἐφαίνοντο μισεῖν τὸν βίον.—Στ. 20, Λακεδαιμονίοις... ἀρετή.) Ἐκ διορθώσεως οἱ πρὸ ἡμῶν, ἀντὶ τοῦ, Λακεδαιμόνιοι... ἀρετῇ. —Στ. 22, Οἱ θάνον, οὐ τὸ ζῆν θέμενοι κ. τ. λ.) Ἐκ Δ.Γ. καὶ παραλλήλου ἑτέρου χωρίου (Παραμυθ. πρὸς Ἀπολλών. § 15) τοῦ Πλουτάρχου, ἀντὶ τοῦ Οἵδε (γάρ φησι) θάνον, οὐ ζῆν θέμενοι.—Στ. 25, Γίνοιτο.) Ἐξ Η Δ. ἀντὶ τοῦ, Γένοιτο.

ΣΕΛΙΔ. 164, στ. 8, Ἀποκινδυνεύων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑποκινδυνεύων.—Στ. 10, Καὶ τοὐναντίον.) Τουτέστι, Οὐχ αὑτοῦ δόξειεν ἂν φειδόμενος ἐπιμελεῖσθαι, ἀλλ' ἁπάντων κ. τ. λ. ὃ παραφραστικῶς προσέθηκεν ὁ Ἀμιότος.

ΣΕΛΙΔ. 165, στ. 10, Καιρός.) Ἐπὶ τῆς χρείας ὧδε. — Στ. 14, Ἐπαμινώνδα.) Διὰ διφθόγγου ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς Ἐπαμεινώνδαν γράφουσιν τὸν ἀλλαχοῦ τῶν Πλουταρχείων συγγραμμάτων γραφόμενον Ἐπαμινώνδαν. Ὁποτέρα δὲ τῶν γραφῶν ὀρθωτέρα οὐκ ἔχω φράζειν, οὔτε νομισμάτων οὔτ' ἀνδριάντων σωζομένων εἰκόνα καὶ ἐπιγραφὴν ἐχόντων Ἐπαμινώνδου. Ἴσως παραπλήσιόν τι συνέβη καὶ περὶ τοὔνομα τόδε, οἷον ἔφαμεν καὶ περὶ τοῦ Ἰσοκράτους ἢ Εἰσοκράτους (Ἰσοκράτ. Α. Αὐτοσχ. σοχ. σελ. πή-ϛή).—Στ. 25, Κατὰ τὰς στρατείας.) Προσέθηκαν ἐκ διορθώσεως τὸ ἄρθρον οἱ πρὸ ἐμοῦ. — Στ. 26, Ὁ Εὐριπίδου Καπανεύς.) Ἐκ τῶν Εὐριπίδου Ἱκετίδων (στίχ. 861),

Καπανεὺς ὅδ' ἐστὶν· ᾧ βίος μὲν ἦν πολύς,
Ἦκτο δ' ὀλβίῳ γαύρος ἦν. . . . . .

—Στ. 29, Τὴν πενίαν... κοῦφον ἐποίησε.) Εἰς τὸ Κούφην, μηδὲν δέον, τρέψαι τὸ Κοῦφον ἐτόλμησαν οἱ πρὸ ἐμοῦ· οἷα κἀμοὶ τῶν μὴ δεόντων ἐτολμήθη τινά.

ΣΕΛΙΔ. 166, στ. 5, Νικοδήμῳ, εἶπε, τοὐτῳ.) Νικομήδη, οὐ Νικόδημον ὀνομάζει τοῦτον ἐν τοῖς Ἀποφθέγμασιν· ὅθεν παρειληφὼς προσέθηκα καὶ τὸ, Εἶπε, ἀνθ' οὗ οἱ πρὸ ἐμοῦ τὸ, Ἔφη.— Στ. 14, Ἐμμείνασαν.) Ἴσως γρ. Συμμείνασαν, καθὰ καὶ οἱ πρὸ ἡμῶν ὑπετόπασαν. — Στ. 19. Τούτους ἂν . . . ἢ ἐκείνους.) Κατ' ἔλλειψιν τοῦ Μᾶλλον, ἧς ἐστι μὲν καὶ ἐκ τῶν πάλαι ἀναλέξασθαι παραδείγματα, μακρῷ δὲ πλείω ἐκ τῶν μεταγενεστέρων. — Στ. 26, Τοῖς αὐτῶν.) Ἢ γραπτέον, Τοὶς ἀλλήλων, ἢ ἐπὶ τούτου ἐκδεκτέον.

ΣΕΛΙΔ. 167, στ. 18, Λεοντίδας.) Λεοντιάδας οὗτος παρὰ Ξενοφῶντι καλεῖται.—Στ. 22, Ἁρμόσασθαι δι' ὀλίγων τὴν πολιτείαν.) Ἐκ δημοκρατουμένης ὀλιγαρχικὴν ἀποφῆναι.

ΣΕΛΙΔ. 168, στ. 15, Παρακινεῖν.) Ἐπὶ τὴν ἐλευθερίαν, καὶ κατάλυσιν τῆς ὀλιγαρχίας· καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν Τοὺς ἐπαρακίνησεν εἰς τὴν ἐλευθερίαν, ἢ νὰ ἐλευθερωθῶσι. — Στ. 19, Τοῦ Κατελθεῖν.) Προσέθηκαν ἐκ διορθώσεως τὸ ἄρθρον οἱ πρὸ ἐμοῦ. — Στ. 23, Ἰδίᾳ τε.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἰδίᾳ τό. — Στ. 25, Εἴη.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ, Εἶναι. — Στ. 29, Καὶ κινδυνευτέον.) Ἴσως

περιαιρετέος ὁ σύνδεσμος, ὃν καὶ ὁ Λατῖνος μεταφραστὴς παρέλιπε.

ΣΕΛΙΔ. 169, στ. 5, Συνεπήνουν.) Συγκατετίθεντο.—στ. 7, Φυλλίδας.) Οὕτως ἔγραψα ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς, ὡς γράφεται παρὰ Ξενοφῶντι, καὶ παρ' αὐτῷ Πλουτάρχῳ ἐν ἄλλοις (Περὶ τοῦ Σωκράτ. Δαιμον. § 4) ἀντὶ τοῦ Φιλίδας. — στ. 16, Παραβαλέσθαι.) Παρακινδυνεῦσαι. — στ. 20, Μέλων.) Παρὰ Ξενοφῶντι, Μέλλων. —Δαμοκλείδας.) Ἐξ Ε. Δ. καὶ αὐτοῦ (κατωτέρ. § 11) Πλουτάρχου, ἀντὶ τοῦ, Δαμοκλείδης. — στ. 23, Δώδεκα.) Ἑπτὰ μόνους ἀριθμεῖ Ξενοφῶν (Ἑλλην. Ε, δ', 3). — στ. 25, Στάλικας.) Πασσάλους, ὡς ἐξηγεῖται ὁ ἡμέτερος Φώτιος, καὶ ὁ Ἡσύχιος. Λέγει δὲ τοὺς ἐμπεπηγότας τῇ γῇ σκόλοπας, οἷς ἀνέχονται καὶ ἐπερείδονται τὰ θηρευτικὰ δίκτυα. Ἡ δὲ συνήθεια Σταλίκια μὲν οὐδετέρως καλεῖ τοὺς ὄρους, τουτέστι τοὺς πεπηγότας σκόλοπας ἢ πασσάλους εἰς ὅρων διάκρισιν· τοὺς δὲ θηρευτικοὺς πασσάλους διὰ τοῦ μήπω καταχωρισθέντος ἐν τοῖς Λεξικοῖς ὀνόματος Πολυθέργια δηλοῖ, ὡς ἔστι μαθεῖν ἐκ τοῦ σχολιάσαντος τὸν Ὀππιανὸν (Ἁλιευτ. Δ, 606). — στ. 29, Οὐδὲ ὑπὸ τοῦ δεινοῦ πλησιάζοντος.) Καθ' ὑπερβιβασμὸν, ᾧ πέρα τοῦ δέοντος χρῆται Πλούταρχος. Τὸ ἑξῆς, Οὐδ' ὑπὸ πλησιάζοντος τοῦ δεινοῦ, ἢ καὶ κατ' ἔλλειψιν τῆς προθέσεως, Οὐδὲ πλησιάζοντος τοῦ δεινοῦ.

ΣΕΛΙΔ. 170, στ. 5, Ἐν χερσὶ γενομένου.) Φράσις συνώνυμος τῇ μετοχῇ, Πλησιάσαντος. Τὸ γὰρ Ἐγγὺς καὶ πλησίον καὶ παραχρῆμα σημαίνει τὸ Ἐν χερσί, ὡς τὸ Παρὰ πόδας καὶ Κατὰ πόδας. Λέγεται δὲ καὶ ἐνικῶς, Ἐν χειρί, οἷόν ἐστι τὸ τοῦ Σοφοκλέους (Τόμ. 4, σελ. 694, ἐκδ. Βρυγκ.) ἐπὶ τοῦ Εὐθέως καὶ παραχρῆμα,

Ὀργὴ γέροντος, ὥστε μαλθακὴ κοπὶς,
Ἐν χειρὶ θήγεται, ἐν τάχει δ' ἀμβλύνεται.

Καὶ μεθ' ἑτέρων δὲ προθέσεων τὴν αὐτὴν ἔσωσεν ἡ Χεὶρ σημασίαν. Τοιοῦτόν ἐστι τὸ Ὑπὸ χεῖρα, ᾧ ἀλλαχοῦ (Περὶ τῶν ὑπὸ τοῦ Θ. βραδ. τιμωρ. Τ. 8, σελ, 168, ἐκδ. Ῥεϊσκ.), Πλούταρχος ἐχρήσατο, παραπλησίως πως τῷ παρὰ τοῖς Γαλάταις Sous la main· καὶ τὸ παρὰ τοῖς Ἑβδομήκοντα, Ἀνὰ χεῖρα, Ἐπὶ χεῖρα καὶ Πρὸς χεῖρα· καὶ τὸ παρ' Ἱπποκράτει (Γαλην. ἐξηγ.) καὶ παρ' Εὐριπίδῃ (Ἡρακλείδ. 430) Ἐς χεῖρα, καὶ τὸ παρὰ Στράβωνι (σελ. 669) Κατὰ χεῖρα.—στ. 7, Ἐκεῖθεν.) Ἤτοι γραπτέον, Ἐκεῖ (τουτέστιν ἐν Λακεδαίμονι) ἢ καταχρήσασθαι τὸν Πλούταρχον ὑπολεπτέον τῇ λέξει.—στ. 13, Ὡς οὐκ εἶχε, καὶ δοῦναί τινι.) Ἐξ Η. Δ. ἡ προσθήκη τοῦ συνδέσμου, ὃν ἀναγκαῖον

μὲν ἐνόμισαν καὶ οἱ πρὸ ἡμῶν, διορθοῦν δὲ τὸ χωρίον ἐπεχείρησαν ὧδι, Ὡς οὐκ εἶχε δοῦναι, καὶ χρῆσαί τινι, ἐξ ἑτέρου παραλλήλου χωρίου τοῦ Πλουτάρχου (Περὶ τοῦ Σωκράτ. δαιμον. § 18). Ἀλλὰ καὶ αὐτὸ τὸ Δοῦναι, ἐπὶ τοῦ Χρῆσαι, ἢ Δανεῖσαι τεταχέναι εἰκὸς τὸν Πλούταρχον κατὰ τὴν παὸ ἡμῖν συνήθειαν, ἐν οἷς γὰρ οἱ Γάλλοι χρῶνται τῷ Prêter, πολλάκις ἡμεῖς τῷ Διδόναι καταχρώμεθα· οἷον, Γάλλος μὲν ἀνὴρ, συμποσιάζων, φαίη ἂν πρὸς τὸν συμπότην, Prêtez moi votre couteau, Γραικὸς δὲ, Δός (καὶ οὐ Δάνεισόν) με τὸ μαχαίριόν σου. — στ. 19, Τραπέσθαι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τρέπεσθαι. — στ. 21, Γεωργῶν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τὰς γεωργῶν.

ΣΕΛΙΔ, 171. στ. 3, Ἔπραττεν ὅτι μάλιστα... παρέξειν.) οὐκ ἀπεικότως οἱ πρὸ ἡμῶν ἐσημειώσαντο ὀρθότερον ἐν τοῖς τοιούτοις εἶναι τὸ Ἔπραττεν ὅπως μάλιστα... παρέξει. — στ. 28, Διεφθαρμένον ὑπὸ τοῦ παρόντος.) Διπλῆ ἔλλειψις, Διεφθαρμένον τὰς φρένας ὑπὸ τοῦ παρόντος κακοῦ, ἢ κινδύνου. Ἔπιθι τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 125 καὶ 218) σημειωθέντα περὶ τῆς πρώτης. — στ. 21, Ἀπολομένων.) Δ. Γ. Ἀπολουμένων· ὃ καὶ ἄμεινον. — στ. 30, Ἐκ ποδῶν.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ἐκποδών.

ΣΕΛΙΔ. 172, στ. 9, Φυλλίδας.) Φιλιππος, γραπτέον εἶναι εἴκασέ τις τῶν πρὸ ἡμῶν, ἐξ ἑτέρου ὡρμημένος χωρίου τοῦ Πλουτάρχου.— Εἶπον.) Εἰς τὸ Εἶπεν, τρέπειν παρήνεκέ τις. Μηποτε δὲ μᾶλλον τὸ ἐχόμενον, Ἀκήκοα, τρεπτέον εἰς τὸ Ἀκηκόαμεν. — στ. 10, Καὶ ἐν τῇ πόλει.) Προσέθηκα τὸν σύνδεσμον ἐκ Δ. Γ.

ΣΕΛΙΔ. 173, στ. 14, Ἐπιζάντων.) Τοῦ Χάρωνος καὶ τοῦ Μέλωνος.— στ. 15, Κρότον ἐποίησαν.) Οἱ περὶ τὸν Ἀρχίαν.—Οἰομένων.) Γραπτέον, Οἰόμενοι· πρὸς γὰρ τοὺς περὶ Ἀρχίαν ἀναφέρεται. — στ. 27, Αἰσθομένου.) Δ. Γ. Αἰσθόμενοι· οἱ περὶ τὸν Πελοπίδαν δηλονότι. —στ. 30, Αὐτῷ.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Αὐτό.

ΣΕΛΙΔ. 174, στ. 6, Συνεπλέκετο.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Συνεπέπλεκτο. — στ. 12, Ἐκ ποδῶν.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἐκποδών. — στ. 17, Τὰ περὶ τὴν οἰκίαν.) Ὑπενόει τις τῶν πρὸ ἡμῶν γραπτέον εἶναι, Τὰ περὶ τὴν ἀγοράν· Ἀμιύτος δὲ ἐπὶ τῆς οἰκίας τοῦ Χάρωνος ἐξεδέξατο τὸ λεγόμενον.—στ. 28, Χωροῦντα.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἀναχωροῦντα.

ΣΕΛΙΔ. 175. στ. 11, Ὑποσπόνδους.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ Ἀποσπόνδους. — στ. 14, Ἠριπτίδαν μὲν καὶ Ἄρκεσον.) Οὕτως ἔγραφα ἐξ ἑτέρων Πλουτάρχου χωρίων (Ἀγησιλ. 11, καὶ Περὶ τοῦ

Σωκράτ. δαιμον. § 17), ἀντὶ τοῦ, Ερμιππίδαν μὲν καὶ Ἄρκισσον.— Στ. 15. Λυσανορίδας.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Δυσαορίδας. — Στ. 21, Δυνατωτέρων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Δυνατωτάτων. —Στ. 28, Τῆς Λακεδαιμονίων.) Δ. Γ. Τῆς τῶν Λακεδαιμονίων.

ΣΕΛΙΔ. 176, στ. 15, Μᾶλλον ἅψασθαι.) Περιττὸν ἔδοξέ μοι, ὡς καὶ ἑτέρῳ τινὶ τῶν πρὸ ἡμῶν, τὸ Μᾶλλον. — Στ. 23, Ῥάδιον τοῖς.) Ἐξ Η. Δ. (συνάδοντος καὶ τοῦ Ἀμιότου) ἀντὶ τοῦ, Ῥᾴδιον ὂν τοῖς, ἢ ὡς ἑτέρα Δ. Γ. Ῥάδιον αὐτοῖς, ἣν προείλοντο οἱ πρὸ ἡμῶν.— Πόλεμον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἡμῶν ἀντὶ τοῦ, Πολεμεῖν.—Στ. 27, Τοὺς ἀποστατικῶς τῶν Ἑλλήνων ἔχοντας.) Ἐκείνους ἐκ τῶν Ἑλλήνων, ὅσοι ἐφίεντο τοῦ ἀποστατῆσαι. Ἐν ἄλλοις δὲ ἀντὶ τοῦ, Ἑλλήνων, φέρεται Λακεδαιμονίων, ἣ γραφῇ ἠκολούθησε καὶ Ἀμιότος, κατὰ τοῦτον τὸν νοῦν, Τοὺς ἐφιεμένους ἀποστῆναι τῶν Λακεδαιμονίων.

ΣΕΛΙΔ. 177, στ. 1, Ἐξερριπίζοντο τοῖς θυμοῖς.) Ἐξήπτοντο καὶ ἀνεφλέγοντο τὰς ψυχὰς· ἀπὸ μεταφορᾶς τοῦ ῥιπιζομένου πυρός. — Διεπονοῦντο τοῖς σώμασι.) Ἠσκοῦντο, ἢ ἐγυμνάζοντο τὰ σώματα. — Στ. 5, Ἀπολαμβάνεις.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Ἀντιλαμβάνεις.—Στ. 10, Ἀπάγοντες.) Ἐξ Ε. Δ. (ἢ συνάδει καὶ ὁ Ἀμιότος) οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Ἀγαπῶντες. — Στ. 10, Ἀφ' ἧς.) Ἐλλειπτικῶς τοῦ Ἡμέρας. Τοῦτο ἡ συνήθεια οὐ μόνον Ἀφῆς ἐπιῤῥηματικῶς ἀλλὰ καὶ Ἀπὴν λέγει (Δουκάγγ. λέξ. Ἀπὴν), τὸ μὲν τῆς προθέσεως π ἄτρεπτον φυλάξασα ἰαστὶ, ἀντὶ δὲ τῆς γενικῆς τὴν αἰτιατικὴν λαβοῦσα, διότι καὶ αἰτιατικῇ φιλεῖ συνάπτειν τὴν Ἀπό. Λέγει δὲ καὶ Ἀπήτης, τὸ μὲν Ἧς ἰαστὶ εἰς τὸ Τῆς τρέψασα, τὸ δὲ τῆς προθέσεως ληκτικὸν εἰς τὸ η, ὥσπερ καὶ ἐν τῷ Ἀπηλογοῦμαι ἀντὶ τοῦ Ἀπολογοῦμαι.—στ. 16, Τανάγρα.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Τάναγραν, ἢ ὡς ἡ Δ. Γ. Τάναγρα.—στ. 17, Αὐτῶν.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Αὐτόν. Τὸ ἑξῆς, Πολλοὺς δ' αὐτῶν, καὶ Πανθοίδην τὸν ἁρμοστὴν τρεψάμενος ἀνεῖλε πρὸς Τανάγρα.—Στ. 25, Μέγαν ἦρεν ἐν δόξῃ.) Ἴσως ἐγέγραπτο Μέγαν ἦρε δόξῃ· καὶ ἦν ἂν χρηστότερον τὸ κατ' ἔλλειψιν.

ΣΕΛΙΔ. 178, στ. 5, Βάσιμον.) Ἐλλειπτικῶς τοῦ Χωρίον, Πεδίον, ἢ Ἔδαφος.—Τὴν γὰρ διὰ μέσου.) Διπλῆ ἔλλειψις, ἀντὶ τοῦ, Τὴν διὰ μέσου μέρους χώραν.—Στ. 19, Τὰ γὰρ πλεῖστα.) Τὰ δὲ πλεῖστα, ἡρμήνευσαν ὅ τε Λατῖνος καὶ ὁ Γάλλος μεταφραστής· ὃ καὶ ἄμεινον.— Στ. 20, Γεννητοῖς.) Θνητοῖς, ἡρμήνευσεν ὁ Ἀμιότος, οὐ τοιαύτῃ ἐντυχὼν γραφῇ, ἀλλ' ὅτι τὸ Γεννητοῖς ἐνταῦθα συνωνυμεῖ τῷ Θνητοῖς, ἢ Ἀνθρώποις. Ὁ νοῦς, Ὁ γὰρ πάτριος λόγος, τουτέστιν ἡ παρὰ πατέρων

εἰς παῖδας παραδοθεῖσα φήμη οὐ συγκαταριθμεῖ τὸν Ἀπόλλωνα ἐκείνοις τοῖς δαίμοσι, τοῖς ἐξ ἀνθρώπων μὲν γεννηθεῖσι, μεταβληθεῖσι δὲ εἰς ἀθανάτους.—Στ. 22, Ἐκ μεταβολῆς.) Περιέγραψα, ὡς καὶ οἱ πρὸ ἐμοῦ, τὸ δεύτερον τοῦτο, Ἐκ μεταβολῆς, ὅπερ οὐδ' ὁ Ἀμιότος ἐξέφρασε.—Στ. 30, Ἐμπεπτώκαμεν.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ Ἐκπεπτώκαμεν.

ΣΕΛΙΔ. 179, στ. 1, Εὐθὺς ἐκέλευσε.) Δ.Γ. Εὐθὺς πᾶσαν ἐκέλευσε. —Στ. 10, Κατ' αὐτούς.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Καθ' αὐτούς. —Στ. 13, Διέσχε.) Διέττη, εἰς δύο ἐμερίσθη, ὅπως ἂν διάβασιν τοῖς Θηβαίοις παράσχοι, καὶ οὕτως αὐτῶν ἀπαλλαγείη. — Στ. 15, Τὴν δεδομένην ἐάσας ὁ Πελοπίδας.) Προσέθηκα ἐκ Δ. Γ. τὴν μετοχήν, ἀνθ' ἧς ἑτέρα Δ.Γ. Χαίρειν ἐάσας. Ὁ νοῦς, Ἐάσας ἦν οἱ Λακεδαιμόνιοι διαστάντες ἐδίδουν αὐτῷ διάβασιν, ἠγεῖτο πρὸς τοὺς συνεστῶτας, τουτέστι, πρὸς τοὺς πεπυκνωμένους καὶ ἀδιαβάτους.—Στ. 17, Ἔφυγον.) Δ.Γ. Εἶεον. Ἴσως γρ. Ἔφευγον.

ΣΕΛΙΔ. 180, στ. 6, Οἴκησιν.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἄσκησιν.— στ. 8, Ὁ ἐκ πόλεως.) Προσέθηκαν οἱ πρὸ ἐμοῦ τὸ ἄρθρον, ὅπερ ἔχει καὶ ὁ Ἀμιότος.—Στ. 14, Ὡς φρήτρη κ. τ. λ.) Ἐκ τῆς Ἰλιάδος Β, στίχ. 363.—Στ. 16, Φράτορας.) Ἐξ Ε. Δ. προσέθηκαν τὴν λέξιν οἱ πρὸ ἐμοῦ. — Στ. 21, Μᾶλλον ἑτέρων παρόντων.) Μᾶλλον ἢ ἑτέρους παρόντας.

ΣΕΛΙΔ. 181, στ. 3, Ἅπαντας τοῖς στέρνοις, ἐν ὅπλοις μετ' κ. τ. λ.) Οὕτω γραπτέον εἶναι ὁ φίλος Κλαυέριος (ἐν ταῖς εἰς τὴν Ἀμιότ. μετάφρ. σημειώσεσι Τόμ. Γ, σελ. 476) ἐξ αὐτῆς τῆς Ἀμιότου μεταφράσεως κατενόησεν, ἀντὶ τοῦ, Ἅπαντας ἐν τοῖς στενοῖς ὅπλοις, καὶ μετ'. —Στ. 4, Ἀναμεμιγμένους.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ἀναμιγνυμένους.— Στ. 15, Τὴν ἐξ Ἄρεως καὶ Ἀφροδίτης.) Τὴν Ἁρμονίαν λέγει, ὡς παρέφρασεν ὁ Ἀμιότος, καὶ ὡς αὐτὸς Πλούταρχος ὑπονοεῖν παρέχει διὰ τῶν ἑξῆς, "Διὶ ἁρμονίας καθισταμένων,,. — Στ. 22, Διελελυμένων, καὶ παρὰ πολὺ μεμιγμένων τῷ φαυλοτέρῳ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Διαλελυμένης, καὶ παρὰ πολὺ μεμιγμένον ἢ τὸ φαυλότερον. Δ. Γ. Διαλελυμένος ἂν παρὰ κ. τ. λ. Διαλελυμένης, καὶ παρὰ πολὺ μεμιγμένων οἱ τῶν φαυλοτέρων. Οἱ δὲ πρὸ ἡμῶν διώρθουν οὕτως· Διαλελυμένη καὶ πρὸς πολὺ μεμιγμένη τὸ φαυλότερον. Ὁ δ' Ἀμιότος, Divisée et melee parmi beaucoup d' autres qui valoient moins. — Στ. 24, Καθαρῶς.) Κεχωρισμένως τῶν ἄλλων. — Καὶ περὶ αὐτῶν.) Οὕτως ὁ πρὸ ἐμοῦ ἐκ διορθώσεως, ἣν ἀποδεξαμένῳ μεταμέλει μοι· ὤφειλον γὰρ ἐᾶν κατὰ χώραν τὸ, Καὶ περὶ αὐτὸν, τουτέστι Περὶ τὸν

Πελοπίδαν. Περιττὸς δὲ καὶ ὁ Καὶ, ὃν καὶ Ἀμιότος παρέλιπε. — Στ. 26, Προεκινδύνευε τοῖς.) Γραπτέον ἴσως, Προεκινδύνευεν ἐν τοῖς, ἀνελλιπῶς τῆς προθέσεως. — Στ. 28, Ἐμπίπτοντες.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Ἐκπίπτοντες.

ΣΕΛΙΔ. 182, στ. 1, Ἐνιέντας.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ὄντας. — Στ. 11, Χρὴ παραινεῖν.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ Ἀεὶ χρὴ παραινεῖν. Λείπει δὲ καὶ ἐν τῇ Ἀμιότου μεταφράσει τὸ εἰς οὐδὲν χρήσιμον ἐπίρρημα τοῦτο· ὅπερ εἰκὸς, ὡς ἐσημειώσαντο καὶ οἱ πρὸ ἡμῶν, ἐκ διαφόρου γραφῆς (ΔΕΙ) τοῦ Χρὴ, διὰ τὴν ὁμοιότητα γεννηθηναι. — Στ. 20, Σήματα.) Ἐκ Δ. Γ. οἱ πρὸ ἡμῶν, ἀντὶ τοῦ, Σώματα.—Στ. 27, Προὔφαινον.) Καὶ τοῦτο ἐκ Δ. Γ. οἱ αὐτοὶ ἀντὶ τοῦ, Προὔφερον.

ΣΕΛΙΔ. 183, στ. 9, Τῶν μὲν παλαιῶν.) Ἴσ γρ. Τοῦτο μὲν, τῶν μὲν· διὰ τὸ ἐπαγόμενον μετ' ὀλίγα, Τοῦτο δὲ.—Στ. 16, Ἐκείνοις γὰρ ἐπιμαρτυρῆσαι τὰ κατορθώματα.) Τοῦ καλῶς καὶ τοῖς θεοῖς ἀρεσκόντως πεπράχθαι μαρτύριον γεγονέναι τὰς ἑπακολουθησάσας νίκας.— Τοῦτο δέ.) Τοὐναντίον δὲ πάλιν προφέροντες παραδείγματα τῶν μὴ πεισθέντων τοῖς χρησμοῖς, ὡς ἄριστα ἡρμήνευσεν Ἀμιότος.—Στ. 19, Ταύτην εἶδε τὴν ὄψιν.) Ἴσ. γρ. Τὴν αὐτὴν εἶδεν ὄψιν· τουτέστιν, ἣν καὶ Ἀγαμέμνων, ὥσπερ ἡρμήνευσε καὶ Ἀμιότος.—Στ. 20, Ἀπομαλθακωθείς.) Χρηστότερον, καὶ αὐτῷ Πλουτάρχῳ συνηθέστερον τὸ Ἀπομαλθακισθείς.—Στ. 30, Ἵππος ἐξ ἀγέλης καὶ πῶλος.) Τὸ χωρίον οὐκ ἔῤῥωται· γραπτέον γὰρ δίχα τοῦ συνδέσμου, ἢ παραλείποντας τὴν πρώτην λέξιν, Ἐξ ἀγέλης πῶλος, ἢ γοῦν τρέποντας, Ἵππων ἐξ ἀγέλης πῶλος, ἵν' ᾖ καθ' ὑπερβιβασμὸν ἀντὶ τοῦ, Ἐξ ἀγέλης Ἵππων πῶλος.

ΣΕΛΙΔ. 184, στ. 3, Πυρσότατον.) Ξανθότατον, παρ' ὃ καὶ ὁ παρ' Αἰσχύλῳ Πυρσοκόρσης λέων (Φώτ. καὶ Ἡσύχ. λέξ. Πυρσοκόρσου), ὁ πυρσὴν, τουτέστι ξανθὴν, χαίτην ἔχων. Καὶ σημειοῦ τὸ Πυρσὸς ταυτὸν ὂν τῷ Πυῤῥὸς, καθὰ καὶ τὸ Κόρση τῷ Κόῤῥῃ. — Στ. 4, Συμφρονήσας.) Ἐκ Δ. Γ. (ὃ συνῆκε Πόρτος) ἀντὶ τοῦ, Συμφωνήσας. —στ. 6, Μὴ περιμένωμεν.) Ἀμιότος μετέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Μὴ περίμενε.—Στ. 10, Διδόντες.) Οὔθ' αὕτη, οὔθ' ἡ Δ. Γ. Διδόντος, ἔῤῥωται. Γράφε Διαδιδόντες, ὡς ἡρμήνευσαν καὶ οἱ μεταφρασταί. Λόγον μὲν γὰρ διδόναι ἐστὶ τὸ ἀπολογεῖσθαι, ἢ τὴν αἰτίαν τινὸς ἐξηγεῖσθαι· Λόγον δὲ διαδιδόναι, τὸ ἐκφέρειν εἰς ἅπαντας τὸ τέως ἄγνωστον καὶ δημοσιεύειν.—στ. 20, Συναγαγεῖν.) Ἐξ Η.Δ. ἀντὶ τοῦ Συνάγειν.— στ. 25, Ἐπισάταις.) Ἐπισάτης ὁ ἐν τῇ παρατάξει κατὰ νώτου τεταγμένος ἑτέρου, τοῦ λεγομένου ἀντιδιεσαλμένως Πρω-

τοσάτου.—Ζευγίτας.) Εἴη δ' ἂν ὁ Ζευγίτης ὁ πλευρόθεν ἑτέρου τεταγμένος, καὶ Παραστάτης σχετικῶς καλούμενος. Διὸ καὶ γραπτέον ἔοικε, Ζυγίταις παρὰ τὸ Ζυγόν. Ζυγὸν δὲ ὥπερ ἀνωτέρω (§ 19 σελ. 181) Πλούταρχος ἐχρήσατο, λέγεται ἡ κατὰ μῆκος ἔκταξις τῶν μαχομένων, ὥσπερ Στίχος, ἡ κατὰ βάθος· ὅθεν καὶ Ζυγεῖν μὲν, τὸ ἐφεξῆς τετάχθαι κατὰ μῆκος, Στοιχεῖν δὲ τὸ ἐφεξῆς τετάχθαι κατὰ βάθος.—στ. 26, Ὅποι ποτὲ συνίσησιν ὁ κίνδυνος καὶ καταλαμβάνει, καὶ συναρμόττειν κ. τ. λ.) Ἡ ἀντὶ τοῦ Καταλαμβάνοι Δ.Γ. Καταλαμβάνειν, ὑπονοεῖν παρέχει μήποτε ἐγέγραπτο δίχα τοῦ πρώτου συνδέσμου, Ὅποι ποτὲ συνίσησιν ὁ κίνδυνος, καταλαμβάνειν καὶ συναρμόττειν, τουτέστιν Εἰς ὅντινα τόπον συνωθεῖ αὐτοὺς ὁ κίνδυνος, καταλαμβάνειν ἐκεῖνον τὸν τόπον, καὶ συναρμόττειν ἑαυτοὺς οὕτως, ὥστε ποτὲ μὲν ζυγίτην ἕτερον ἑτέρου εἶναι καὶ παραστάτην, ποτὲ δ' ἐπιστάτην, καὶ ἄλλοτε πάλιν πρωτοστάτην.—στ. 30, Συνέχεον.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Συνέχεε.

ΣΕΛΙΔ. 185, στ. 19, Στρατείας.) Γράφε, Στρατιᾶς. — στ 24, Κἂν, ὥσπερ.) Δ. Γ. Καὶ ὥσπερ.

ΣΕΛΙΔ. 186, στ. 2, Στρατείᾳ.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Στρατιᾷ.—στ. 14, Βουκάτιον.) Βούκαιρον γράφειν χρῆναι ἐσημειώσατο ὁ τῆς Ἀβρίγκης ἱεράρχης Ὑέτιος, ἐκ τῶν εἰς τὸν Ἡσίοδον ὡρμημένος ὑπομνημάτων τοῦ Πρόκλου.—στ. 27, Μετὰ δίκην.) Γραπτέον, Μετὰ τὴν δίκην· πλὴν εἰ μὴ ἐλατίνισεν ἐνθάδε ὁ Πλούταρχος.

ΣΕΛΙΔ. 187, στ. 1, Κοινὴν.) Εἰς τὸ Κενὴν τρέπειν ἐγνώκασιν οἱ πρὸ ἡμῶν.—στ. 2, Δύνωνται.) Δ.Γ. Δύνανται. — Ἀμωσγέπως.) Ἐκ διορθώσεως οἱ πρὸ ἡμῶν, ἀντὶ τοῦ, Ἄλλως γε πως· ὁ δ' Ἀμιότος οὐδέτερον ἐξέφρασε. — στ. 7, Ἀνδροκύδης.) Οὗ καὶ Πλίνιος (ΛΕ, λς') καὶ Ἀθήναιος (Η, σελ. 341), καὶ Πλούταρχος αὐτὸς ἀλλαχοῦ (Συμποσιακ. Δ, β') ἐμνημόνευσαν. — στ. 10, Τοῦ τέλος ἔχειν ἐλλείποντα.) Τέλος, ἐκ Δ.Γ. ἔγραψαν οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τέλους· καὶ δῆλον ὡς ἤτοι ταύτην ἀποδεκτέον τὴν γραφὴν, ἢ τὴν γενικὴν κατὰ χώραν ἐῶντας, τὸ ἀπαρέμφατον περιαιρετέον. — στ. 23, Καὶ ὁ Μενεκλείδας ζημιοῦται.) Τὸ μὲν προσεθέν, Καὶ, ἐξ Η. Δ. τὰ λοιπὰ δ', ἐξ Ε.Δ. ἀντὶ τοῦ Ὁμὴ Μενεκλείδαν ζημιῶσαι.

ΣΕΛΙΔ. 188, στ. 1, Διοικοῦντα.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Διοικεῖν. —στ. 22. Ὁ τῆς Ἕλλησιν ὕστερον πολεμήσας ὑπὲρ τῆς ἐλευθερίας.) Ἀκυρωτέρως εἴρηται τοῦτο, περὶ τοῦ πολεμήσαντος ὑπὲρ τοῦ ἀφελέσθαι τοὺς Ἕλληνας τὴν ἐλευθερίαν.—στ. 24, Ζηλωτὴς γεγονέναι ἔδο-

ξεν Ἐπαμινώνδου, τὸ περὶ... ἴσως κατανοήσας.) Ἴσως ἐγέγραπτο πάλαι "Ζηλωτὴς γεγονέναι ΤΙΣΙΝ ἔδοξεν Ἐπαμινώνδου, τὸ περὶ... ,, ἴσως ΚΑΤΑΝΟΗΣΑΣΙΝ,,.

ΣΕΛΙΔ. 189, στ. 8, Βουλόμενος μὲν ἐπιφανῆναι.) Οὕτω γράφειν παρήνεσαν οἱ πρὸ ἐμοῦ περιελόντες τὸν ἕτερον τῶν συνδέσμων Οὖν, τὸν μετὰ τὸν Μέν. — στ. 21, Καθύβριζο.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Καθύβριζαι.—Συναγαγών.) Ἐξ Ε. Δ. ἡ περιαίρεσις τοῦ συνδέσμου ἐκ τῆς κοινῆς γραφῆς, Καὶ συναγαγών.—στ. 22, Ἤγεν.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἧκεν.—στ. 30, Ὡς μετά.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὥς γε μετά, ἢ ὡς ἑτέρα Δ. Γ. Ὥςε μετά.

ΣΕΛΙΔ. 190, στ. 22, Ἤθους) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Εἴδους.

ΣΕΛΙΔ. 191, στ. 8, Ἀπέςειλεν.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἀπέςειλαν. — στ. 22, Ὅς.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὡς. — στ. 25, Σκοτούσσῃ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Σκοτούσῃ.

ΣΕΛΙΔ. 192, στ. 8, Ἑπτὴξ' ἀλέκτωρ θοῦλον κ.τ.λ.) Ἐκ Δ. Γ. τὸ, Δοῦλον, οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Δοῦλος· περὶ ἧς διαφορᾶς ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 360) σημειωθέντα. — Στ. 19, Ὡς ὁ πρῶτος περὶ τῆς.) Οὕτω διωρθώκασιν οἱ πρὸ ἐμοῦ, συνάδοντες Ἀμιότῳ, ἀντὶ τοῦ Ὡς πρῶτος ἐπὶ τῆς. —στ. 24, Ταύγετον.) Ἐξ Ε. Δ. (συνάδοντος καὶ τοῦ Ἀμιότου) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Γέταν. — στ. 27, Ταῦτά τ' οὖν... ἐθαύμαζεν ἐπὶ τῇ δόξῃ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ταῦτ' οὖν... ἐθαύμαζε τῇ δόξῃ. Ὁ νοῦς, Διὰ ταῦτά τε οὖν (τουτέστι τὰς κατὰ τῶν ἑαυτοῦ ἐχθρῶν τῶν Λακεδαιμονίων νίκας τοῦ Πελοπίδου) ἔχαιρεν ὁ Ἀρταξέρξης, καὶ τὸν Πελοπίδαν ἔτι μᾶλλον ἐθαύμαζεν ἐπὶ τῇ διὰ τὰς νίκας ταύτας δόξῃ.

ΣΕΛΙΔ. 193, στ. 6, Ὦ τὸν ςέφανον.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὅτι τὸν ςέφανον.—στ. 22, Σακεσφόρου.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Σκευοφόρου. Καὶ κυρίως μὲν ὁ Σακεσφόρος συνωνυμεῖ τῷ Ἀσπιδοφόρῳ· παρὰ γὰρ τὸ Σάκος τὸ δηλοῦν τὴν ἀσπίδα. Μεταφορικῶς δὲ Σακεσφόρος ἐπωνόμαςαι ὁ δημαγωγὸς Ἐπικράτης δι' ὃν ἔτρεφε θαςύτατον πώγωνα, ὅτι καὶ προκαλύπτει ὁ τοιοῦτος τὸ ςῆθος, ὥςπερ καὶ ἡ ἀςπίς. Κεκωμῴδηται δὲ εἰς τὴν θαςύτητα οὐ μόνον ὑπ' Ἀριςοφάνους (Ἐκκλης. 71) ἀλλ', ὡς παραδέδωκεν ὁ ςχολιάςας αὐτὸν, καὶ ὑπὸ τοῦ Κωμικοῦ Πλάτωνος, φήςαντος,

Ἄναξ ὑπήνης, Ἐπίκρατες σακεσφόρε.

στ. 27, Ὅσων.) Δ. Γ. Ὅσον.

ΣΕΛΙΔ. 194, στ, 3, Αὐτοῦ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἧ

συνάδει καὶ ὁ Λατῖνος μεταφραστὴς, καὶ ὁ Ἀμιότος, ἀντὶ τοῦ, Αὐτήν. —Στ. 9, Τοῦ Στρατηγοῦ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ συμφωνοῦντες Ἀμιότῳ, προσέθηκαν τὸ ἄρθρον. — Στ. 12, Ἀποκινδυνεύειν ἐν ἑπτακισχιλίοις.) Ἐξ Η. Δ. ἡ προσθήκη τῆς προθέσεως, ἣν οἱ πρὸ ἡμῶν, διορθοῦντες καὶ αὐτοὶ, τῷ ῥήματι συνῆψαν, γράψαντες Ἐναποκινδυνεύειν. — Στ. 14, Καὶ ξένους.) Λείπει ὁ σύνδεσμος παρὰ τῷ Ἀμιότῳ, ὥστ' οὐχ' ἑτέρους παρὰ τοὺς τριακοσίους ἱππέας εἶναι τοὺς ξένους. — Στ. 20, Καὶ παρεκάλει.) Περιέγραψα τὸν σύνδεσμον, ὡς περιττὸν, δόξαν τοῦτο καὶ τοῖς πρὸ ἡμῶν· πλὴν εἰ μή τις ἕτερον ῥῆμα ἐξερρύηκέναι τοῦ χωρίου ὑπολαμβάνοι, οἷον, Ἐνῆγε καὶ παρεκάλει, ὥσπερ ὑπονοεῖν παρέχει καὶ ἡ Ἀμιότου μετάφρασις, Le sollicitoit et l' aiguillonnoit.

ΣΕΛΙΔ. 195, στ. 12, Κατιδὼν οὖν.) Περιττὸν ἔδοξε τοῖς πρὸ ἐμοῦ τὸ, Οὖν, καίμοι συνδοκεῖ. — Στ. 24, Ἔστη, καὶ περιεσκόπησεν, αὐτὸν κ. τ. λ.) Τὸ μὲν Περιεσκόπησεν ἐξ Η. Δ. (συναθρούσης τῷ Ἀμιότῳ Jetta sa vuë ça et là tout à l' entour, τὰ λοιπὰ δὲ ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ἔστη, καὶ περιέστησεν αὐτόν. Τῶν τις πρὸ ἡμῶν ἀντὶ τοῦ Περιέστησεν, γράφειν παρῄνει, Περιήθρησεν· ὃ τῆς αὐτῆς μὲν ἔχεται διανοίας καὶ τὸ Περιεσκόπησεν, οὔ γε μὴν τῆς αὐτῆς κριτικῆς ἀληθείας. —Στ. 28, Ἐξαλόμενος.) Ἐξ Η.Δ. ἀντὶ τοῦ Ἐξαλλόμενος.

ΣΕΛΙΔ. 196, στ. 2, Ἀνεκόπησαν.) Εἰς τοὐπίσω ἀπώσθησαν. — Στ. 10, Ἐπὶ τῇ τοῦ Πελοπίδου τελευτῇ βαρέως φέρειν.) Καινῶς εἰρημένον, εἰ μὴ ἡμάρτηται ἡ γραφὴ, ἀντὶ τοῦ, Τὴν τοῦ Πελοπίδου τελευτὴν βαρέως φέρειν.—Στ. 21, Κείρασθαι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Κείρεσθαι.—Στ. 23, Νενικηκότων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Νενικηκότας.—Στ. 29, Ἠτοῦντο.) Ἴσ. γρ. Ἤτουν.

ΣΕΛΙΔ. 197, στ. 3, Προπέμψουσιν.) Δ. Γ. Προπέμπουσιν, ἢν προείλοντο οἱ πρὸ ἐμοῦ. — Στ. 4, Ψαῦσαί γε.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ψαῦσαί τε.—Στ. 5, Δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν.) Ἀντὶ τοῦ Ὑμῖν, ἴσ. γρ. Ὑμᾶς, τοῦ Δόξομεν τηνικαῦτα ἐπὶ τοῦ, Λογισόμεθα, ἢ Ἡγησόμεθα, λαμβανομένου. — Στ. 7, Ὑμῖν μέν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προστεθείκασι τὸν σύνδεσμον. — Μόνον.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Μόνου. — Στ. 10, Συνεχώρησαν.) Δ. Γ. Παρεχώρησαν. — Στ. 15, Ἐξόδιον.) Ἐπιθι τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (σελ. 367). — Στ. 20, Τῶν τυχόντων.) Τοιαύτης δηλονότι ταφῆς ἐντίμου, ὡς ἡρμήνευσεν ὁ Ἀμιότος. — Στ. 21, Τῶν βιαζομένων.) Παθητικῶς ἐνθάδε, ὡς ὁ Ἀμιότος, οὐ μέσως, ὡς ὁ Λατῖνος μεταφρα-

σής.—στ. 28, Ἀπέχειν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐπέχειν.

ΣΕΛΙΔ. 198, στ. 1, Τύχῃ μεταβάλλεσθαι οὐκ ἀπολείπων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τύχην μεταβάλλεσθαι ἀπολιπών. Ἴσως ἐγέγραπτο, Τύχην, μεταβάλλεσθαι πεφυκυῖαν, ἀπολιπών. — στ. 4, Διαγόρα.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντι τοῦ, Διαγόρας. — στ. 5, Ὀλυμπικάς.) Ἴσ. γρ. Ὀλυμπιακάς. — στ. 19, Ἐφ' οὓς.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐφ' οἷς. —στ. 24, φυλάκων.) Ἐξ Η. Δ. ἀντὶ τοῦ ἀδιανοήτου Φυγάδων. Ταύτην δὲ τὴν διόρθωσιν ὑπενόησεν ἴσως καὶ ὁ Ἀμιότος· ἀμφότερα γὰρ ἐξέφρασε, καὶ τὸ Φυγάδων, καὶ τὸ Φυλάκων. — στ. 25, Οὖσαν.) Πρὸς τὸ, Θήβην, οὐ πρὸς τὸ, Λαμπρότητα καὶ παρασκευήν.

ΣΕΛΙΔ. 199, στ. 15, Προσφέρουσα τὸν λύχνον.) Γράφε, Προφέρουσα κ. τ. λ. Τουτέστι, Πρὸ τῶν ἀδελφῶν φέρουσα τὸν λύχνον.—στ. 18, Πρᾴτερον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Πρότερον.— στ. 19, Μόνον, ἢ πρῶτον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μόνῳ, πρῶτον. Ἀμιότος δὲ, Πρῶτον, δίχα τοῦ Μόνῳ.

ΜΑΡΚΕΛΛΟΣ.

ΣΕΛΙΔ. 201, στ. 3, Μάρκελλον.) Οὐ τοῦτον πρῶτον ἐκ τῆς οἰκίας τὸν Κλαυδίων κληθῆναι Μάρκελλον, ἀλλ' ἕτερον πρὸ τούτου, ἐκ τοῦ Λιβίου ἁρυσάμενος ἐσημειώσατό τις τῶν πρὸ ἡμῶν. — στ. 5. Κἀν τούτῳ.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Καὶ τούτῳ. — στ. 11, Ὅμηρος εἴρηκεν.) Ἐν Ἰλιάδι (Ξ, 86,). — στ. 21, Γενόμενος.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Γινόμενος.

ΣΕΛΙΔ. 202, στ. 4, Παῖς ὁμώνυμος, ἐν ὥρᾳ τὴν ὄψιν ἐκπρεπής.) Ἄμεινον τὸ στίζειν ὧδε, Παῖς ὁμῶνυμος, ἐν ὥρᾳ, τὴν ὄψιν ἐκπρεπής. — Στ. 16, Μεμιγμένον ἀπαύστῳ θυμουμένῳ τὸ αἰδούμενον.) Μεμιγμένην ὀργῇ σφοδρᾷ τὴν αἰδῶ. — Στ. 18, Ἀργυρᾶ λοιβεῖα.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀργυραμοιβίαν. Λοιβεῖα δὲ, καὶ Λοιβάσια, καὶ Λοιβίδες (παρὰ τὸ Λείβω), ἐκαλεῖτο τὰ σπονδεῖα, τουτέστι τὰ ἀγγεῖα ἀφ' ὧν ἔσπενδον τοῖς θεοῖς. — στ. 23, Ἴνσομβρες.) Ἐξ Ε. Δ. ὡς καὶ Πλούταρχος κατωτέρω (§ 4, σελ. 203), ἀντὶ τοῦ, Ἴβηρες. Ἄμεινον δ' ἂν γράφοις Ἴνσουβρες (Λατιν. Insubres).—στ. 25, Γεσσάται.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Γεραῖται. Περὶ δὲ Γαισατῶν, ἢ Γεσσατῶν, ἔπιθι τοὺς ὑπομνηματίσαντας τὰ τοῦ Πλουτάρχου, καὶ τὰς εἰς τὸν Ἡσύχιον (λέξ. Γαισὸς) σημειώσεις τῶν κριτικῶν.

ΣΕΛΙΔ. 203, στ. 8, Βαρβαρικὸν μὲν γάρ.) Ἐκ Δ. Γ. καὶ τοῦ Ἀμιότου προσέθηκα τὸν δεύτερον τῶν συνδέσμων.—στ. 12, Καὶ δύο.) Ἐκ διορθώσεως (συναδούσης Ἀμιότῳ) προσέθηκαν τὸν σύνδεσμον οἱ πρὸ ἐμοῦ. — στ. 19, Ἰνσόμβρας.) Δ. Γ. Ἰνσούβρας· δίχα τοῦ μ.— στ. 20, Πικηνίδος.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Πηκινίδος.— στ. 21, Ἐπὶ ταῖς.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ, Περὶ ταῖς.—στ. 22, Τοὺς οἰωνούς.) Ἐξ Η. Δ. ἡ προσθήκη τοῦ ἄρθρου, ὅπερ ἐξέφρασε καὶ Ἀμιότος.—στ. 29, Μάχῃ.) Δ.Γ. Μάχην.

ΣΕΛΙΔ. 204, στ. 13, Καὶ στρατεύματα, ἱερατικοῖς ὑπομνήμασιν ἐντυχών.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Καὶ στρατευματικοῖς ὑπομνήμασιν ἐντυχών. Δ.Γ. Καὶ ἱερατευτικοῖς ὑπομνήμασιν ἐντυχών. —στ. 16, Ἔχων οἶκον.) Ἐξ Ε.Δ. καὶ Δ.Γ. προσέθηκα τὴν μετοχήν. —στ. 17, Εἰς τὴν πόλιν.) Ἐξ Ἀμιότου προσέθηκα τὸ ἄρθρον, προσθεὶς ἂν καὶ μὴ φράσαντος ἐκείνου. — στ. 20, Τῷ αὐτῷ.) Οἴκῳ.— στ. 23, Μικροῦ ὄντος.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Μικρὸν οὕτως.—στ. 30, Μινουκίου.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Μινικίου, ἢ Μινυκίου. Οὐαλέριος δὲ Μάξιμος οὐδέτερον τούτων, ἀλλὰ Φάβιον ὀνομάζει Δικτάτωρα, ὥσπερ ἐσημειώσαντο οἱ πρὸ ἡμῶν.

ΣΕΛΙΔ. 205, στ. 2, Σόρικα.) Λατινιστὶ Soricem, παρὰ τὴν εὐθεῖαν Sorex, ὃ καὶ αὐτὸ τῆς Ἑλλήνων αἰολικῆς διαλέκτου εἶναι σεσημείωται ὑφ' ἑτέρων. Ὕραξ γὰρ παρ' Αἰολεῦσιν ὁ Μῦς, καὶ τῇ συνήθει τοῦ σ προσθήκῃ Σύραξ, ὥσπερ, Ὗς καὶ Σῦς. Παρὰ τοῦτο δὲ, καὶ τὸ τῶν Ἰταλῶν Sorcio, καὶ τὸ τῶν Γάλλων Souris.— στ. 9, Πολλὰ συμβατικὰ τῶν Γαλατῶν λεγόντων.) Ἐξ Ε. Δ. προσέθηκα τὴν μετοχήν. —στ. 12, Γεσσάται.) Δ.Γ. ἡ διόρθωσις Γεσάτται. — στ. 13, Ἰνσόμβρους.) Δ.Γ. Ἰνσούβρους. Εἰσὶ δ' οὓς ἀνωτέρω(§ 4, σελ. 203) Ἰνσόμβρας ὠνόμασεν· ἄστατος γὰρ παρὰ τοῖς Ἕλλησιν ἡ γραφὴ τῶν ξενικῶν ὀνομάτων.—στ. 17, Βριτόμαρτος.) Δ.Γ. Βιρδόμαρος, ὥσπερ καὶ τῶν Ῥωμαίων συγγραφέων οἱ πλεῖστοι (Virdomarus). Ἔστι δ' οἷς καὶ Βιριδόμαρος (Viridomarus) ἀρέσκει γράφεσθαι. — Περὶ Πάδον.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περὶ Πάδου.—στ. 19, Ἀκερρᾶις.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἀκερρᾶς. Σώζει δὲ μέχρι δεῦρο τοὔνομα ἡ πόλις, Acerra παρὰ τοῖς Ἰταλοῖς καλουμένη.—στ 22, Νύκτας.) Ἴσ. γρ. Νυκτός.—στ. 23, Ἀνιείς.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ἀνείς.—Περὶ τό.) Ἐκ διορθ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περὶ τόν. — στ. 24, Κλαστίδιον.) Ἐκ Δ. Γ. καὶ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καπίδιον. — στ. 27, Ἀφικόμενος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀφικομένοις.

ΣΕΛΙΔ. 206, στ. 4, Ὀλιγοζόν.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ Ὀλίγισον (Ἐπιθ. Πλουτάρχ. Μέρ. Α, σελ. 472). — Στ. 7, Συντυγχάνει.) Συμβαίνει· ἀπροσώπως ἐνθάδε, ὡς καὶ τὸ ἐν τῇ συνηθείᾳ Τυχαίνει, οὐ μόνον ὅταν αὐτὸ τοῦτο, τὸ Συμβαίνει, σημαίνῃ, οἷον, Ἔτυχε νὰ φοβηθῇ τὸ ἄλογον, ἀλλὰ καὶ ὅταν ἐπὶ τοῦ Προσήκει, Χρὴ, ἢ Δεῖ, τάσσηται τῶν ἀπροσώπων, οἷον "Τυχαίνει τοῦ ἡγεμόνος νὰ ἐπιμελῆται ἀκριβῶς κ. τ. λ. (Θεατρ. „ Πολιτικ. σελ. 37.)„ Εἰκὸς δὲ τοῦτο σημῆναι τὸ τελευταῖον, διότι τὰ δέοντά τε καὶ πρέποντα τοιαῦτα μάλιστα ἐσίτε καὶ λέγεται, ὅτι εἰς σκοπὸν ἀποτείνεται καὶ σκοποῦ τινος τυγχάνει.—Στ. 10, Ἐφ' ἡνίαν.) Ἐπὶ τὰ ἀριστερά.—Στ. 12, Αὐτός.) Ἴσ. γρ. Εὐθύς· ὅπερ ἔοικεν ὑπονοῆσαι καὶ Ἀμιότος, En même instant ἐκφράσας. — Στ. 22, Καὶ πᾶσι ποικίλμασιν.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Πᾶσι καὶ ποικίλμασιν. — Στ. 23, Στιλβούσῃ) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Στίλβουσα. Τὸ ἑξῆς, Καὶ διαφέρων πανοπλίᾳ στιλβούσῃ ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ βαφαῖς καὶ πᾶσι ποικίλμασιν, ὥσπερ ἀστραπή. Ἔοικε δὲ λελέχθαι κατὰ μίμησιν Ὁμήρου (Ἰλιάδ. Α, 65) ἐν οἷς φησι περὶ Ἕκτορος,

Πᾶς δ' ἄρα χαλκῷ
Λάμφ', ὥστε στεροπὴ πατρὸς Διὸς αἰγιόχοιο.

—Στ. 28, Ἐνείς.) Ἐξ Η.Δ. (παρὰ τὸ Ἐνίημι) ἀντὶ τοῦ Ἐνθείς· περιέγραψα δὲ καὶ τὸ προσεχὲς Εὐθύς, ὡς γραφέων ἁμαρτίαν, ἣν ἀπέτεκεν αὐτὸ τὸ Ἐνθείς. Ἀμιότος δὲ ἔταξε τὸ Εὐθὺς μετὰ τὸ ἐπαγόμενον, Ἀποπηδήσας. — Στ. 29, Πρὸς τὸν οὐρανόν.) Ἀμιότος ἡρμήνευσε, Πρὸς τὸν οὐρανὸν ἀναβλέψας. — Στ. 30, Ὦ μεγάλα στρατηγῶν καὶ ἡγεμόνων ἔργα καὶ πράξεις ἐπιβλέπων.) Ἐξ Η.Δ. τὸ Ἐπιβλέπων ἀντὶ τοῦ Περιβλέπων, τὰ δὲ λοιπὰ ἐκ Δ. Γ. ἀντὶ τῆς ἀσυντάκτου γραφῆς, Ὦ μεγάλα καὶ ἡγεμόνων ἔργα στρατηγῶν καὶ πράξεις καὶ περιβλέπων.

ΣΕΛΙΔ. 207, στ. 4, Δίδου.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Διαδίδου. — Στ. 5, Προτρεπομένοις.) Ἴσ. γρ. Προστρεπομένοις, ὅπερ ἐστὶν Ἱκετεύουσιν, ἢ, ὡς ἐξηγεῖται Ἡσύχιος, σέβουσι, τιμῶσι, προσκυνοῦσιν· ὅθεν καὶ Προστροπὴ ἡ ἱκετεία, καὶ Προστρόπαιος ὁ ἱκέτης.—Στ. 8, Ἰδέα.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἰδίαν. — Στ. 9, Ἱππέας.) Ἐξ Η.Δ. ἀντὶ τοῦ Ἱππεῖς· οὐκ ἀττικίζειν δεῖξαι πειρώμενος τὸν Πλούταρχον, ἀλλὰ διαστεῖλαι βουλόμενος τοῦ προηγησαμένου κατ' ὀνομαστικὴν Ἱππεῖς. — Στ. 14, Μέν.) Περίγραφε τὸν περιττὸν τοῦτον σύνδεσμον.—Στ. 20, Τυχοῦσι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Τυχοῦσα. Δ. Γ. Τυχούσῃ. — Στ. 26, Εὐκτεάνου.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Εὐκεάνου. Εἴη δ' ἂν Εὐκτέανος ἡ

εἰς

εἰς ὀρθὸν πεφυκυῖα· καὶ ἴσως γρ. Εὐθυκτεάνου, κατὰ τὸ παρὰ Ἡσυχίῳ Ἰθυκτέανον.—Ὄρθιον.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Ὄρειον. Παράβαλλε ταῦτα τοῖς ἐν Ῥωμύλῳ (Πλουτάρχ. Μέρ. Α. σελ. 48) εἰρημένοις. — στ. 30, Τῶν ἐκείνου κάλλιστον.) Τὸ ἐκείνου, οἱ μὲν πρὸς τὸν Θριάμβον, οἱ δὲ, πρὸς τὸ Τέθριππον, ἀναφέρουσιν. Μήποτε δ' ἄμεινον πρὸς τὸν Θεὸν, τουτέστι τὸν Φερέτριον Δία, ἀναφέρειν, ἐν ᾗ κάλλιστον ἁπάντων τῶν τοῦ Διὸς ἀγαλμάτων.

ΣΕΛΙΔ. 208, στ. 2, Ἄλλα τε πεποιημένα.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἅμα πεποιημένα. — στ. 5, Αἰῶνος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀγῶνος.—στ. 8, Βριτομάρτου.) Δ. Γ. Βιρδομάρου. — στ. 9, Φερέτριος.) Δ.Γ. Ὀπίμιος καὶ Φερέτριος.—στ. 10, Φερετρευομένου.) Ἐπὶ φερέτρου φερομένου· ἔπλασε δὲ τὸ Φερετρεύω Πλούταρχος παρὰ τὸ Φέρετρον. —στ. 13, Φερίρε.) Ῥωμαϊκοῖς γράμμασι, Ferire. — στ. 17, Ὀπίμια.) Ὀπίμα γράφειν παραινοῦσί τινες παρὰ τὸ τῶν Ῥωμαίων Opime, ὅπερ ἐξηγήσατο ἀλλαχοῦ (Ῥωμύλ. § 16) Πλούταρχος. Ἐλέγετο δὲ ἐπιθετικῶς πρὸς τὸ Σπόλια (Spolia)· τοῦτο δὲ παρὰ τὸ τῶν Ἑλλήνων Σκῦλα τροπὴ τοῦ κ εἰς τὸ π, ὡς καὶ ἐν τῷ Lupus παρὰ τὸ Λύκος. — στ. 23, Οὗτος,) Ἴσ. γρ. Οὕτως. —στ. 24, Ὀπιμίων.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τιμίων.— Ὅσα.) Προσυπάκουε τὸ Σκυλεύεται.—στ. 27, Λιτρῶν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Λύτρων. Ὁ δ' ἀριθμὸς τῶν λιτρῶν οὐχ εὕρηται ἐν τοῖς ἀντιγράφοις, μόνου Ἀμιότου ἐκφράσαντος, Ἀπὸ λιτρῶν πεντήκοντα.

ΣΕΛΙΔ. 209, στ. 4, Κανύσιον.) Δ. Γ. Κανούσιον. — στ 10, Ῥωμαίοις.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ῥωμαῖοι. — στ. 11, Οἱ μέν.) Ἀμιότος ἐξέφρασεν, οἱ μὲν πλεῖοι.—στ. 16, Κατέφευγον.) Δ. Γ. Ἀφεώρων. — στ. 27, Κατατρέχοντας.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Κατέχοντας.

ΣΕΛΙΔ. 210, στ. 10, Ἐξῆγε.) Ἐξ Η. Δ. (ἣν ἐξέφρασαν καὶ οἱ μεταφραστὰι) ἀντὶ τοῦ, Ἐξήγαγε. — στ. 11, Λαμπρὸν οὕτω τὴν τύχην.) Εὐγενείᾳ γὰρ ἦν πρωτεύων ἐν τῇ πόλει. Διὸ οὐ τρεπτέον τὸ Τύχην εἰς τὸ, ψυχὴν, ὡς γεγράφασιν οἱ πρὸ ἐμοῦ, ἐξ' Ἀμιότου ὡρμημένοι.— Καὶ κεκοινωνηκότα.) Ἐκ διορθώσεως (συναδούσης Ἀμιότῳ) προσεθεικασι τὸν σύνδεσμον οἱ πρὸ ἐμοῦ. — στ. 13, Ὁμιλίᾳ προσάγεσθαι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ περιεῖλον τὸν μεταξὺ τῶν δύο τούτων λέξεων σύνδεσμον, Καί· ὃς συνέπλεκεν ἴσως ἕτερον ἀπαρέμφατον, ἐξερρύηκὸς τοῦ χωρίου, οἷον, Αἱρεῖν καὶ προσάγεσθαι, ὅπερ ὑπονοεῖν συγχωρεῖ καὶ ἡ Ἀμιότου μετάφρασις, Attraire et Gaigner,

Κακῶς δὲ τὸ, Ὁμιλία, ἔτρεψαν εἰς τὸ, Δι' ὁμιλίας. — Στ. 20, Ἐκείνῳ φερομένων.) Χρησότερον ἂν εἶπεν, Εἰς ἐκεῖνον, ἢ Κατ' ἐκείνου, φερομένων. — Στ. 24, Ἧς ἐστι.) Ἐκ Δ. Γ. (ᾗ συνάδει καὶ Ἀμιότος) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οἷς ἐστι.

ΣΕΛΙΔ. 211, στ. 5, Καὶ τὸν Ἀννίβαν ἐπεσπάσατο.) Ἡ τῶν ὅπλων ἐρημία, δηλονότι· σαφέστερον μέντοι ἂν εἶπεν, Ἢ καὶ τὸν Ἀννίβαν ἐπεσπάσατο. — Στ. 6, Ταραττομένων.) Στασιαζόντων. Ἴσως μέντοι γραπτέον, Ταραξομένων, κατὰ μέλλοντα, ὥσπερ ἐστὶν ἀναλέξασθαι ἐκ τοῦ Λιβίου (ΚΓ, 16). — Στ. 10, Πρὸς τούτους.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Πρὸς τούτοις. — Στ. 11, Αὖθις αὖ τοῦ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Αὖθις αὐτοῦ. — Στ. 16, Φόνῳ.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Φόβῳ. — Στ. 19, Ἥτταν.) Γράφε ἐνάρθρως, Τὴν ἥτταν. — Οὐδὲ πεσεῖν νεκροὺς τοσούτους.) Ὀκτακοσίους γὰρ πρὸς τοῖς δισχιλίοις, καὶ τούτους δισάζων, ἀριθμεῖ Λίβιος τοὺς πεπτωκότας. — Στ. 22, Ὡς οὐ πρὸς ἄμαχον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐχ ὡς πρὸς ἄμαχον.

ΣΕΛΙΔ. 212, στ. 15, Χιλίους.) Ἐξ Ε. Δ. προσέθηκα τὴν λέξιν. Ἔπιθι Λίβιον (ΚΓ, 46). — Στ. 17, Διαφυλάξαντος.) Δ. Γ. Παραφυλάξαντος. — Στ. 29, Ῥωμαίοις.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ῥωμαίους. — Στ. 30, Τοῦ φρονήματος.) Περιττὸν ὧδε τὸ ἄρθρον.

ΣΕΛΙΔ. 213, στ. 7, Ἐπιτίμου.) Ἐκ διορθώσεως συναδούσης Ἀμιότῳ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐπισήμου. — Στ. 14, Εἰ... ἴσως, μηδενὸς κ. τ. λ.) Τὸ μὲν μηδενὸς, ἐκ Δ. Γ. παρείληφα ἀντὶ τοῦ, Μηδενί· τὸ δὲ Ἴσως, κατὰ χώραν ἐῶ, μὴ πειθόμενος τοῖς παραινέσασι τρέπειν εἰς τὸ, Ὅμως, ἢ Ὅλως. Ἔξι γὰρ ἀνενεκτέον πρὸς τὸν συναπτικὸν, ᾧ προσκολλώμενον, οὐδὲν πλέον, ὡς εἰπεῖν ἐσήμαινεν (ἐπί γε Πλουτάρχου) τοῦ ἁπλοῦ Εἰ, καθάπερ καὶ τὸ παρ' ἡμῖν συνημμένως γραφόμενον, Ἀνίσως (Ἂν ἴσως) ἐπὶ τῆς αὐτῆς πολλάκις τῷ Ἂν σημασίας τάσσεται. — Στ. 23, Καὶ εἶλε.) Ἐξ Ε. Δ. περιέγραψα τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 214, στ. 18, Ὑπερειδόντες.) Ἐκ Δ. Γ. (ᾗ συνάδει καὶ Ἀμιότος) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑπεριδόντες. — Στ. 19, Ἀναλόγους.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἄλογον, οὗ Δ. Γ. Ἀλόγους: Ἀνάλωτον. Ἐκ ταύτης ὡρμημένοι τινὲς παρήνεσαν γράφειν, Ἀνὰ λόγον, καθὰ φέρεται παρὰ Διογένει τῷ Λαερτίῳ (Βιβλ. Η. τμ. 33), ἢ Ἀνάλογον, ὡς ἀλλαχοῦ (Συμποσιακ. Η, β') τῶν Πλουτάρχου. — Στ. 21, Μεσογράφους.) Μεσολάβους γράφειν παραινοῦσί τινες, οὐδὲν δέον· τὸ γὰρ Μεσόλαβον, ἢ Μεσολάβιον αὐτό ἐστι τὸ μαθηματικὸν ὄργανον, ᾧ Ἐρατοσθένης

ἐχρήσατο εἰς τὸν τοῦ κύβου διπλασιασμόν. — Γραμμῶν.) Ἐξ Η. Δ. (ἡ συνάδει καὶ Ἀμιότος), ἀντὶ τοῦ, Γραμμάτων. — Στ. 26, Βαναυσουργίας.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Βαναύσου ἀργίας.

ΣΕΛΙΔ. 215, στ. 1, Ῥώμη.) Ἴσ. γρ. Ῥύμη, ὅ ἐστιν Ὁρμή, ἐξενεχθεὶς δηλονότι ὑπὸ τῆς κατὰ τὴν ἀπόδειξιν ῥύμης εἰς τὸ νεανιεύσασθαι. — Στ. 5, Πορισάμενος.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Πριάμενος. — Στ. 9, Μηχανήματος.) Λείπει ἔν τισιν ἡ λέξις· καὶ περιαιρετέαν εἶναι ἀπεφήναντο οἱ πρὸ ἡμῶν, ὡς συνυπονοουμένην κατ' ἔλλειψιν. — — Καὶ ὥσπερ.) Περιαιρετέος ὁ, Καὶ, ὃν οὐδ' ὁ Ἀμιότος ἐξέφρασε. — Στ. 18, Μηδὲν ἂν ἀνθέξειν.) Καλῶς ἂν προσέκειτο ὁ δυνητικὸς, εἰ κατ' ἀόριστον ἐκπέφραζο τὸ ἀπαρέμφατον, οἷον, Μηδὲν ἂν ἀντισχεῖν. Γράφε τοίνυν, Μηδὲν ἀνθέξειν, μεμνημένος τῶν ἀλλαχοῦ (Ἰσοκράτ. Β. σελ. 124 καὶ 186) σεσημειωμένων. — Στ. 19, Σχάσαντος.) Χαλάσαντος, ἀφέντος. — Στ. 26, Ἢ ῥόμασιν εἰκασμένοις γεράνων.) Ἀμιότος ἐξέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Καὶ ἀγκίστροις, ῥόμασιν εἰκασμένοις γεράνων. Ἴσως ἡ γνησία γραφὴ ἦν, Καὶ ῥόμασιν εἰκασμέναις γεράνων, τουτέστι, Χερσὶ σιδηραῖς, εἰκασμέναις στόμασι γεράνων — Στ. 27, Ἐβάπτιζον.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀνεβάπτιζον. — Στ. 28, Περισρεφόμεναι.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἐπισρεφόμεναι. — Πεφυκόσι.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Εἰσπεφυκόσι.

ΣΕΛΙΔ. 216, στ. 4, Περιολίσθοι.) Ἐξ Η. Δ. κατὰ δεύτερον ἀόριστον εὐκτικὸν, ἀντὶ τοῦ, Περιολισθῇ. — Στ. 8, Οἱ μέν.) Ἐκ τοῦ ἀναπαιστικοῦ τούτου Μέν, ἐξερρύηκέναι τι τοῦ χωρίου εἴκασαν οἱ πρὸ ἡμῶν. — Αὐτῆ.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Αὐτῆς. Φέρεται δὲ πρὸς τὸ Σαμβύκῃ. Ἔχοι δ' ἂν καὶ τὸ, Αὐτῆς, πρὸς τὸ Μηχανῆς φέρεσθαι καθ' ὑπερβιβασμὸν, Οἱ μὲν ἐμπεσόντες... αὐτῆς τῆς μηχανῆς τήν τε βάσιν συνηλόησαν κ. τ. λ. — Στ. 10, Γόμφωμα.) Τὴν διὰ τῶν γόμφων, τουτέστι τῶν ἥλων, σύνδεσιν καὶ σύμπηξιν. — Στ. 15, Ποιήσεσθαι.) Ἐκ Δ. Γ. συναδούσης Ἀμιότῳ, ἀντὶ τοῦ Ποιήσασθαι. Ἔχει δέ τινα τὸ χωρίον ἀσάφειαν· ὁ νοῦς, Τοὺς γὰρ τόνους οἷς ἐχρῆτο Ἀρχιμήδης, πέρα τοῦ δέοντος ῥωμαλέους ὄντας, ᾤοντο οἱ περὶ τὸν Μάρκελλον ποιήσεσθαι ὑπερπετεῖς τὰς ἀφέσεις τῶν βελῶν· τουτέστιν, Ἀπὸ τόνων ἄγαν ἰσχυρῶν ἀφιέμενα τὰ βέλη, ᾤοντο μὴ κατ' αὐτῶν, ἀλλ' ὑπὲρ αὐτοὺς πεσεῖσθαι. — Στ. 16, Ἐγγύθεν.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐντεῦθεν. — Εἶναι.) Ἄμεινον Ἀμιότος, Ἔσεσθαι. — Στ. 17, Καὶ ἐπὶ ταῦτα.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προσέθηκαν τὸν σύνδεσμον. — Στ. 19, Δοκοὺς οὐ μεγάλας.) Ἐκ Δ. Γ. καὶ Ε. Δ. ἀντὶ τοῦ, Διάδοχος

οὐ μέγας. — Διὰ πολλῶν.) Ἐξ Ε. Δ. ἡ προσθήκη τῆς προθέσεως. — στ. 20, Τρημάτων.) Ἐξ Ε. Δ. ᾗ συνάδει καὶ Πολύβιος (Τόμ. Γ, σελ. 19, τῆς τελευτ. ἐκδ.), καὶ ἡ Ἀμιότου μετάφρασις, ἀντὶ τοῦ τραυμάτων.—Ἐγγύθεν.) Ἐξ Ε. Δ. καὶ τοῦ Ἀμιότου οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐντεῦθεν.—στ. 23, Καὶ πληγαῖς.) Ἐκ διορθώσεως συναδούσης Ἀμιότῳ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ ἀσυνδέτου κατ' ὀνομαστικὴν, Πληγαί. —Ἐκ κεφαλῆς.) Γράφε Κατὰ κεφαλῆς.—στ. 24, Τοῦ δὲ τείχους.) Ἐκ διορθώσεως προσετέθη ὁ σύνδεσμος ὑπὸ τῶν πρὸ ἐμοῦ.

ΣΕΛΙΔ. 217, στ. 2, Ἀπέφυγε.) Δ. Γ. Ἀπέφευγε.—στ. 5, Κυαθίζων.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Καθίζων. Τὸ δ' ὅλον χωρίον ἴσως καὶ ἑτέρων χρῄζει διορθώσεων, ἃς ἐδίδαξαν οἱ πρὸ ἡμῶν, τὰς μὲν ἐκ Δ.Γ., τὰς δὲ ἐκ τοῦ Πολυβίου (Η, ή, Τόμ. Γ, σελ. 21, τελευτ. ἐκδ.) καὶ τοῦ Ἀθηναίου (ΙΔ, σελ. 634) ἀναλεξάμενοι, οἷον, "Ὃς ταῖς μὲν ,, ναυσὶν ἡμῶν κυαθίζει ἐκ τῆς θαλάττης, τὴν δὲ σαμβύκην ῥαπίζων ,, μετ' αἰσχύνης ἐκβέβληκεν,, καθὰ σχεδὸν ἡρμήνευσε καὶ ὁ Ἀμιότος. —στ. 10, Τῆς πόλεως.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τοῖς πολεμίοις.—στ. 22, Εἰς ἐκεῖνα.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ προστεθείκασι τὴν πρόθεσιν.

ΣΕΛΙΔ. 218, στ. 3, Παρίσταται.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περιίσταται. — στ. 4, Ἄγει.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἄγειν.—στ. 6, Ἐλέλιξο καὶ σίτου.) Γράφε, Ἐλέλιξο ποτοῦ καὶ σίτου, ὡς ἡρμήνευσεν ὁ Ἀμιότος. — Θεραπείας.) Αἰτιατικὴ πληθυντικὴ, οὐ γενικὴ ἑνική.—στ. 8, Ἐν ταῖς ἐσχάραις.) Ἐπὶ τῆς τέφρας τῆς ἐν ταῖς ἐσχάραις, τουτέστιν ἐσίκιις, τοῦ πυρός.—στ. 18, Εἶλε.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ἥρε.—στ. 19, Ἀκίλας.) Ἀκρίλλας ἕτεροι γράφουσιν, ἐκ τοῦ Λιβίου (ΚΔ, 35). Ἄμεινον δὲ κατὰ δοτικὴν, Ἀκρίλλαις.—στ. 22, Μάχαις ἐνίκησε πάσαις.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μάχας ἐνίκησε πάσας.—στ. 23, Δάμιππον.) Δ. Γ. ἐκ τοῦ Λιβίου, Δαμάσιππον.—στ. 27, Οὐκ ἀμελῶς.) Ἐξ Η. Δ. προσέθη ἡ ἄρνησις, καίπερ λείπουσα καὶ παρὰ τῷ Πολυαίνῳ (Στρατηγημ. Η, Μ, σέλ. 256, ἐμ. ἐκδ.) Ἐπιθι τὸν Λίβιον (ΚΕ, 23).

ΣΕΛΙΔ. 219, στ. 7, Μένοντος.) Ἴσ. γρ. Μεινάντος, ὡς καὶ Ἀμιότος ἐξέφρασε.—στ. 9, Διὰ τό.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ, Καὶ διὰ τό. Οὕτω δὲ καὶ Ἀμιότος δίχα συνδέσμου.—Ἧς τὸ μὲν Νέαν κ. τ. λ.) Ἧς ἐξωτέρας πόλεως, τὸ μὲν κ. τ. λ. ὥσπερ Ἀμιότος ἡρμήνευσε. Τῷ δὲ Νέαν προσυπάκουε τὸ Πόλιν, ἣν ἐνὶ ὀνόματι Κικέρων (Πρὸς Οὐήρρ. Δ, 53) Νεάπολιν ὀνομάζει.—στ. 11, Ἅμα φάει διὰ τῶν.) Ἐξ Ε. Δ. αἱ

πρὸ ἡμῶν, ἀντὶ τοῦ, Ἅμα φαιδεία τῶν. Δ Γ. Ἅμα φωτὶ διὰ τῶν.—στ. 15, Σχῆμα.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Σχήματος.—στ. 16, Ὑπό.) Ἐκ Δ. Γ. οἱ αὐτοὶ ἀντὶ τοῦ, Ἀπό. — στ. 20, Ἄκων βιασθείς.) Οὐκ ἀπιθάνως γράφειν τινὲς παρήνεσαν, Ἄκων καὶ βιασθείς. —στ. 26, Ὅμως.) Ἴσ. γρ. Ὅλως.

ΣΕΛΙΔ. 220, στ. 12, Καταλείπῃ.) Γράφε, Καταλίπῃ. — στ. 15, Σκιόθηρα.) Ἐπιθι τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (Β, σελ. 312). —στ. 24, Δικαιοτέρους.) Αὐτῶν τῶν Ἑλλήνων δηλονότι, ὡς ἡρμήνευσεν Ἀμιότος.—στ. 26, Ἔνναν.) Ἐκ Δ. Γ. καὶ τοῦ Λιβίου οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Αἴτναν.

ΣΕΛΙΔ. 221, στ. 10, Καὶ παραφυλαττόμενον.) Ἡ μὲν τοῦ συνδέσμου περιαίρεσις ἐξ Η. Δ. τὸ δὲ Παραφυλαττόμενον ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Παραφυλαττόμενος. — στ. 15, Ἦν μὲν ἐκκλησία.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἦν μὲν ἡ ἐκκλησία. — Στ. 26, Φεισάμενος.) Ἐξ Η.Δ. ἀντὶ τοῦ, Χρησάμενος.—στ. 28, Ἱκέτις.) Ἐξ Ε.Δ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἱκέτης.

ΣΕΛΙΔ. 222, στ. 3, Ὁ δὲ Νικίας... ἀπὸ τῶν ἐχθρῶν ἀρξάμενος.) Ἀγαθὸς ἐν τοῖς μάλιστα ὁ Νικίας τὴς ἀρετῆς· καὶ χάρις πολλὴ τῷ Ποσειδωνίῳ, ἀνδρὸς πρᾶξιν, πολὺ τὸ ἀνεξίκακον πολλῷ τῷ φρονίμῳ συγκαταμίξαντος, ἀνιςόρητον μὴ καταλιπόντι.—στ. 12, Οὐδ' ἦν... γλαφυρὸν ἀγαπώμενον.) Ἐξ Η.Δ. ἡ περιαίρεσις τοῦ δευτέρου Καί. Ὁ νοῦς, Οὐδ' ἠγαπᾶτο πρότερον ἐν τῇ Ῥώμῃ τὸ χάριεν τοῦτο καὶ γλαφυρόν.—στ. 16. Δειλῶν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Δειλόν.—στ. 19, Βαθυπολέμου κ. τ. λ.) Ἐκ τῆς ἀρχῆς τοῦ δευτέρου εἴδους τῶν Πυθίων Πινδάρου.—στ. 21, Ἡδονὴν ἐχούσαις καὶ χάριν Ἑλληνικὴν καὶ πιθανότητα διαποικίλας ὄψεσι τὴν πόλιν.) Οὕτως ἔγραψα ἀντὶ τοῦ, "Ἡδο-,, ναῖς ἐχούσαις καὶ χάριν Ἑλληνικὴν καὶ πιθανότητα διὰ ποικιλίαν ,, ὄψεσι τὴν πόλιν κοσμήσας ,, , περιελὼν μὲν ἐκ Δ.Γ. τὸ Κοσμήσας, τρέψας δ' ἐκ τῶν αὐτῶν, τὸ, Διὰ ποικιλίαν, εἰς τὸ, Διαποικίλας, καὶ τὸ, Ἡδοναῖς, εἰς τὸ, Ἡδονήν. Τὸ ἑξῆς, Διαποικίλας τὴν πόλιν ὄψεσιν ἐχούσαις ἡδονὴν καὶ χάριν Ἑλληνικὴν καὶ πιθανότητα.— στ. 22, Τοῖς πρεσβυτέροις.) Τοῖς ἐκ τῆς βουλῆς, τοῖς γερουσιασταῖς, ἀντιδιεσαλμένως πρὸς τὸν Δῆμον (οἱονεὶ κατὰ λέξιν ἐκφράσας τὸ Ῥωμαϊκὸν ὄνομα Senatoribus)· οὐ τοῖς ἡλικίᾳ προβεβηκόσιν, ὡς ἐξεδέξαντο οἱ μεταφρασταί.

ΣΕΛΙΔ. 223, στ. 3, Φαῦλον ἄκομψον, τὰ μέγις' ἀγαθόν.) Ἔγραψα, καθὰ φέρεται καὶ ἐν τῷ Κίμωνος βίῳ (§ 4), καὶ παρὰ Διογένει

τῷ Λαερτίῳ (Γ, 63), ἀντὶ τοῦ, Φαῦλον, ἄκομψον ὄν, τὰ μέγιστά τε ἀγαθόν. Τὸ δὲ Φαῦλον ὧδε ἐπὶ τοῦ ἁπλοῦ καὶ ἀπονήρου τὸ ἦθος τέτακται, καθὰ καὶ ὁ προϊρηθεὶς Λαέρτιος ἐσημειώσατο, καὶ ὁ Σουίδας (λέξ. Εἰδέα). — στ. 11, Ὁ τρίτος.) Δ. Γ. Ὁ πρῶτος· ὁ δὲ Λατῖνος μεταφραστής, Ὁ δεύτερος. — στ. 12, Ἐξελάσαι.) Ἴσ. γρ. Ἐλάσαι.—στ. 13, Ὅβαν.) Ἀκριβέστερον ἂν εἶπεν, Ὀβατίωνα, ἢ Οὐατίωνα, παρὰ τὸ τῶν Ῥωμαίων Ovatio.—στ. 27, Μέλος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Μέρος. — στ. 28, Καὶ πολέμοις.) Ἐξ Ε. Δ. προσέθηκαν τὸν, Καὶ, οἱ πρὸ ἐμοῦ.—στ. 29, Ὀνομάζεται.) Ὠνομάζετο, γεγράφθαι πάλαι τινὲς ὑπενόησαν.—Καὶ γὰρ ἐκεῖνον.) Γράφε, Καὶ γὰρ κἀκεῖνον, πλὴν εἰ μὴ κἀνταῦθα καθ' ὑπερβιβασμὸν εἰρῆσθαί τις ὑπολάβοι, ἀντὶ τοῦ, Κἀκεῖνον γάρ. Ὁ νοῦς (ὃν οὐδέτερος τῶν μεταφραστῶν συνῆκεν), Ὁ ἐλάττων Ἰριαμβος οὐ παρὰ τὸν εὐασμὸν ἐκλίθη Ὄβας (καὶ γὰρ καὶ τὸν μέγαν Ἰριαμβον εὐάζοντες παραπέμπουσιν), ἀλλὰ κ. τ. λ.—στ. 30, Ἐφευάζοντες.) Ἴσ. γρ. ἀπροθέτως, Εὐάζοντες· εἰ δὲ μετὰ προθέσεως, ὤφειλεν εἶναι, Ἐπευάζοντες, πλὴν εἰ μή τις τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι νομίζοι τὴν θασύτητα, ὡς καὶ τὸ παὶ Ἡλιοδώρῳ (Β. σελ. 80) Ἐφαμήσας, ἀντὶ τοῦ Ἐπαμήσας, καὶ τὸ παὶ ἡμῖν Μεθαύριον, ἀντὶ τοῦ Μεταύριον.

ΣΕΛΙΔ. 224, στ. 5, Ὄβα.) Λείπεται καὶ τοῦτο τῆς ἀκριβείας· ὤφειλε γὰρ εἶναι Ὄβες, ἢ Ὄουες (Ῥωμαϊστὶ Oves), παρὰ τὴν εὐθεῖαν Ovis, οὐδενὶ διαφέρουσαν τῆς Ἑλληνικῆς εὐθείας, Οἷς ἢ Οἶς, πλὴν τῇ παρενθήκῃ τοῦ δίγαμμα· Ὄβα δὲ, ἢ Ὄουα, εἶεν ἂν παρ' ἐκείνοις τὰ Ὠά, Ova, παρὰ τὴν Εὐθεῖαν Ovum.—στ. 7, Τῷ Ῥωμαϊκῷ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προσέθηκαν τὸ ἄρθρον.—στ. 22 Ἐχρημάτιζεν.) Ἴσ. γρ. Ἐχρημάτισεν, ὡς ἡρμήνευσεν Ἀμιότος.—στ. 27, Καὶ τὸ ἐν τοῖς ὅπλοις.) Γράφε μηδὲν μελλήσας ἀρσενικῶς, Καὶ τὸν ἐν τοῖς ὅπλοις.—στ. 29, Καὶ παραθαῤῥυνόντων.) Περιέγραψα τὸν, Καὶ, ὡς περιττόν.

ΣΕΛΙΔ. 225, στ. 6, Οὕτω.) Τουτέστι, κατὰ κράτος.—στ. 9, Τυράννους.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Τυραννοῦντας (Δ. Γ. Τυραννοῦσι).—στ. 10, Ὥσπερ εἰῶθεν.) Ἀπροσώπως ὧδε ἐπὶ τοῦ, Ὥσπερ ἔθος καθέστηκε· καὶ καταχωριζέσθω ἐν τοῖς Λεξικοῖς ἡ χρῆσις.—στ. 15, Διενέχθησαν αἱ γνῶμαι.) Αἱ ψῆφοι δηλονότι. Διενεγκεῖν γνώμην, ὡς τὸ Διενεγκεῖν ψῆφον, ὅπερ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 234) ἐσημειώθη.—στ. 17, Τὴν ὀργὴν εἰς αὐτοὺς ἀφεῖναι.) Τῆς φερομένης γραφῆς, Τὴν ὀργὴν τὴν εἰς αὐτοὺς ἀφιέναι, τὸ μὲν δεύτερον ἄρθρον περιῃρέθη

ἐξ Ε.Δ. τὸ δ' Ἀφιέναι (Δ. Γ. Ἐφιέναι) ἐτράπη ἐξ Η.Δ. εἰς τὸ Ἀφεῖναι. Ἔστι δὲ τὸ, Ἀφεῖναι τὴν ὀργήν, ἢ ὡς ἕτεροι ἔφρασαν (Πρόδρ. Ἑλλην. Βιβλιοθ. σελ. 282), Ἀφεῖναι τὴν χολήν, ταὐτὸν τῷ ἐν τῇ συνηθείᾳ, Νὰ ἐκβάλῃ τὸν θυμόν, τουτέστιν, Ὅλῳ τῷ θυμῷ κατά τινος χρήσασθαι·

ΣΕΛΙΔ. 226, στ. 3, Οὐ καλῶς ἐκείνης ἰᾶσθαι τὸ νόσημα, τῆς πατρίδος περιμένοντα τῇ ῥώμῃ μαραινομένῃ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ Ἐκείνης, ἔγραψαν (πρὸς τὸ Ἰταλίας) ἀντὶ τοῦ, Ἔχειν· μετέθηκαν δὲ μετὰ τὸ, Νόσημα, τὴν μετὰ τὸ, Πατρίδος, στιγμὴν καὶ ἔτρεψαν τὸ κύριον ὄνομα, Ῥώμη, εἰς τὸ προσηγορικὸν, ῥώμη.—στ. 7, Τὴν τῆς δυνάμεως ἐξανάλωσιν ἡγουμένους.) Ἐξ Ἀμιότου οἱ πρὸ ἐμοῦ (πλὴν τοῦ πρώτου ἄρθρου) ἀντὶ τοῦ, Τῆς δυνάμεως ἐξαναλώσειν ἡγούμενος. —στ. 14, Χαράν.) Ἐξ Ε. Δ. (συνῳδοῦ τῷ Τίτῳ Λιβίῳ KZ, 2) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Χώραν. — στ. 22, Καὶ καταβάντος.) Ἐξ Ε. Δ. περιεῖλον τὸν σύνδεσμον.—στ. 30, Πλεῖον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Πλεῖστον.

ΣΕΛΙΔ. 227, στ. 2, Ἀπάγειν.) Ἐκ διορθώσεως συναδούσης Ἀμιότῳ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑπάγειν.—στ. 4, Φούλβιον.) Ἐξ Ε. Δ. (ᾗ συνᾴδει καὶ ὁ Τίτος Λίβιος, καὶ ἡ Ἀμιότου μετάφρασις) ἀντὶ τοῦ, Φάβιον. — στ. 7, Δίκερε.) Ῥωμαϊστὶ Dicere, καὶ τοῦτο δὲ, παρὰ τὸ Ἑλληνικὸν, Δίκη, κυρίως μὲν τὸ Δικολογεῖν, τουτέστιν ἐν δικαστηρίῳ λέγειν, ἐσήμαινε, μετηνέχθη δ' ὕστερον καὶ ἐπὶ τοῦ ἁπλῶς Λέγειν, καθὰ καὶ τὸ παρ' Ἕλλησιν Ἀγορεύειν, καὶ τὸ Δημηγορεῖν, καὶ τὸ ἁπλῶς Λέγειν σημαίνει.—στ. 9, Προστάττειν.) Δ.Γ. Προσάττειν καὶ λέγειν.—στ. 14, Λέγειν.) Ἐξ Η.Δ. ᾗ συνᾴδει καὶ Ἀμιότος, ἀντὶ τοῦ, Λαβεῖν.— στ. 17, Εἰπεῖν.) Ἀνειπεῖν, γραπτέον εἶναι οὐκ ἀλόγως ὑπέλαβέ τις τῶν πρὸ ἡμῶν.—στ. 22, Ἐπέβαλε.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἐπέβαλλε. Ἔστι δὲ, Ἐπορεύθη πρὸς τὸν Ἀννίβαν, ὡς ἡρμήνευσεν Ἀμιότος, (l' alla trouver), ἢ ἀκριβέστερον, Ὑπήντησε τῷ Ἀννίβᾳ· καὶ γὰρ μεταφράζειν ἔοικεν ἐνθάδε Πλούταρχος τὸ τοῦ Λιβίου (KZ, 12). Ad Canusium Hannibali occurrit. — στ. 24, Ἱδρυθέντα.) Δ. Γ. Ἱδρυνθέντα.

ΣΕΛΙΔ. 228, Ἓν τῶν ταγμάτων.) Προσέθηκα τὴν πρώτην λέξιν ἐξ Ἀμιότου.—στ. 13, Ἀπὸ τῆς μάχης.) Ἐξ Ε. Δ. Ἀντὶ τοῦ, Ἐπὶ ταῖς μάχαις. — στ. 17, Ἠτιμασμέναι.) Δ. Γ. Ἡττημέναι· ὥσπερ καὶ ὁ Λίβιος (KZ, 18). A quibus orta pridie fuga esset, etc. — στ. 20, Χρήσεταί τις.) Δ. Γ. Χρήσαιτό τις.— στ. 24, Τὸ θαρρεῖν.) Ἐκ Δ. Γ. προσέθηκαν τὸ ἄρθρον οἱ πρὸ ἐμοῦ. Ὁ νοῦς, Ὦ Μαρκέλλῳ,

καὶ τὸ θαῤῥεῖν, ἡνίκα εὐτυχεῖ, καὶ τὸ αἰδεῖσθαι, ἡνίκα σφάλλεται, γίνονται πρόφασις τοῦ τολμᾶν ἀεί." Ἄλλως· Ὃς καὶ νικῶν, τολμᾷ αὖθις μάχεσθαι, διὰ τὸ ἐκ τῆς νίκης θάρσος, καὶ ἡττώμενος, διὰ τὴν ἐκ τῆς ἥττης αἰσχύνην.—στ. 27, Ἐπάγειν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐξάγειν. Ἑτέρα Δ. Γ. Ἐνάγειν.

ΣΕΛΙΔ. 229, στ. 12, Σινοέσσῃ.) Οὐενουσίᾳ, γράφειν τις παρήνεκεν ἐκ τοῦ Λιβίου (KZ, 21). Ταύτην δ' ὁ Πλούταρχος ἐν τοῖς ἑξῆς (§ 29, σελ. 231) Βεννσίαν ὀνομάζει.—στ. 14, Ἀπέῤῥηξεν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀπέῤῥιψεν. Ἔπιθι τὸν Ἡλιόδωρον (B, σελ. 35). — στ. 24, Ἀπολογησόμενος.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐπαπολογησόμενος.

ΣΕΛΙΔ. 230, στ. 2, Μὴ μάχεσθαι στρατηγῶν.) Σημειοῦ τὴν σύνταξιν παρατιθεὶς τὴν σημειωθεῖσαν ἐν τῷ Πολυαίνου Πίνακι (λέξ. Στρατηγέω).—στ. 16, Ἔχον κεφαλήν.) Ἐξ Η. Δ. ἀντὶ τοῦ. Ἐκ κεφαλῆς. Δ. Γ. Μετὰ κεφαλῆς.—στ. 17, Καὶ περιγενέσθαι· καὶ περὶ τὰς ἐκθύσεις καὶ ἀποτροπὰς δυσιεροῦντες οἱ μάντεις κατεῖχον.) Ἐξ Η. Δ. συνῳδοῦ τῷ Ἀμιότῳ, ἀντὶ τοῦ γραφομένου καὶ στιζομένου ἀδιανοήτως, "Καὶ περιγενέσθαι περὶ τὰς ἐκχύσεις καὶ ἀποτροπὰς δυσιεροῦντας. ,, Οἱ δὲ μάντεις κατεῖχον,, . Ὁ νοῦς, Καὶ ζῆσαι· καὶ οἱ μάντεις, μὴ καλοῖς χρώμενοι τοῖς ἱεροῖς περὶ τοὺς ἐξιλασμοὺς καὶ τὰς ἀποπομπὰς τῶν κακῶν, οὐκ εἴων τὸν Μάρκελλον ἐξελθεῖν τῆς Ῥώμης.—στ. 23, Ἐντός.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ἐνός.—στ. 25, Ὑπῆρχε.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ὑπῆρξε.

ΣΕΛΙΔ. 231, στ. 5, Κατὰ τὸν περὶ Πετηλίαν.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Καὶ τὸν περὶ Πετηνάν.—στ. 13, Ἐνστρατοπεδεῦσαι.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τῷ στρατοπεδεῦσαι. — στ. 19, Διεστρατήγουν.) Πολυπραγμόνως ἅπερ ἐχρῆν τὸν στρατηγὸν αὐτοὶ ἐβουλεύοντο.—στ. 21, Ἔδοξεν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἔδεεν.

ΣΕΛΙΔ. 232, στ. 4, Ἀρετῆς.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ Ἀρχῆς. Δ. Γ. Μάχης. Οἱ πρὸ ἡμῶν ἐξ Ε. Δ. Ἀλκῆς.—στ. 9, Προσελθεῖν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Προσεξελθεῖν.—στ. 11, Ὑφισαμένοις.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ Ἐφισαμένοις. — στ. 16, Λαγκίαν.) Τὸ Lancea (ὅθεν τὸ τῶν Γαλατῶν Lance) τοὺς Ῥωμαίους οἱ μὲν ἐκ τῆς παλαιᾶς τῶν Ἰβήρων, οἱ δὲ, ἐκ τῆς τῶν Γάλλων φωνῆς παρειληφέναι φασίν· εἰσὶ δ' οἳ καὶ παρὰ τὴν Ἑλληνικὴν λόγχην παρῆχθαι τοὔνομα ὑπειλήφασι.

ΣΕΛΙΔ. 233, στ. 19. Ἀστήρ.) Δ. Γ. Ἀστός. — στ. 21, Ὑπάταν.)

Δ. Γ. Ὑπάτων. — Στ. 22, Καὶ πολὺν κ. τ. λ.) Ἀσυνάρτητος οὗτος ὁ στίχος πρὸς τοὺς προτέρους.

ΣΕΛΙΔ. 234, στ. 14, Ταὐτά.) Ἐκ διορθ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Ταῦτα. — Στ. 17, Κρυφαίῳ δὲ σὺν λόγῳ.) Δ. Γ. Κρυφαῖον δὲ σὺν λόχῳ. Ἴσ. γρ. Κρυφαίαν δὲ καὶ σὺν δόλῳ, πρὸς τὸ Πρᾶξιν· ἢ, Κρυφαίῳ δὲ σὺν δόλῳ, ὅπερ εἴη ἂν ἐκ ποιητοῦ τινος μεμιμημένον, οἷα φιλεῖ Πλούταρχος. Αὐτίκα Εὐριπίδης (Ῥήσ. 91),

Τί δ' ἐστι; μῶν τις πολεμίων ἀγγέλλεται
ΔΟΛΟΣ ΚΡΥΦΑΙΟΣ ἑξάναι κατ' εὐφρόνην;

πλὴν εἰ μή τις καὶ παὸ Εὐριπίδῃ, Δόχος, ἀντὶ τοῦ Δόλος γραπτέον εἶναι ὑπολάβοι, καθὰ καὶ ἀλλαχοῦ (Ῥησ. 561) ὁ Τραγικὸς Κρυπτὸν λόχον, εἴρηκε. — Στ. 19, Οἴαν.) Δ. Γ. Οἷς. — Στ. 22, Ῥωμαίοις.) Προσέθηκα τὴν λέξιν ἐκ Δ. Γ. — Στ. 23, Ἐνδοῦναι μέντοι τούτους Πελοπίδᾳ.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ἀντὶ τοῦ, Ἐνδοῦναι μὲν τούτοις δὲ Πελοπίδας. Τὸ δὲ Τούτους, πρὸς τὸ Λακεδαιμονίους.

ΣΕΛΙΔ. 235, στ. 7, Ψευδόπτωμά τι.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ψεύδωμά τι. Ὁ νοῦς, Οὐκ ἀληθὴς καὶ γνησία ἥττα ἐτύγχανεν οὖσα, εἴ ποτε ἡττᾶτο Ἀννίβας ὑπὸ Μαρκέλλου, ἀλλ' ἐφ' ᾧ ψευδεῖ πτώματι, μεθ' ὃ ἐγειρόμενος αὖθις Ἀννίβας, φοβερώτερος Ῥωμαίοις ἐγίνετο. Ἐπιθι τὸν Σχολιαστὴν Ἀριστοφάνους (Ἱππ. 568). — Στ. 15, Ἀμφισβητοῦν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἀμφισβητοῦντα. — Στ. 18, Αἰδεῖσθαι.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἀρνεῖσθαι.

ΣΕΛΙΔ. 236, στ. 2, Ἀντιταξάμενος.) Δ. Γ. Ἀντιπαραταξάμενος, — Μεταβαλών.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Μεταλαβών. — Στ. 8, Τῇ Παιδείᾳ.) Τῇ Κυροπαιδείᾳ τοῦ Ξενοφῶντος (Δ. ά). — Στ. 13, Εἰ δὲ θανεῖν θέμις, θανεῖν εἰς κ. τ. λ.) Ἀντὶ τοῦ, Καὶ ἀποθανεῖν εἰς, ἔγραψα οὕτως, τὰς μὲν πρώτας τρεῖς λέξεις ἐκ Δ. Γ. εἰληφὼς, τὰς δὲ ἑπομένας δύο (θέμις, θανεῖν) ἐξ ὧν ἀλλαχοῦ (Πῶς δεῖ τὸν νέον Ποιημ. ἀκ. § 6) γέγραφε Πλούταρχος, αὐτὴν ταύτην τὴν Εὐριπίδειον παρατιθέμενος ῥῆσιν. — Στ. 16, Πρὸς δὲ τῷ θυμῷ κ. τ. λ.) Ὁ νοῦς, πρὸς δὲ τῷ θυμῷ ἐπεσπάσπατο οὐ παντάπασιν ἀλόγως τὴν ὁρμὴν τοῦ Πελοπίδου καὶ τοῦτο, ὅτι ἑώρα τὸ τέλος τῆς νίκης ἐν αὐτῇ τοῦ τυράννου τῇ πτώσει· ὡς καὶ Ἀμιότος ἐδεδέξατο. — Στ. 18 Χαλεπὸν γάρ.) Ἴσ. γρ. Χαλεπὸν γάρ ἦν, ὡς ἡρμήνευσεν Ἀμιότος. — Στ. 29, Παραναλῶσθαι.) Δ. Γ. Παρεναλωθῆναι.

ΑΡΙΣΤΕΙΔΗΣ.

ΣΕΛΙΔ. 239, στ. 1, Τὸν δὲ δῆμον.) Δ. Γ. Τῶν δὲ δήμων.—στ. 7, Λεγόμενον.) Δ. Γ. Γενόμενον.

ΣΕΛΙΔ. 240, στ. 3, Περσικῶν.) Δ. Γ. Μηδικῶν, ὡς καὶ Ἀμιότος. —Τελευτήν.) Δ. Γ. Ἀρχήν, ὡς καὶ Ἀμιότος.—στ. 11, Λόγου.) Δ. Γ. Πλούτου.—στ. 18, Ἧς.) Πρὸς τὸ Ἀρχῆς, δυνάμει περιεχόμενον ἐν τῷ, Ἦρξεν.—Λαγγάνοντες.) Ἐξ Ε.Δ. ἀντὶ τοῦ Λαμβάνοντες. —στ. 21. Τὴν οἰκείαν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τὴν οἰκίαν.

ΣΕΛΙΔ. 241, στ. 6, Χῖος.) Δ. Γ. Κεῖος: Κῖος, τουτέστιν ἐκ τῆς νήσου Κέω. Ὁποτέρα τῶν γραφῶν ἐστιν ἡ γνησία τοσούτῳ χαλεπώτερον εἶναι διαγνῶναι ἐσημειώσατο ὁ πρὸ ἐμοῦ, ὅσῳ γε δύω ἱστόρηνται Ἀρίστωνες γεγονέναι, ὁ μὲν Χῖος, ὁ δὲ Κεῖος. Προελοίμην ὅμως ἂν ἔγωγε τὴν γραφήν, Κεῖος.—στ. 8, Κεῖος.) Τὸν δὲ Στησίλεων τοῦτον ἐν Θεμιστοκλεῖ (Πλουτάρχ. Μέρ. Α, σελ. 207, § 3) οὐ Κεῖον, ἀλλὰ Τήϊον ἔφη γεγονέναι.—στ. 16, Εἰς τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον.) Ἄμεινον ἐξέφρασε τοῦτο ἀλλαχοῦ (Πολιτ. παραγγέλμ. § 13), "Εἰς τοιοῦτον ἐγὼ καθίσαιμι θρόνον ,,.—στ. 31, Ὁρῶν.) Δ.Γ. Ἰδὼν (ἐξ ἀμείνονος ἴσως γραφῆς τῆς, Εἰδώς).—στ. 29, Παρελθεῖν... τῷ δήμῳ.) Τουτέστιν, Ἀμελῆσαι τινὰ τῶν συμφερόντων τῷ δήμῳ. Δ. Γ. Παρελθεῖν . . . τὸν δῆμον, τουτέστι, Λαθεῖν τὸν δῆμον τινὰ τῶν ἑαυτῷ συμφερόντων, ὡς ἐσημειώσαντο οἱ πρὸ ἡμῶν.

ΣΕΛΙΔ. 242, στ. 4, Βάραθρον.) Ἐπιθι τὰ σημειωθέντα εἰς τὸν Ἡλιόδωρον (Μέρ. Β, σελ. 26).—στ. 13, Οὐ χρημάτων κ. τ. λ.) Ἄνευ τοῦ ἐλπίζειν χρήματα, ἢ δόξαν, μισθὸν λήψεσθαι τῶν πεπολιτευμένων, καθάπερ ἡρμήνευσεν Ἀμιότος.— στ. 15, Ὑπ' Αἰσχύλου. Ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις (στίχ. 594-596). — στ. 17, Δίκαιος.) Παρ' Αἰσχύλῳ δὲ γράφεται Ἄριστος, καθὰ καὶ Πόρτος ἐσημειώσατο ὧδε, καὶ φέρεται ἐν τοῖς εἰς Πλούταρχον ἀναφερομένοις Ἀποφθέγμασι. —στ. 19, Ἀφ' ἧς.) Παρ' Αἰσχύλῳ δὲ, Ἐξ ἧς.

ΣΕΛΙΔ, 243, στ. 10, Τῶν προτέρων.) Ἴσ. γρ. Τὸ τῶν προτέρων. —στ. 22, Κατεστόμισε.) Δ. Γ. Ἐπεστόμισε· ὅπερ ἄμεινον, καὶ τῷ Πλουτάρχῳ συνηθέστερον, παρὰ τὸ, Ἐπιστομίζω, ἀνθ' οὗ καὶ τῷ, Ἐπιστομέω, ἀλλαχοῦ (Κατ. Νεωτέρ. § 38) ἐχρήσατο. Ἡ δὲ συνήθεια, Ἀποστομίζω, καὶ Ἀποστομόνω, φιλεῖ λέγειν.—στ. 26. Εἰς Μαρα-

Θῶνα... κατέσχε.) Κατέχειν, καὶ ἁπλῶς Ἔχειν εἴς τινα τόπον λέγονται οἱ πλωϊζόμενοι, ἐλλειπτικῶς τῆς αἰτιατικῆς, Νῆα, ἢ Πλοῖον, ὅπερ ἐστὶν ἐφιστάναι τὴν ναῦν καὶ κωλύειν τοῦ προσωτέρω πλοῦ. Ἔσθ' ὅτε δὲ οὐ τὸ, Νῆα, ἀλλὰ τὴν ἀντωνυμίαν Ἑαυτούς, προσυπακουσέον· καὶ γὰρ τὸ πλῆρες, οὐ μόνον Κατασχεῖν τὰς ναῦς, ἀλλὰ καὶ ταῖς ναυσὶν εὕρηται. Τοῦτο ἡ συνήθεια διὰ συνωνύμου ῥήματος τοῦ, Πιάζω, ἢ Πιάνω· (κατὰ τὸ Κραυγάνω ἀντὶ τοῦ Κραυγάζω), ἐκφράζει· ὅπερ γὰρ ὁ παρὰ τῷ Ἀριστοφάνει (Βατρ. 188) Διόνυσος, τὸν πορθμέα Χάρωνα ἐρωτᾷ,

. . . . . Ποῦ σχήσειν δοκεῖς;

ἡμεῖς οὐκ ἂν ἄλλως ἐκφράσαιμεν, ἢ διὰ τοῦ, Ποῦ ζοχάζεσαι νὰ πιάσῃς;—στ. 27, Τῶν δέκα καθεζώτων.) Ἐκ Δ. Γ. συναθροίσης Ἀμιότῳ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τῶν δὲ καθεζώτων. Ἑτέρα Δ. Γ. Δέκα δὲ καθεζώτων.

ΣΕΛΙΔ. 244, στ. 8, Παὸ ἡμέραν.) Ἐκ Δ. Γ. Ἀντὶ τοῦ, Καθ' ἡμέραν.—στ. 12, Λεοντίδης.) Δ. Γ. Λεοντίδος. — στ. 13, Ἀντιοχίδης.) Δ.Γ. Ἀντιοχίδος.—στ. 14, Ἐπὶ νήσων.) Πρὸς τὰς νήσους τοῦ Αἰγαίου πελάγους, οἵπερ ἔδει πλεῖν τοὺς διαβησομένους εἰς τὴν Ἀσίαν. —στ. 15, Ἀποβιαζομένους.) Δ. Γ. Ἀποβιβαζομένους. — στ. 20, Ἀργυρίου.)Γράφε, Ἀργύρου.—στ. 23, Θιγεῖν.) Ἐξ Η.Δ. Ἀντὶ τοῦ Θίγειν.—στ. 26, Στρόφιον.) Σημαίνει μὲν τὸ στρογγύλον ζωνάριον ὡς ἐξηγεῖται Φώτιος ἐν τῷ Λεξικῷ· πρὸς δὲ, καὶ τὸ στηθόδεσμον, ἢ περιμαστίδιον ζῶσμα τῶν γυναικῶν, ᾧ συνωνυμεῖ τὸ ἐν τῇ συνηθείᾳ Στηθόπανον, καὶ Στομαχόπανον, καὶ τὸ μίτρα καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, Στομαχικόν. Ἐνταῦθα δὲ τὸ κεφαλοδέσμιον τῶν ἱερέων, ὃ καὶ Κίδαριν, ὥσπερ καὶ τὴν βασιλικὴν τῶν Περσῶν μίτραν, ἐκάλουν (Ἡσύχ. καὶ Φώτ. λέξ. Κίδαρις). Καὶ σημειοῦσθαι ἐν παρόδῳ, ὅτι ἐν τῷ Πλουτάρχου (Μέρ. Α, σελ. 232, στ. 4 καὶ 11) Θεμιστοκλεῖ, ἀπροσεκτάσας οὐ διώρθωκα τὴν κοινῶς ἐν ἁπάσαις ταῖς ἐκδόσεσι φερομένην διὰ τοῦ θ Κίθαριν.

ΣΕΛΙΔ. 245, στ. 10, Ἐνδελεχεστάτην.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐντελεχεστάτην. Τοῦτο μὲν γὰρ ἂν εἴη πως, Ἐντελεστάτην· τὸ δὲ διὰ τοῦ δ, σημαίνει, Διηνεκεστάτην, συνεχεστάτην.—στ. 12, Τὸν δίκαιον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τὸ δίκαιον. — στ. 14, Πολιορκηταί.) Ὡς Δημήτριος ὁ Ἀντιγόνου.—Κεραυνοί.) Ὡς Σέλευκος ὁ τρίτος, καὶ τῶν ἐν Αἰγύπτῳ Πτολεμαίων ὁ δεύτερος. — Νικάτορες.) Δ. Γ. καὶ ὁ Ἀμιότος, Νικάνορες. Ἐπωνομάζετο δὲ Νικάτωρ, Σέλευκος ὁ

πρῶτος, καὶ τῶν διαδόχων αὐτοῦ Δημήτριος ὁ δεύτερος.— Ἀετοί.) Ὡς ὁ Πύῤῥος.— στ. 15, Ἱέρακες.) Ὥσπερ εἷς τῶν Ἀντιόχων.— στ. 22, Δίκης δὲ καὶ Θέμιδος οὐδενί κ. τ. λ.) Ἀντὶ τοῦ, Οὐδέν, ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἔγραψαν, Οὐδενί. Οὐ πάνυ δ' εὐσύνετον τὸ λεγόμενον, διὰ τὸ ἐπαγόμενον, Μεταλαγχάνει. Εἰ μὲν γὰρ ἐπὶ τῆς συνήθους σημασίας τοῦ Μεταλαμβάνει τέταχε τὴν λέξιν ὁ Πλούταρχος, ἔσται ὁ νοῦς, Οὐδενὶ ἑτέρῳ, πλὴν τῷ φρονεῖν καὶ λογίζεσθαι, μεταλαμβάνει δίκης καὶ Θέμιδος ὁ Θεὸς, ἤ, Δίκαιός ἐστιν ὁ Θεὸς δὶ οὐδὲν ἕτερον, ἢ διὰ τὸ λογικὸς καὶ φρόνιμος εἶναι. Εἰ δὲ Ῥωμαΐσας, ὥσπερ καὶ ὁ Αἰλιανὸς (Πρόδρ. Ἑλλ. Βιβλιοθ. σελ. 333), ἐπὶ τοῦ Μεταδίδωσιν ἐχρήσατο τῷ Μεταλαγχάνει, ἔσται τὸ λεγόμενον, Οὐδενὶ μεταδίδωσιν ὁ Θεὸς δίκης καὶ Θέμιδος, πλὴν τῷ λογικῷ καὶ φρονίμῳ ζώῳ, τουτέστι τῷ ἀνθρώπῳ, τῶν μὲν ἀπαρεμφάτων, ἀντ' ἀῤῥημένων ὀνομάτων, τούτων δὲ πάλιν ἀντὶ συγκεκριμένων, λαμβανομένων· ἤ, Οὐδενὶ μεταδίδωσι δίκης, ἢ διὰ τοῦ φρονεῖν καὶ λογίζεσθαι, τουτέστιν, Ἐκείνοις μόνοις μεταδίδωσι δίκης, οἷς καὶ λόγου καὶ φρονήσεως μετέδωκε.

ΣΕΛΙΔ. 246, στ. 1, Ἐφ' ἡμῖν.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἐν ἡμῖν.— Κακῶς φρονοῦντες.) Ἴσον ἐνθάδε δύναται τῷ, Ἀγνοοῦντες, συναπτόμενον τῷ ἐπαγομένῳ, Ὡς, καθὰ καὶ παρὰ Ἰσοκράτει (Μέρ. Β, Πίνακ. λέξ. Κακῶς εἰδότες) τὸ, Κακῶς εἰδότες.— στ. 2, Τύχη.) Εὐτυχία (Ἴδε Ἰσοκράτ. Β, σελ. 213). — Μεγάλη.(Ἐκ Δ. Γ. προσέθηκαν τὴν λέξιν οἱ πρὸ ἐμοῦ.—στ. 3, Τῷ δ' οὖν.) Δ. Γ. Τῷ γ' οὖν.—στ. 6, Ἐμβαλόντος.) Δ. Γ. Διαθιδόντος (ἐξ ἀμείνονος δηλονότι τῆς Διαδόντος).—στ. 8, Κατεσκευασμένος.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Κατασκευσάμενος. — στ. 10, Τοῖς ὄνομα καὶ δόξαν. . . ἔχουσι.) Τῇ ὀνομασίᾳ δόξαν... ἐχούσῃ.—στ. 22, Τὸ ὄρακον.) Ἐξ Η.Δ. ἀντὶ τοῦ, Τὸν ὄρακον.— Διαλεχθέντες.) Εἰσὶν οἳ γράφειν παρήνεσαν Διαλλαχθέντες. — Στ. 29, Δρυφράκτοις.) Δ. Γ. Δρυφάκτοις. Καὶ γὰρ οὐ πάνυ τι δῆλον εἴτε παρὰ τὸ Δρῦς καὶ Φράσσω, δι' εὐφωνίαν πλειτάκις παραλειπομένου τοῦ ἑτέρου ρ, εἴτε παρὰ τὸ Δρυφάσσω.

ΣΕΛΙΔ. 247, στ. 1, Γράψαντες.) Δ. Γ. Φέροντες.— Στ. 8, αὐτόν.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Αὐτῷ.—Στ. 11, Ἐγγράψαι.) Δ. Γ. Ἐπιγράψαι. — Στ. 26, Αἱ βαρβαρικαί.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καὶ βαρβαρικαί. — Στ. 27, Τὰς νήσους.) Δ. Γ. Τὴν νῆσον.

ΣΕΛΙΔ. 248, στ. 8, Καὶ Κατόπιν.) Ἀμιότος ἐξέφρασεν ὥσπερ ἂν εἰ ἐγέγραπτο, Καὶ ἔμπροσθεν καὶ κατόπιν· οὐδετέρου μέντοι χρεία, ἐξαρκοῦντος τοῦ, Ἐν κύκλῳ — Στ. 11, Λέλειπται.) Ἐκ Δ. Γ. οἱ πρὸ

ἡμῶν, ἀντὶ τοῦ, Λείπεται.—στ. 12. Μέν.) Ἐξ Η. Δ. ἡ προσθήκη.—στ. 27, Πολιτῶν.) Ὁπλιτῶν, ἔγραψαν ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, καθὰ φέρεται καὶ παρὰ Ἡροδότῳ (Η, 41).

ΣΕΛΙΔ. 249, στ. 2, Καθιερωθῆναι.) Δ. Γ. Καθιερευθῆναι.—στ. 9, Εἶναι τό) Δ. Γ. Εἶναι καὶ τό. — στ. 14, Ἐκβάλωσι.) Ἐκβαλοῦσι, εἶπεν ἂν ἀττικώτερον, εἰ ἀττικισμῶν ἐφρόντιζε Πλούταρχος.—στ. 15, Τραπῇ.) Δ. Γ. Τρέψηται.—στ. 21, Μαχιμώτατον.) Δ. Γ. Δοκιμώτατον.—στ. 30, Ἐκ ποδῶν.) Η. Δ. ἀντὶ τοῦ, Ἐκποδών.

ΣΕΛΙΔ. 250, στ. 14, Ἐκέλευε.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἐκέλευσε.—στ. 75, Οὔτε ὑπὸ γῆν.) Δ. Γ. Οὔθ' ὑπὸ γην.—στ. 19, Τῶν ἠσεβημένων.) Τῶν ἠτιμασμένων. —στ. 25, Προεμένοις.) Ἴσ. γρ. Προϊεμένοις.—στ. 27, Ῥαθυμεῖν.) "Ἀργεῖν καὶ τρυφᾶν, παρὰ ,, τὸ ῥᾷσα τῷ θυμῷ διδόναι,, , ὡς ἐξηγεῖται ὁ ἡμέτερος Φώτιος (λέξ. Ῥαθυμεῖν), καὶ ὁ ἐξ αὐτοῦ παρειληφὼς Σουίδας. Ἡ δὲ συνήθεια μετὰ τῆς προθέσεως ἐπὶ τῆς αὐτῆς σημασίας, Ξεραθυμῶ, λέγει.

ΣΕΛΙΔ. 251, στ. 2, Ἔφασκον.) Δ. Γ. Ἔφασαν. — στ. 3, Ξένους γὰρ ἐκάλουν τοὺς Πέρσας.) Καὶ ἁπλῶς τοὺς βαρβάρους, τουτέστι τοὺς μὴ Ἕλληνας· καὶ ἦν παρ' αὐτοῖς τὸ Ξένος συνώνυμον τῷ, Ἐχθρός. Ὅθεν καὶ παρὰ τοῖς πολλὰ τῶν Λακωνικῶν παρειληφόσι Ῥωμαίοις τὸ Hostis, δηλοῦν πάλαι τὸν ξένον, εἰς τὴν τοῦ, Ἐχθρὸς, τῷ χρόνῳ μετέπεσε σημασίαν.—στ. 7, Μυρωνίδης.) Δ. Γ. Κυρωνίδης. — στ. 14, Διά.) Δ. Γ. Διὰ τό. — Μέγεθος.) Μῆκος, ὥδε σημαίνει. — στ. 15, Ἑκάστη.) Γράφε, Ἑκάστῃ κατὰ δοτικὴν, καθάπερ ἔγραψαν καὶ οἱ πρὸ ἐμοῦ διορθώσαντες.—στ. 21, Σφραγίτισι.) Μνημονεύει τούτων καὶ ἐν τοῖς Συμποσιακοῖς (Δ, 10), ὅπου καὶ γράφεται, Σφαγίτισι. Ἀλλ' ἴσως γραπτέον ὧδέ τε κἀκεῖ, Σφραγιδίτισι· παρὰ γὰρ τὸ ἄντρον τὸ καλούμενον Σφραγίδιον, περὶ οὗ ἔπιθι τὸν Παυσανίαν (Θ, γ').—στ. 23, Ἐν γᾷ ἰδίᾳ.) Δ.Γ. Ἐν τῇ ἰδίᾳ. — στ. 26, Σφραγιτιδῶν.) Καὶ ὧδε ἴσως, Σφραγιδιτίδων.

ΣΕΛΙΔ. 252, στ. 7, Διαμαρτάνειν.) Δ. Γ. Διαμαρτεῖν.—στ. 12, Τῶν Ὑσιῶν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τῶν Νυσίων.—στ. 18, Αὐτοῦ.) Δ.Γ. Ταύτῃ.—στ. 19, Πυκνῶν καὶ συσκίων.) Δ. Γ. Πυκνῷ καὶ συσκίῳ.—στ. 23, Ὥστ' ἐν οἰκείᾳ.) Ἐξ Η. Δ. ἡ προσθήκη τοῦ, Ὥςε, ὅπερ ἐξέφρασαν καὶ οἱ μεταφρασταί.—στ. 30, Ἐπέδωκαν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀπέδωκαν.

ΣΕΛΙΔ. 353, στ. 1, Ἀθηναίοις δὲ Τεγεάται.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἀθηναῖοι δὲ Τεγεάταις. — στ. 12, Ὡς οὗτος ὁ ἀγὼν

κ. τ. λ.) Εἰς θέον ἂν μετενέγκαις ἀπὸ τῶν πάλαι ἐφ' ἡμᾶς τοὺς νῦν Ἕλληνας, οἷς οὐ κατὰ βαρβάρων ὥσπερ ἐκείνοις, ἀλλὰ κατὰ τοῦ βαρβαρισμοῦ τῆς Ἑλλάδος ὁ πόλεμος, ἐπᾴδων ἁπαξάπασι τοὺς καλλίστους τούτους τῶν προγόνων λόγους, " Οὗτος ὁ ἀγὼν δείξει καὶ πόλιν καὶ ἄρχοντα καὶ ἰδιώτην, ὁπόσου τοῖς Ἕλλησιν ἄξιός ἐστι,,. — στ. 26, Ἀγνοούμενον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀγνοοῦντας. — Στ. 29, Δύο μέν, οἷς πρώτοις... Ἀχαρνεῖς, ᾤχοντο φεύγοντες.) Δ. Γ. Δύο μὲν τοῖς πρώτοις... Ἀχαρνεῖς, οἳ καὶ ᾤχοντο φεύγοντες.

ΣΕΛΙΔ. 254, στ. 11, Καὶ προσβολὰς ἐχούσης πανταχόθεν.) Πανταχόθεν δυναμένης προσβάλλειν, ὡς ἡρμήνευσεν Ἀμιότος. Ὁ δὲ Λατῖνος μεταφραστὴς, ὥσπερ ἂν εἰ ἐγέγραπτο (δίχα συνδέσμου), Προσβολὰς ἔχοντας πανταχόθεν, πρὸς τὸ, Αὐτοὺς, δηλονότι· καθὰ καὶ ἀλλαχοῦ (Λουκουλλ. § 12) Πλούταρχος, Προσβολὴν ἔχουσαν νῆσον, εἶπε, τὴν ᾗ προσβάλλειν δυνατόν ἐστι. — στ 21, Προσαγωνίσασθαι.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ Προαγωνίσασθαι.—στ. 24, Ὑφ' ἑαυτόν.) Δ.Γ. Ὑπ' αὐτῷ.—στ. 26, Διεσκευασμένων.) Δ. Γ. Διασκευασαμένων.

ΣΕΛΙΔ. 255, στ. 10, Ἔκειρον.) Γράφε, Ἔκειραν, ὡς ἡρμήνευσεν Ἀμιότος, καὶ ὑπαγορεύει ἡ κακὴ Δ. Γ. Ἔκειρας. — στ. 26, Δὲ κινδύνων.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Δὲ ἐκ κινδύνων. — στ. 27, Ἐκπλήξειεν ὑμᾶς χεῖρον ἀγωνίσασθαι.) Παραλέλειπτέ τι, ἢ τῶν γραφέων, ἢ αὐτοῦ Πλουτάρχου, πλημμελείᾳ· τὸ γὰρ συνηρτημένον ὤφειλεν εἶναι, Ἐκπλήξειεν ὑμᾶς, ὥστε χεῖρον ἀγωνίσασθαι, ἢ Ποιήσειεν ὑμᾶς χεῖρον ἀγωνίσασθαι, ἤ τι ἕτερον τοιοῦτον.

ΣΕΛΙΔ. 256, στ. 4, Αὐτόν.) Μόνον· κατὰ τὸ (Ἰλιάδ. Θ. 99),

Τυδείδης δ', αὐτός περ ἐών, προμάχοισιν ἐμίχθη.

Ἔσωσε δὲ καὶ ἡ συνήθεια, ἐν ἐνίαις γε φράσεσι, οἷον, Ἔξευρέ το ἀτός σου. Τὸ γὰρ ἡμέτερον, Ἀτός, παρὰ τὸ Αὐτός ἐστι, ἢ κατὰ βαρβαρισμὸν, ἢ καὶ κατ' ἀρχαίαν διάλεκτον περιαιρεθέντος τοῦ υ· καὶ παρ' ἐκείνοις γὰρ εὕρηται ἡ τοιαύτη περιαίρεσις ἐν τῷ Ἀτὰρ, συγγενεῖ καὶ συνωνύμῳ συνδέσμῳ τῷ Αὐτὰρ. Καὶ ἑρμηνευέσθω ἐν παρέργῳ δύο τοῦ Πλάτωνος χωρία, τὸ μὲν ἐκ τοῦ Περὶ νόμων ὀγδόου (σελ. 836), " Περὶ δὲ τῶν ,, ἐρώτων (αὐτοὶ γὰρ ἐσμὲν), ἐναντιοῦνται παντάπασιν ,,· τὸ δὲ ἐκ τοῦ Παρμενίδου (σελ. 137) " Ὅμως δὲ δεῖ ΓΑΡ χαρίζεσθαι, ,, ἐπειδὴ καὶ ὁ Ζήνων λέγει· Οἱ αὐτοὶ γὰρ ἐσμέν ,,. Ἐν ἀμφοτέροις γὰρ τούτοις τὸ, Αὐτοὶ, ἐπὶ τοῦ Μόνοι τεταγμένον, μὴ συνέντες, τοῦ μὲν πρώτου τρέπειν παρήνουν τινὲς τὸ Ἐσμὲν εἰς τὸ Ἴσμεν, ἐν

τῷ δευτέρῳ δὲ, ἀντὶ τοῦ, Αὐτοὶ, οἱ μὲν γραπτέον εἶναι εἴκασαν, Παῦροι, οἱ δὲ ἔγραψαν ἐνάρθρως, μηδενὸς συναγορεύοντος ἀντιγράφου, Οἱ αὐτοί. Περιελὼν οὖν τὸ ἄρθρον, πρὸς δὲ, καὶ τὸν εἰς οὐδὲν χρήσιμον πρῶτον ΓΑΡ, γράφε, "Ὅμως δὲ δεῖ χαρίζεσθαι, ἐπειδὴ καὶ ,, ὁ Ζήνων λέγει· αὐτοὶ γάρ ἐσμέν,,.—στ. 14, Ὡς Ἡρόδοτος ἱστορεῖ.) Καὶ μὴν, ἀποδεχόμενος ὧδε τὰ Ἡροδότῳ ἱστορημένα, ἀλλαχοῦ (Περὶ της Ἡροδότ. κακοηθ. § 42) ψευδολογίας ἐγράψατο τὸν ἱστορικότα, ὡς μήποτ' ὤφελεν, ὁ χρηστὸς Πλούταρχος.—στ. 20, Ἀγνώμονα,) Δ. Γ. Πολυπράγμονα.

ΣΕΛΙΔ. 257 στ. 7, Ὡς ἐκείνοις.) Τὸ, Ἐκείνοις, οἱ μὲν, πρὸς τοὺς Σπαρτιάτας ἰδίως, οἱ δὲ, πρὸς τοὺς ἐν Μαραθῶνι νικήσαντας τῶν Ἀθηναίων, οἱ δὲ, κοινῇ πρὸς τοὺς ἄλλους Ἕλληνας, πλὴν Ἀθηναίων, οἱ δὲ (ὃ καὶ ἄμεινον), πρὸς τοὺς Πέρσας, ἀναφέρεσθαι ὑπέλαβον. Ὁ νοῦς, Ὁ ἀγὼν ἡμῖν οὐ μόνον ὑπὲρ χώρας καὶ πόλεως, τουτέστιν ὑπὲρ τοῦ φυλάξαι τὴν ἡμετέραν χώραν καὶ πόλιν, ὥσπερ ἐστὶ τοῖς Πέρσαις ὑπὲρ τοῦ λαβεῖν αὐτάς.—στ. 17, Εὐθύς.) Περιαιρετέον ἔδοξεν εἶναι τὸ Εὐθὺς τοῖς πρὸ ἡμῶν, λεῖπον καὶ ἐν ἐνίοις τῶν ἀντιγράφων. Ἄμεινον δὲ τρέπειν εἰς τὸ, Αὖθις, περιαιροῦντας τὴν διείργουσαν αὐτὸ τοῦ, Ἐξ ἀρχῆς, στιγμὴν, ἵν' ᾖ, Ἐξ ἀρχῆς αὖθις, οἷς καὶ ἀλλαχοῦ συνημμένοις κέχρηται Πλούταρχος.—στ. 20, Ἐνυδρον.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Εὔυδρον.

ΣΕΛΙΔ. 258, στ. 12, Ἐκλιπόντες.) Δ. Γ. Ἐκλελοιπότες.—στ. 14, Ἐσομένης.) Δ. Γ. Γενησομένης.

ΣΕΛΙΔ. 259, στ. 19, Ἐφάνη τὰ ἱερά.) χρηστὰ δηλονότι. — Οἱ μάντεις ἐμήνυον.) Δ. Γ. Ὁ μάντις ἔφραζε.—στ. 24, Μαχομένους.) Γράφε, Μαχουμένους, ὥσπερ ἡρμήνευσαν καὶ οἱ μεταφρασταί.

ΣΕΛΙΔ. 260, στ. 6, Προχωροῦσιν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Προσχωροῦσιν.—στ. 12, Συντεταγμένους ἐπὶ τὴν μάχην.) Ἴσ. γρ. Συντεταμένους ἐπὶ τὴν μάχην (τουτέστι, Συντόνως φερομένους ἐπὶ τὸ μάχεσθαι), ὡς ἔδοξέ τινι τῶν πρὸ ἡμῶν.—στ. 21, Ἀρίμνηστος.) Δ.Γ. Διάμνηστος.

ΣΕΛΙΔ. 261, στ. 12, Σφραγίτισι.) Ἐπιθι τὰ ἀνωτέρω (σελ. 445) περὶ τούτου σημειωθέντα.—στ. 21, Εὐτόλμῳ ψυχᾶς λήματι πειθόμενοι.) Ἐκ τῶν ἀλλαχοῦ (Περὶ τῆς Ἡροδότ. κακοηθ. § 42) εἰρημένων Πλουτάρχῳ προσετέθη τὸ λεῖπον ἐνθάδε πεντάμετρον τοῦτο.—στ. 22, Ἐλευθέρα.) Δ.Γ. Ἐλεύθερον.—στ. 24, Τετράδι.) Ἀλλαχοῦ δὲ (Καμιλλ. § 19, καὶ Πότερον Ἀθην. κατὰ πόλεμ. κτλ. § 7), Τρίτῃ, εἴρηκε.

ΣΕΛΙΔ. 262, στ. 6, Ἐφεῖναι.) Ἐ Δ, Γ. Ἀντὶ τοῦ, Ἀφεῖναι. —στ. 8, Ἑτέρα.) Εἰσὶν οἱ γεγράφθαι πάλαι ὑπετόπασαν, Οὐδετέρα τουτέστιν, οὔτε τῇ Ἀθηναίων, οὔτε τῇ Λακεδαιμονίων πόλει. — στ. 12, Ἀρέσαντα θαυμαστόν.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἀρέσαντα καὶ θαυμαστόν. — στ. 18, Ὠκοδόμησαν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἀνῳκοδόμησαν.—στ. 27, Πλαταιέων.) Πλατανῶν, ἔοικεν ἀναγνῶναι Ἀμιότος.

ΣΕΛΙΔ. 263, στ. 2, Ἀνύσας.) Δ. Γ. Κατανύσας.—στ. 3, Ἀράμενοι.) Δ. Γ. Ἀγάμενοι.—στ. 23, Παρά.) Δ. Γ. Παρὰ τοῖς. — στ. 27, Κρωσσούς.) Ἡσύχιος, " Κρωσσοί, ὑδρίαι, στάμνοι, λήκυθοι,,. Ἐντεῦθεν δ' ἴσως καὶ τὸ Γαλατικὸν, Cruche. — στ. 28, Ἕξεσι.) Δ. Γ. Θέμις ἐστὶ—στ. 29, Πρασάψασθαι.) Δ. Γ. Προσψαύσασθαι (ἐξ ἀμείνονος ἴσως γραφῆς τῆς, Προσψαῦσαι).

ΣΕΛΙΔ. 264, στ. 8, Αἱμακουρίαν.) Ἐξ Ε. Δ ἀντὶ τοῦ Αἱμοκουρίαν. — στ. 20, Τῷ Ἀριστείδῃ.) Δ. Γ. Τῷ Ἀριστείδῃ τοῦ Θεμιστοκλέους.—στ. 27, Πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ὁ ἀνὴρ πιστὸς καὶ βέβαιος, ἢ τῆς Δ. Γ. Πιστὸς ἀνὴρ καὶ βέβαιος, ἣν προείλοντο οἱ πρὸ ἐμοῦ.

ΣΕΛΙΔ. 265, στ. 13, Βουλομένου.) Δ. Γ. Βουληθέντος.—στ. 19, Ἀποκριναμένου.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἀποκρινομένου.—στ. 20, Τότε ἀναγκαῖον.) Ἐκ Δ.Γ. Προσέθηκα τὸν σύνδεσμον.—στ. 21, Ἐάσει.) Δ.Γ. Ἐάσειε.—στ. 23, Ἀνταγόραν.) Δ.Γ. Αὐταγόραν: Ἀρταγόραν.

ΣΕΛΙΔ. 266, στ. 4, Ἐπαύσαντο στρατηγούς.) Ἐκ τῆς Ἀμιότου μεταφράσεως, ἀντὶ τοῦ, Ἔπαυσαν τοὺς στρατηγούς.—στ. 8, Ταχθῆναι.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀχθῆναι.—στ. 10, Ἐπισκεψάμενον.) Δ. Γ. Ἐπισκεψαμένῳ.—στ. 26, Οὐχ οὕτω ... ὡς τὸν δῆμον κ.τ.λ.) Σημειοῦ τὸ ἀσυνάρτητον καὶ ἥκιστα ἀκριβὲς τῆς φράσεως. Ὁ γὰρ νοῦς, Οὐ τοσοῦτον ἕνεκα τοῦ πολέμου, διὰ μῆκος καὶ τύχας δαπανηροῦ γενομένου καὶ πολυτελοῦς, ὅσον διὰ τὸ προαγαγεῖν τὸν δῆμον εἰς διανομάς κ.τ.λ.

ΣΕΛΙΔ. 267, στ. 15, Δεομένης.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Δεομένην.—στ. 16, Βουλευομένων.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Βουλευομένῳ. —στ. 27, Προερχόμενον.) Ἐκ τῆς Λατινικῆς τε καὶ τῆς Γαλλικῆς μεταφράσεως, ἀντὶ τοῦ Προσερχόμενον.

ΣΕΛΙΔ. 268, στ. 9, Αἰσχύνεσθαι δὲ πενίαν.) Ἀμιότος ἐκφράζει, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Αἰσχύνεσθαι δὲ δεῖν πενίαν· καὶ ἴσως ἄμεινον οὕτω.—στ. 24, Οὔτ' ἀπέλαυσεν.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Οὐδ' ἀπέλαυσεν.—στ. 26, Ἐκπλεύσαντα.) Δ.Γ. Εἰσπλεύσαντα.

ΣΕΛΙΔ.

ΣΕΛΙΔ. 269, στ. 6, Ἔχοντα.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἔχοντος. — στ. 8, Παρέσχεν.) Δ. Γ. Παρέσχηκεν.—στ. 25, Ἀπέταξεν.) Σημειοῦ τὴν χρῆσιν τοῦ, Ἀποτάσσειν, ἢ καὶ τοῦ ἁπλοῦ, Τάσσειν παρὸ ὃ τὸ τῆς συνηθείας Ταγήνιον, ὅπερ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 103) σεσημείωται. — στ. 27, Ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις.) Πεντακοσίας δραχμάς, ὥσπερ ἐστὶν ἀναλέξασθαι ἀλλαχόθεν (Πλουτάρχ. Μέρ. Α. σελ. 165, ἐμ. ἐκδ.)

ΣΕΛΙΔ. 270, στ. 7, Ἰακχεῖον.) Δ. Γ. Ἰάκχιον. — στ. 9, Τὸν δῆμον διδόναι.) Δ. Γ. Τὸν δῆμον τροφὴν διδόναι. — στ. 10, Δραχμήν.) Δ. Γ. (τρισὶ λέξεσι) Ἀντὶ τριωβόλου δραχμήν.

ΜΑΡΚΟΣ ΚΑΤΩΝ.

ΣΕΛΙΔ. 271, στ. 8, Δημοσίου.) Ἐκ Δ. Γ. (συνάδοντος καὶ τοῦ Ἀμιώτου) οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Δήμου. — στ. 9, Γένους δόξαν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Γένους μὲν δόξαν.—στ. 12, Ἀρχήν.) Δ. Γ. Ἀρχάς.— στ. 15, Κάτον.) Ἐκ τῆς Λατινικῆς μεταφράσεως, ἀντὶ τοῦ, Κάτωνα. Τοῦτο μὲν γὰρ κύριόν ἐστιν ὄνομα (Ῥωμαΐστὶ Cato)· τὸ δὲ, παρὸ ὃ παρήχθη, Κάτος (Ῥωμαΐστὶ Catus), ἐπίθετον, σημαῖνον τὸν ἔμπειρον, ἢ, ὡς ἑρμηνεύεται ἐν ἀρχαίαις γλώσσαις, ,, τὸν ὀξύν, ,, τὸν δεδιδαγμένον ,,. — στ. 20, Τὴν δὲ τοῦ σώματος ἕξιν... πάνυ χρηστικὴν εἶχε.) Τοιοῦτον εἶχε τὸ σῶμα, ὥστε χρῆσθαι αὐτῷ δύνασθαι πρὸς ἅπαντα. —στ. 23, Καὶ τῶν καλῶν οὐ μόνον ἀναγκαίων κ.τ.λ.) Δ. Γ. Καὶ τῶν καλῶν, οὐ μόνον ἀναγκαίων. Τὸ χωρίον οὐκ ἔῤῥωται· δῆλον δὲ ἐκ τοῦ ἄλλως ἄλλους αὐτὸ ἐξηγήσασθαι. Ἴσως γραπτέον περιελόντας τὴν ἄρνησιν, Καὶ τῶν καλῶν μόνον ἀναγκαίων, ἵν' ᾖ ὁ νοῦς τοῦ λεγομένου καὶ ἡ συνάρτησις, Ἐξηρτύετο δὲ καὶ παρεσκευάζετο τὸν λόγον, ὥσπερ δεύτερον σῶμα, καὶ ὥσπερ τῶν καλῶν ὄργανον μόνον ἀναγκαῖον ἀνδρὶ μὴ ταπεινῶς βιωσομένῳ.

ΣΕΛΙΔ. 272, στ. 1, Ῥήτωρ ἱκανός.) Οὐδὲ τοῦτο τὸ χωρίον ἔῤῥωται. Ἴσως γραπτέον, Ῥήτωρ ἱκανὸς ἀπέβη, προστιθέντας τὸ λεῖπον εἰς ἀπάρτισιν τοῦ λόγου ῥῆμα, ὅπερ ἐξέφρασέ πως καὶ Ἀμιότος. — στ. 5, Ὡς μέγιστον ἀγαπῶν.) Ἐξεῤῥύη τι τοῦ χωρίου· ὅπερ ἀναπληροῦν ἐστιν ἴσως γράφοντας, Ὡς μέγιστον τῶν ἀγαθῶν ἀγαπῶν.—στ. 18, Παραθέντι.) Ἴσως γρ. Παρατιθέντι.—στ. 20, Γενόμενος.) Ἴσ. γρ. Γινόμενος.— στ. 22, Τῆς ἰσχύος.) Ἐκ Δ. Γ. προσέθηκα τὸ ἄρθρον. —Ἐπιλάθοι.) Ἴσ. γρ. ὡς καὶ οἱ πρὸ ἡμῶν ὑπετόπασαν, Ἐπιβάλοι.

τουτέστιν ἐπὶ τῷ ὕδατι βάλοι.—στ. 24, Μανίου.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Μαρκίου.

ΣΕΛΙΔ. 273, στ. 11, Ταῦτα.) Ἴσ. γρ. Ταὐτὰ, ὥσπερ ἐξέφρασε καὶ Ἀμιότος.

ΣΕΛΙΔ. 274, στ. 8, Πολλὴν δέ.) Ἐξ Η.Δ. ἀντὶ τοῦ, Πολλήν τε. Ἡ δὲ σύγχυσις διὰ τὸ μὴ ἀκριβὲς τῆς τοῦ λόγου συναρτήσεως, περὶ ἣν ἁμαρτάνει πολλάκις ὁ Πλούταρχος. Ἀντιδιέξαλται γὰρ ἡ διὰ τοῦ Οὐαλερίου προστεθεῖσα τιμὴ καὶ δύναμις τῷ Κάτωνι, πρὸς ὃν αὐτὸς ἑαυτῷ ἐκτήσατο διὰ τῶν συνηγοριῶν θαυμασμόν.—στ. 17, Φθονεῖσθαι.) Ὑπὸ τοῦ Φαβίου. Ἐπιθι τὰ ἀλλαχοῦ (Μαξιμ. Φαβ. § 25) Πλουτάρχῳ εἰρημένα.—στ. 22, Φάμενος.) Δ. Γ. Φάσκων.—στ. 23 Ἐφ' ἡδονάς.) Δ. Γ. Εἰς ἡδονάς.—στ. 28, Φθοράν τε.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Φοράν τε.

ΣΕΛΙΔ. 275, στ. 5, Διαίτης.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Δαπάνης.—στ. 12, Ἀφελές.) Δ.Γ. Εὐτελές.—στ. 19, Ὑπό.) Ἐξ Ε.Δ. συναδούσης Ἀμιότῳ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Καὶ ὑπό.

ΣΕΛΙΔ. 276, στ. 12, Ἀτενοῦς.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀγεννοῦς.—στ. 18, Ζώων, ὥσπερ ἐκ κ. τ. λ.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ γραφομένου καὶ σιζομένου, Ζῶων. Ὥσπερ γὰρ ἐκ.—στ. 19, Πόνου.) Δ. Γ. Χρόνου.—στ. 20, Σκυλακεῖαι.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Σκυλακίαι.—στ. 28, Αἷς.) Δ.Γ. Οἷς.

ΣΕΛΙΔ. 277, στ. 3, Τοῖς ψυχήν.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τὴν ψυχήν.—στ. 10, Γεγενημένον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Γενησόμενον.—στ. 22, Περὶ δεῖπνα δαπάναις.) Ἐξ Ε. Δ. περιεῖλον τὸν σύνδεσμον τῆς κοινῆς γραφῆς, Περὶ δεῖπνα καὶ δαπάναις.

ΣΕΛΙΔ 278, στ. 6, Ὥσπερ ὁ Πλάτων.) Ἐν τῷ Συμποσίῳ (σελ. 215).—στ. 7, Ἔνδοθεν δέ.) Ἐξάλειψον τὸν σύνδεσμον, λείποντα καὶ ἐν ἐνίοις τῶν ἀντιγράφων.—στ. 9, Οὐκ οἶδα, τί.) Δ. Γ. Οὐκ οἶδ' ὅ, τι. Αἰνίττεται δὲ Κικέρωνα· οὗτος γάρ ἐστιν ὁ Λυσίᾳ τὸν Κάτωνα παρεικάσας, ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν ἐνδόξων ῥητόρων, ἢ Βρούτῳ (κεφ. 16).—στ. 11, Ῥωμαϊκῶν.) Δ. Γ. Ῥητορικῶν.—στ. 19, Πολυτελείας.) Οὕτω καὶ ἐν τοῖς Ἀποφθέγμασι. Ἐν δὲ Δ. Γ. Πολιτείας· ὃ καὶ Ἀμιότος ἐξέφρασε.—στ. 27, Τοῦτο μὲν οὖν ἐστιν ἐκ τῶν Θεμιστοκλέους.) Ὥσπερ τὸ μικρὸν ἀνωτέρω "Οἷς οὐκ ἂν ἀξιώσαιτε ,, συμβούλοις κ. τ. λ. ,, ἐκ τῶν Ἰσοκράτους τοῦ ῥήτορος.

ΣΕΛΙΔ. 279, στ. 11, Μὴ πλανηθῶσιν.) Σημειοῦ τὴν ἔλλειψιν,

ἀντὶ τοῦ, Ἵνα μὴ πλανηθῶσιν, ἢ τοῦ, Φοβουμένους μὴ πλανηθῶσιν, σπάνιον παρὰ τοῖς Ἕλλησιν, συνήθη δὲ μάλιστα τοῖς Ῥωμαίοις· οὕτω γὰρ ἐκεῖνοι χρῶνται τῷ Ne ἀντὶ τοῦ Ut non, ἐκφράζοντες τοῦτο δὴ τὸ, Μὴ πλανηθῶσιν, διὰ τοῦ Ne errent.— στ. 20, Εὐμένους.) Ἐξ Η. Δ. ἀντὶ τοῦ Εὐμενοῦς· κύριον γάρ ἐστιν ὄνομα ἐνθάδε, οὐκ ἐπίθετον.—στ. 21, Ὑπεδέξατο.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Ἀπεδέξατο. — στ. 25, Σαρκοφάγον.) Αἰνίττεται δηλονότι τὸ τοῦ ποιητοῦ (Ἰλιάδ. Α, 231) "Δημοβόρος Βασιλεύς ,,. — στ. 27, Μάνιον. Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Μάρκον.—στ. 30, Εὖ πράξας.) Ἐφ' ἧς σημασίας καὶ ἡ παρὰ Ἰσοκράτει (Β, σελ. 152) Εὐπραγία, ἐπὶ ταύτης καὶ τὸ, Εὖ πράξας, ὧδε, οὐκ ἐπὶ τοῦ μᾶλλον συνήθους.

ΣΕΛΙΔ. 280, στ. 6, Ἔλεγε.) Δ. Γ. Εἶπε. — στ. 7, Μήτε πόδας, μήτε κεφαλήν, μήτε καρδίαν, ἔχουσαν.) Τὸ μὲν πόδας, δῆλον ὅτι πρὸς τὸν πυθαγορικὸν, ὥσπερ καὶ τὸ Κεφαλήν, πρὸς τὸν ἀνατρηθέντα ταύτην· τὸ δὲ Καρδίαν, τίνα σχέσιν ἔχοι πρὸς τὸ Μωρὸς, οὐκ ἂν εἰδείη ὁ τῆς Ῥωμαίων φωνῆς ἄπειρος. Ὥσπερ οὖν παρ' ἡμῖν αἱ φρενες, καὶ τὸ ἐν τῷ σώματι διάφραγμα τὸ διεῖργον τὴν τοῦ στήθους κοιλότητα, τῆς κάτω κοιλίας σημαίνει, καὶ αὐτὸν τὸν νοῦν (ὅθεν καὶ Ἄφρονα καλοῦμεν τὸν μὴ ἔχοντα φρένας, τουτέστι νοῦν), οὕτω καὶ τὸ παρὰ τοῖς Ῥωμαίοις Cor (παρὰ τὸ Ἑλληνικὸν Κῆρ), καὶ τὴν ἐν τῷ σώματι καρδίαν, καὶ τὴν φρόνησιν δηλοῖ. Ὅθεν καὶ ὁ παρ' ἐκείνοις τὸν μωρὸν δηλῶν, Excors, ἢ Vecors, Ἀκάρδιος εἴρηται πολλαχοῦ τῆς Παλαιᾶς διαθήκης· οἷόν ἐστι (Παροιμ. ιζ', 16), "Κτήσασθαι γάρ ,, σοφίαν ἀκάρδιος οὐ δυνήσεται ,,, ἡμῶν νῦν τὸν Ἀκάρδιον (καὶ κατὰ συγκοπὴν Ἄκαρδον) ἐπὶ τοῦ δειλοῦ τασσόντων. Ἡ δὲ ἀπὸ τοῦ σωματικοῦ σπλάγχνου, ἐπὶ τὴν φρόνησιν μεταφορὰ ἀπὸ δόξης ἔλαβε τὴν ἀρχὴν τῶν ἡγησαμένων τὴν ἐν ἀνθρώπῳ φρόνησιν, ἐν αὐτῇ τῇ καρδίᾳ κεῖσθαι. Οὕτω γὰρ ὁ τὸ εἰς Ἱπποκράτην ἀναφερόμενον Περὶ καρδίης Βιβλίον (Ἱπποκράτ. Τόμ. Α, σελ. 293) συγγράψας φησὶ περὶ τοῦ ἀνθρωπίνου νοῦ, "Γνώμη γάρ ἡ τοῦ ἀνθρώπου πέφυκεν ἐν ,, τῇ λαιῇ κοιλίῃ (τῆς καρδίης), καὶ ἄρχει τῆς ἄλλης ψυχῆς ,,· καὶ ἀλλαχοῦ (Τόμ. Β, σελ. 356) ἐκθηλότερον, "Ὁκόταν οὖν ταῦτα (αἱ ,, φρένες καὶ ἡ καρδία) πληρωθέωσιν, ΕΜΩΡΩΘΗ ἡ καρδίη . . . ἐπι- ,, κάρσιαι γὰρ αἱ φλέβες, καὶ ὁ τόπος ἐπίκαιρος ἔς τε παραφροσύνην ,, καὶ μανίην,,.—Στ. 8, Ἐντευχθείς.) παρακληθείς· ὥσπερ ἐξηγήσατο ἐν τοῖς Ἀπορθέγμασιν. Σημειοῦ δὲ τὴν παθητικὴν χρῆσιν, Ἐντυγχάνομαι, τῶν οὐ τετριμμένων οὖσαν. — Στ. 18, Ὥσπερ τὸν Ὀδυσ.

σία.) Σκοτεινῶς ἐκπεφρασμένον παράδειγμα· διὸ καὶ, κακῷ τὸ κακὸν ἰώμενοι, παρήνεσάν τινες γράφειν μετ' ἀρνήσεως, Οὐχ ὥσπερ τὸν Ὀδυσσέα. Ὁ γὰρ νοῦς ὤφειλεν εἶναι, Τὸν Πολύθιον οὐκ ἀγαπᾷν εὐτυχῶς ἐξελθόντα τῆς Συγκλήτου, ὥσπερ τὸν Ὀδυσσέα τοῦ Κυκλωπείου σπηλαίου, ἀλλὰ βούλεσθαι πάλιν εἰσελθεῖν εἰς αὐτήν, ὥσπερ ἂν εἰ καὶ αὐτὸς Ὀδυσσεὺς εἰς τὸ σπήλαιον ἐπανελθεῖν ἠβουλήθη, πελίον καὶ ζώνην, ἐπιλελησμένα τυχόν, ἐπιζητήσων.—στ. 15, Τοὺς δὲ πόδας ἐν τῷ μάχεσθαι κινοῦντος.) Ἄλλοτ' ἄλλοσε μεταφέροντος, καὶ μὴ ἐν ταὐτῷ μένοντος. Αἰνίττεται δὲ τὸ τοῦ Τυρταίου πρὸς τοὺς μαχομένους παράγγελμα.

Ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι,
Στηριχθεὶς ἐπὶ γῆς. . . . . .

ΣΕΛΙΔ. 281, στ. 5, Πεζεῦσαι.) Σημειοῦ τὸ Πεζεύειν ἀντιδιαστελλόμενον ὧδε, πρὸς τὸ Πλεῖν, οὐ πρὸς τὸ Ἐφ' ἵππου ὀχεῖσθαι, καθὰ καὶ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 60) σεσημείωται ὁ Πεζομάχος ἀντιδιαστελλόμενος πρὸς τὸν Ναυμάχον. Ἡ δὲ συνήθεια τὸ Πεζεύειν καὶ ἐπὶ τοῦ, Ἀφ' ἵππου καταβαίνειν, οὐκ ἀλόγως τέταχε· Πεζὸς γὰρ ἀνθ' ἱππέως γίνεται ὁ καταβεβηκὼς ἀφ' ἵππου.—Ἀδιάθετος.) Μὴ διατεθειμένος τὴν σχολήν (Ἡλιοδώρ. Β, σελ. 101), μὴ διατάξας τὸν καιρὸν, τουτέστι μὴ διορίσας εἰς οἵας πράξεις διατρίβει τῆς ἡμέρας ἐκείνης τὸν χρόνον. Παρὰ δὲ ταῖς Βυζαντινοῖς συγγραφεῦσι, καὶ ἡμῖν μέχρι δεῦρο (καίπερ οὔπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς), ἐπὶ τοῦ πρὶν ἢ διαθέσθαι τὰ ἑαυτοῦ τελευτήσαντος τέτακται τὸ Ἀδιάθετος.—στ. 10, Κίρνης.) Δ. Γ. Κιρνᾶς· ἀμφότερα γὰρ λέγεται, καὶ Κιρνάω, καὶ Κίρνημι. Ἡ δὲ συνήθεια Κερνῶ, παρὰ τὸ Κεράω.—στ. 15, Ἦθος.) Δ. Γ. Εἶδος: Γένος.

ΣΕΛΙΔ. 282, στ. 14, Πάκκος.) Δ. Γ. Πάκκιος.—στ. 22, Λακεταναῶν.) Ἐξ Ε. Δ. καὶ τοῦ Ἀμιότου, ἀντὶ τοῦ, Λικεντανῶν.—στ. 28, Ἀλλὰ τῆς συγκλήτου.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἀλλὰ καὶ συγκλήτου.

ΣΕΛΙΔ. 283, στ. 8, Ἀφ' ἑτέρας.) Ἔνιοι παρήνεσαν γράφειν, Ὡς ἀφ' ἑτέρας, οὐκ ἀλόγως ἐμοὶ δοκεῖν· πλὴν ὅτι προελοίμην ἂν τὸ, Ὥσπερ ἀφ' ἑτέρας, ἤ, Οἷον ἀφ' ἑτέρας.—στ. 15, Ὡς οὐδένα ἕτερον.) Ὤφειλεν εἰπεῖν, Ὡς οὐδεὶς ἕτερος. Καὶ σημείωσαι τὴν ἀρχὴν τῆς ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ ἀσυνταξίας τῶν τοιούτων φράσεων· οἷον Ἔκαμα καὶ ἐγὼ ὡσὰν τοὺς ἄλλους, Δὲν εἶμαι ὡσὰν ἐκεῖνον κ.τ.λ. ἂς εἰς τὸ

καταλληλότερον ἐπανάγειν, οὐδὲν κωλύει.—στ. 16, Νικάτωρ.) Οὕτως ὀρθῶς ἡ Στεφάνειος ἔκδοσις, ἢ χρῶμαι, οὐχ ὡς αἱ πλεῖσται, Νικάνωρ· Ἐπιθι τὰ ἀνωτέρω (σελ. 443) σημειωθέντα.—στ. 18, Ἐπῆρτο.) Δ. Γ. Ὑπῆγετο (ἐξ ἀμείνονος ἴσως ἑτέρας τῆς, Ἠπείγετο).—στ. 20, Μηδέν.) Δ. Γ. Οὐδέν.—στ. 26, Φλαμινῖνος.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Φλαμίνιος.

ΣΕΛΙΔ. 284, στ. 5, Ποστούμιον Ἀλβῖνον.) Ποστούμιον Λαβιῆνον τοῦτον ὀνομάζει ἐν τοῖς Ἀποφθέγμασι. Μακρόβιος δὲ (Κρονικ. Α, σελ. 208), Αὖλον Ἀλβῖνον.—στ. 6, Συγγνώμην αἰτούμενον.) Παρὰ τῶν ἀναγνωσομένων. Ἠτεῖτο δὲ κατ' ἀρχὰς τῆς ἱστορίας τοιούτοις τισὶ τοῖς λόγοις χρησάμενος, ὥς φησιν ὁ Μακρόβιος, "Καὶ μηδεὶς αἰτιάσθω ,, με, εἴ τι μὴ κομψῶς μηδὲ καλῶς γέγραπται· εἰμὶ γὰρ Ῥωμαῖος, καὶ ,, τῆς Ἑλλήνων φωνῆς ἀλλοτριώτατος ,,. Τὴν γελοίαν ταύτην συγγνώμης αἴτησιν ἀναγνοὺς ὁ Κάτων, ἀστείως πάνυ ἐπήγαγε, τὸ "Δοτέον εἶναι ,, τὴν συγγνώμην, εἰ τῶν Ἀμφικτυόνων κ.τ.λ. ,,. Τοῦτο καὶ τῶν παρ' ἡμῖν βαρβάρως ἑλληνιζόντων ἐνίοις ἐπαξέον θαμινὰ εἴπως ἀνανήψαιεν, ἐκ τῆς τῶν καλῶν γραμματικῶν μέθης, "Δοτέον συγγνώμην σοι, ,, ἀμουσότατε Γραμματικέ, εἰ, τοῦ Σουλτάνου προστάξαντος, ἀναγ- ,, κασθεὶς ὑπέμεινας γράφειν ἑλληνιστί, ὃς οὐδὲ τῇ πᾶσι κοινῇ γλώσσῃ ,, χρῆσθαι οἷός τε εἶ ,,.—στ. 8, Φησι.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Φασι—στ. 13, Φράξας.) Δ.Γ. Ἐμφράξας.—στ. 14, Προσβαλών.) Ἐκ Δ. Γ. καὶ τοῦ Ἀμιότου, ἀντὶ τοῦ, Περιβαλών, ὅπερ οἱ πρὸ ἐμοῦ ἔτρεψαν εἰς τὸ, Προβαλών.—στ. 15, Ἐκκεκλεικέναι.) Ἐκ διορθώσεως (συναδούσης Ἀμιότῳ) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐκκεκλικέναι. —στ. 17, Περιήλυσιν.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περιειλησιν. Ἔστι δὲ ἡ Περιήλυσις, περίοδος, ὥσπερ ἐξηγεῖται Ἡσύχιος· ὃν ἐφεισθω διορθῶσαι καὶ ἑρμηνεῦσαι καὶ ἐν τοῖσδε, "Εἰσηλούσιον, ,, τίμημα εἰσόδου, ἢ τέλος ,,. Γραπτέον, Εἰσηλύσιον (πλὴν εἰ μὴ δωρικῶς τέτραπται εἰς τὴν ου δίφθογγον τὸ υ), καὶ ἐκδεκτέον ἐπὶ τοῦ κατατιθεμένου τοῖς τελώναις τιμήματος, διὰ τὴν εἴς τινα πόλιν ἢ χώραν εἰσήλυσιν, τουτέστιν εἴσοδον, τοῦ παρὰ τοῖς Γάλλοις καλουμένου droit d' entrée. —στ. 25, Κολωνοῖς.) Ἐξ Η.Δ. ἀντὶ τοῦ (περὶ οὗ καὶ οἱ πρὸ ἡμῶν ἠπόρησαν), Κοτίνοις. Λέλεκται δὲ συνωνύμως τῷ ἐπιφερομένῳ Πάγοις. Καὶ γὰρ Κολωνὸς μέν, ἡ Κολώνη (παρὸ τὸ τῶν Ῥωμαίων Collis καὶ τὸ τῶν Γάλλων Colline) ἐστὶ "τόπος ,, ὕψος ἔχων, ἐπανάστημα γῆς βουνοειδὲς ,,. Πάγος δὲ, "Ὄχθος, ,, βουνὸς, ἐξοχὴ τῶν πετρῶν καὶ τῶν ὀρῶν ,, ὡς ἐξηγεῖται Ἡσύχιος.

ΣΕΛΙΔ. 285, στ. 1, Προαγαγόντες.) Δ. Γ. Προάγοντες. —στ. 9, Φιρμιανούς.) Φιρμανοὺς ὤφειλεν εἰπεῖν, ὡς ἐσημειώσαντο οἱ πρὸ ἡμῶν· ἡ γὰρ πόλις Φίρμον, οὐ Φίρμιον, καλεῖται.—στ. 13, Ἡ τάξις, ἡ παρασκευή.) Ἐξ Η. Δ. συνάδοντος καὶ τοῦ Ἀμιότου, ἀντὶ τοῦ, Ἡ τάξις, ἢ παρασκευή.— στ. 14, Ἁρπασμα τάχους.) Δ. Γ. Ἅρπαγμα δὴ τάχους.—στ. 19, Ἐνεχείρισαν.) Ἐξ Ε. Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐνεχείρησαν.—στ. 21, Αὐτοῦ.) Ἴσ. γρ. Αὐτῶν· τουτέστι τῶν στρατιωτῶν, ἐλλειπτικῶς τῆς, Ἐκ.—στ. 26, Ἐνεπίμπλασαν ἅπαντα.) Δ. Γ. Κατεμπίμπλασαν ἅπαντας.

ΣΕΛΙΔ. 286, στ. 3, Ἀποτόμων.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἀποτόμως.—στ. 27, Αἱ ἐλλογιμώταται.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ προσέθηκαν τὸ ἄρθρον.—στ. 24, Τὸ περί.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τότε περί.—στ. 27, Ἄλλους.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Ὅλως.

ΣΕΛΙΔ. 287, στ. 5, Ἠτιμωκότι.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Ἠτιμηκότι.—στ. 16, Σερουίου.) Ἐκ Δ. Γ. καὶ τοῦ Ἀμιότου, ἀντὶ τοῦ, Σερουϊλίου.—Ἐννενήκοντα.) Ὥσπερ καὶ ὁ Λίβιος· Κικέρων δὲ καὶ Πλίνιος πέντε πρὸς τοῖς ὀγδοήκοντα ἔτη βιῶσαι μόνα τὸν Κάτωνα παραδεδώκασι.—στ. 18, Διερισάμενος.) Ὅπερ ἡ συνήθεια, Συνερισάμενος, λέγει παρὰ τὸ, Συνερίζομαι.—στ. 20, Ἐκείνου.) Δ. Γ. Ἐκείνῳ.—στ. 24, Τῆς πολιτείας ἐπιτελείωσις.) Ἐκ Δ.Γ. καὶ ἑτέρου παραλλήλου χωρίου (Τ. Κ. Φλαμιν. § 18, σελ. 350), ἀντὶ τοῦ, Τῆς πολιτείας ἁπάσης ἐπιτελείωσις.

ΣΕΛΙΔ. 288, στ. 5, Οὐσιῶν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ, Θυσιῶν.—στ. 26, Ὁρᾶν.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὁρῶν.—στ. 27, Ἄρξοντας.) Ἐξ Η.Δ. (ἢ συνάδουσι καὶ οἱ μεταφρασταί), ἀντὶ τοῦ, Ἄρξαντας.

ΣΕΛΙΔ. 289, στ. 3, Προέγραψε.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Προσέγραψε.—Τῆς συγκλήτου.) Ἐκ Δ.Γ. καὶ ἑτέρου παραλλήλου χωρίου τοῦ Πλουτάρχου (Τ. Κ. Φλαμιν. § 18), ἀντὶ τοῦ, Τῇ συγκλήτῳ. —στ. 5, Ἄλλους τε συχνούς.) Ἑπτά, ὥσπερ ἱστορεῖ Λίβιος (ΛΘ, 42). —Κοίντιον.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Κόϊντον.—στ. 21, Παραζῆναι.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Εἰσαχθῆναι.—στ. 30, Κατέφυγε.) Ἐξ Η.Δ. συναδόντων καὶ τῶν μεταφραστῶν, ἀντὶ τοῦ, Κατέφευγε.

ΣΕΛΙΔ. 290, στ. 16, Σκιπίωνι.) Δ.Γ. (ἢ συνάδει καὶ Ἀμιότος), Σκιπίωνι τεθνηκότι.—στ. 22, Ὑπερτιμᾶσθαι.) Ἐξ Ε.Δ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑποτιμᾶσθαι. Δ. Γ. Ἀποτιμᾶσθαι.—στ. 25, Τοῖς χιλίοις.)

Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Πρὸς τοῖς χιλίοις.—στ. 27, Ἀπαγορεύσωσιν.) Δ.Γ. Ἀπογορεύωσιν.

ΣΕΛΙΔ. 291, στ. 10, Ἐπεισόδιος.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐπεισόδιον.—στ. 17, Οἱ δέ.) Οἱ γάρ, γραπτέον εἶναι οὐκ ἀλόγως ἡγήσαντο οἱ πρὸ ἡμῶν.—στ. 21, Παρώξυνον.) Γράφε, Παρώξυναν, καθάπερ ἡρμήνευσαν καὶ οἱ μεταφραστάι.—Προσκαλέσασθαι.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ (οὐ καλῶς οἶμαι ποιοῦντες), ἀντὶ τοῦ Προκαλέσασθαι.—στ. 29, Τὰ χείρω.) Δ.Γ. Τὸ χεῖρον.

ΣΕΛΙΔ. 292, στ. 13, Ἐπαριστερούς.) Γράφε βαρυτόνως, Ἐπαριστέρους. Ἡσύχιος, " Ἐπαρίστερα, κακά, ἀηδῆ ,,. Ἡ δὲ λέξις τοῦ παρακμάζοντος ἑλληνισμοῦ (Φρύνιχ. σελ. 110), τῶν δοκιμωτέρων Σκαιοὺς καλούντων τοὺς οὐκ ἐμμελῶς τι πράττοντας, μετενεχθείσης τῆς λέξεως ἐκ τῆς κατὰ τὰς χεῖρας σκαιότητος ἢ ἀριστερότητος, καθάπερ καὶ τὸ παρὰ τοῖς Γάλλοις παραπλήσιον μεταφορᾷ λεγόμενον gauche.—στ. 17, Ἃ δὴ καί.) Ἐξ Η.Δ. ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου· ὁ γὰρ νοῦς, Ἃ δὴ οὐ μόνον ὑπ' αὐτοῦ Κάτωνος (τοῦ πλεῖστα πάντων ἑαυτὸν ἐγκωμιάζειν εἰωθότος) ἐλέγετο, ἀλλὰ καὶ παρ' ἑτέρων αὐτῷ μαρτυρεῖται, ὥσπερ ἐξέφρασεν Ἀμιότος.

ΣΕΛΙΔ. 293, στ. 20, Αἰσχρά.) Ἐκ Δ.Γ. ἀντὶ τοῦ, Αἴσχιστα.—στ. 27, Καλὸν ἔργον.) Ἐξαλεῖψαι τὰς δύο ταύτας λέξεις τοῦ χωρίου τοῦδε τοῖς πρὸ ἡμῶν ἔδοξε. Καὶ ἡμῖν δὲ συνδοκεῖ· οὔτε μὴν διὰ τὰς αὐτὰς αἰτίας, ἀλλ' ὅτι ἀναγνώστου προσγραφὴ ἔοικεν εἶναι ἐπισημαινομένου καὶ ἐγκρίνοντος τὸ περὶ τῆς τοῦ παιδὸς πλάσεως, ὥσπερ ἂν εἰ καὶ ἐπεφώνει, " Καλὸν ἔργον ἔπραττες, Κάτων, εἰς ἀρετὴν πλάττων ,, τὸν υἱόν ,,.

ΣΕΛΙΔ. 294, στ. 4, Ἐξολισθόντος.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἐξολισθέντος.—στ. 6, Σάγμασιν.) Ἐπὶ τοῦ Σωροῖς, ἢ φορτίοις, ἐνθάδε. Ἄλλως δὲ σημαίνει τὸ ἔλυτρον τῆς ἀσπίδος, ὡς ἐξηγεῖται Ἡσύχιος· πρὸς δὲ, καὶ τὸ ἐπίβλημα τῶν ὑποζυγίων. Ὃ γὰρ ἐπὶ ἵππων Ἐφίππειον λέγεται, τοῦτο ἐπὶ ὄνου, ἢ ἡμιόνου, Σάγμα καλεῖται, ἢ δῆλον ἐξ Αἰσχύλου (Προμ. δεσμ. 462),

Κνώδαλα
Ζεύγλῃσι δουλεύοντα, σάγμασίν θ',

καὶ ἐκ τῆς παρ' ἡμῖν συνηθείας, χρωμένοις τῷ, Σαγμάριον, ἐπὶ τῆς αὐτῆς ἐννοίας. Καὶ διορθοῦσθω ὁ Δουκάγγιος (λέξ. Σαμάρια) ἐν παρόδῳ, " Καὶ καταλιπὼν σαμάρια πολλὰ καὶ τετράποδα, ἀνεχώρησεν

,, εἰς ΤΟ ΠΟΔΑΣΟΥ καὶ κατάσκιον,,. Γραπτέον γὰρ δηλονότι ΤΟΠΟΝ ΔΑΣΥΝ. — στ. 20, Ἀπεκρίνετο.) Ἐξ Η. Δ. συναδούσης Ἀμιότῳ, ἀντὶ τοῦ, Ἀπεκρίνατο.

ΣΕΛΙΔ. 295, στ. 7, Συντονώτερον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Συντονωτέρου.—στ. 10, Ἐργατησίαν χώραν.) Τί βούλεται Πλούταρχῳ ἡ Ἐργατησία χώρα, οὔθ' οἱ πρὸ ἐμοῦ νοῆσαι ἴσχυσαν, κἀγὼ μετ' ἐκείνων ἀγνοῶ· ὤφειλε γάρ, πᾶν τοὐναντίον, Ἀνέργαστον χώραν, εἰπεῖν, ὡς ἐσημειώσατο ὁ φίλος Σνειθέρος ἐν τῷ Λεξικῷ. Σκοπεῖν οὖν χρὴ, μήποτε γραπτέον, Ἐργάταις οἰκείαν χώραν, τὸ, Ἐργάταις, συνωνύμως ἐκλαμβάνοντας τῷ, Τεχνίταις—Στ. 30, Ἦλθον.) Δ.Γ. Ἧκον.

ΣΕΛΙΔ. 296, στ. 1, Φιλόσοφον.) Γράφε, Φιλόσοφοι, ὡς ὑπονοεῖν παρέχει ἡ τοῦ Ἀμιότου μετάφρασις, καὶ ὁ λόγος αἱρεῖ· οὐ γὰρ ὁ Διογένης μόνος, ἀλλὰ καὶ ὁ Καρνεάδης φιλόσοφος ἦν. Αἰλιανὸς δὲ (Ποικ. ἱς. Γ, ιή.) Καρνεάδην καὶ Κριτόλαον ὀνομάζει τούτους, ἐλλείψας δηλονότι κἀκεῖνος ἑνί, ὥσπερ ὁ Πλούταρχος· τρεῖς γὰρ ἦσαν οἱ πρεσβεύσαντες εἰς Ῥώμην Ἀθήνηθεν, Καρνεάδης, Διογένης, καὶ Κριτόλαος ὁ περιπατητικὸς, ὥς φησιν Αὖλος Γέλλιος (Νυκτ. Ἀττικ. Ζ, 14). — στ. 13, Ἤρεσκε.) Ἐξ Η. Δ. συναδόντων καὶ τῶν μεταφραστῶν, ἀντὶ τοῦ, Ἤρεσε.

ΣΕΛΙΔ. 297. στ. 2, Ὅσγε καὶ Σωκράτη κ. τ. λ.) Πρόσεχε νέε, μή σε λογισμῶν ἐκστήσῃ Κάτων, ταὐτὰ σχεδὸν, ἅπερ Ἄνυτός ποτε καὶ Μέλιτος, Σωκράτους κατηγορῶν· ἀλλ' ἀκριβῶς ἐπιστήσας ἑκατέρου τῷ βίῳ, οὕτω τὴν ψῆφον φέρε. Καὶ τὸν μὲν ἑκουσίως πενόμενον, καὶ πρᾴως ἅπασι καὶ φιλανθρώπως χρώμενον Σωκράτη, θεῖον ἀληθῶς ἄνδρα λογίζου· τὸν δὲ τοκιστὴν, καὶ τῶν οἰκετῶν ὠμότατον κολαστὴν ἀποστρέφου Κάτωνα. — στ. 7, Παρὰ Μίνῳ.) Ἐκ Δ. Γ. καὶ τῆς Ἀμιότου μεταφράσεως προσέθηκα τὰς λέξεις.— στ. 10, Προμαντεύων.) Τοῦ παρακμάζοντος ἡ λέξις ἑλληνισμοῦ, καὶ τῆς παρ' ἡμῖν συνηθείας· τῶν γὰρ παρὰ τοῖς ἀρχαίοις καλουμένων ἀποθετικῶν, τουτέστι τῶν ἐλλειπόντων τῷ ἐνεργητικῷ τύπῳ, ἐστὶ τὸ Μαντεύομαι.—στ. 17, Μεγάλου.) Ἐκ Δ. Γ. προσέθηκα τὴν λέξιν. —στ. 21, Καὶ πρὸς τοῦτο.) Ἐξ Η. Δ. (δόξαν τοῦτο καὶ τοῖς πρὸ ἡμῶν), ἀντὶ τοῦ, Καὶ τοῖς πρὸς τοῦτο.

ΣΕΛΙΔ. 298, στ. 8, Ἐμβλέψας δέ.) Δ. Γ. Ἐμβλέψας δέ πως.—στ. 11, Σαλωνῖνον. Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Σαλώνιον.—στ. 16, Δυσχεραίνοιτο.) Ἐξ Ε. Δ. ἀντὶ τοῦ, Μὴ δυσχεραίνοιτο· περιττὴ γὰρ ἡ δευτέρα ἀπαγόρευσις.—στ. 19, Πελάτιν.) "Πελάτης ὁ ἀντιτροφῶν ,, καὶ ὑπηρετῶν (γρ. ἀντὶ τροφῶν ὑπηρετῶν) καὶ προσπελάζων,,, ὡς

ἐξηγεῖται Φώτιος. Ἐνταῦθα δὲ Πελάτιν τὴν κόρην ἐκάλεσεν, ὡς θυγατέρα τοῦ ὑπογραμματεύσαντος Σαλωνίνου, οἷον εἰ καὶ ἔλεγεν, Οἰκέτιν. Τοιοῦτοι δὲ παρὰ Ρωμαίοις ἦσαν, οὓς ἀλλαχοῦ (Μέρ. Α, σελ. 44, καὶ 370) Πλούταρχος Κλίεντας Ρωμαΐζει ὠνόμασε. — στ. 28, Ἐπάγεται.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ὑπάγεται.

ΣΕΛΙΔ. 299, στ. 4, Ἰωφῶντα.) Ἄμεινον ἂν γράφοιτο, Ἰορῶντα. —στ. 5, Σαλωνῖνον.) Ἐκ Δ.Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Σαλώνιον.— στ. 24, Σκευασίας.) Δ.Γ. ἢ μᾶλλον ἐξήγησις, Ἐργασίας.—στ. 28, Μόνοις.) Δ.Γ. Μόνον.—στ. 30, Συντετυχηκώς.) Δ.Γ. Ἐντετυχηκώς.

ΣΕΛΙΔ. 300, στ. 24, Πολέμων.) Δ.Γ. Πολεμεῖν· ἣν προείλοντο οἱ πρὸ ἐμοῦ.—Προανακινεῖσθαι κ. τ. λ.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Προσανακινεῖσθαι. Οἱ πρὸ ἡμῶν εἴκασαν γεγράφθαι πάλαι, Προακινᾶσθαι τοῖς Νομαδικοῖς ἐπὶ τοὺς κ. τ. λ.) Ἴσως γραπτέον, Προαναιρούεσθαι (ἀπὸ μετεφορᾶς τῶν μουσικῶν ὀργάνων)· τοῦτο γὰρ ἐξέφρασαν καὶ οἱ μεταφραστάι.—στ. 26, Περιμένοντος.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Περιμένοντας, ὅπερ ὀρθῶς ἂν εἶχεν, εἰ ἀντὶ τοῦ, Κεῖσθαι, ἐγέγραπτο, Θέσθαι.

ΣΕΛΙΔ. 301, στ. 7, Ῥέψει.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ῥέψει.—στ. 14, Καὶ κεκολασμένην.) Ἐκ Δ. Γ. προσέθηκα τὸν σύνδεσμον.—στ. 16, Ἀπολιπόντας.) Ἄμεινον ἂν γράφοις κατὰ παράτασιν, Ἀπολείποντας. Ὁ δὲ νοῦς, ὃν ἄλλως ἄλλοι ἐξεδέξαντο, οὗτος ἂν εἴη, Δεινὸν ἐφαίνετο τῷ Κάτωνι τὸ μὴ παντάπασιν ἀνελεῖν τοὺς ἔξωθεν φόβους, τουτέστι τὸ μὴ καταστρέψαι τοὺς Καρχηδονίους, ὧν ἀπαλλαττομένοις τοῦ φόβου Ρωμαίοις ἀναφορὰ γοῦν ἀπελείποντο πρὸς τὰς οἰκοθεν ἁμαρτίας, τουτέστιν, ἀνενεγκεῖν αὐτοῖς, ὥσπερ ἐκ νόσου, τῶν οἰκοι σφαλμάτων ὑπῆρχε. — στ. 23, Οἷος πέπνυται κ. τ. λ.) Ἐκ τῆς Ὁμήρου Ἰλιάδος (Κ. 495).—στ. 26, Παρωνύμιον.) Ἐκ Δ. Γ. καὶ ἑτέρων παραλλήλων χωρίων (ἀνωτέρ. σελ. 299, καὶ Μέρ. Α, σελ. 132) ἀντὶ τοῦ Παρώνυμον. Διορθούσθω ἐν παρόδῳ καὶ Ἱπποκράτης (Ἐπιδημ. ς, Τμ. ἡ, σελ. 822) "Σάτυρος ἐν Θάσῳ, ΠΑΡΩΝΟ-,, ΜΙΟΝ ἐκαλεῖτο Γρυπαλώπηξ ,,· Παρωνύμιον γὰρ καὶ παρ' ἐκείνῳ γραπτέον.

ΣΕΛΙΔ. 302, στ. 2, Ὅλῳ.) Δ. Γ. Ὅλῳ βίῳ.—στ. 10, Τὸ τῶν Πεντακοσιομεδίμνων.) Ἐκ Δ. Γ. καὶ Ε. Δ. ἀντὶ τοῦ διῃρημένου καὶ μονάρθρου, Τῶν πεντακοσίων μεδίμνων. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Α, σελ. 417) σημειωθέντα.—στ. 18, Νομάς.) Ἢ γραπτέον, Διανομάς, ἢ πάντως ἐπὶ τούτου ἐκληπτέον.—στ. 21, Πέντε

γάρ ἢ τριῶν ταλάντων.) Δ. Γ. Πέντε γάρ ἡμιταλάντων (ὅ ἐστι δύο ταλάντων καὶ ἡμίσεως). Ἀμιότος δ' ἐξέφρασε, Πέντε γάρ, ἢ τεττάρων ταλάντων. Ὀρθῶς ἔχειν οἶμαι τὸ, Πέντε γάρ ἡμιταλάντων, ὡς ἧττον ἀπᾴδον ὢν ἐν ἄλλοις (Θεμιστοκλ. § 25) εἴρηκε Πλούταρχος.—στ. 23, Σερουίους.) Ἐξ Ε.Δ. (συναδούσης τῇ ἐν τῇ σελ. 454 γραφῇ) ἀντὶ τοῦ, Σερουιλίους. Δ. Γ. Σερβίους.

ΣΕΛΙΔ. 303, στ. 5, καὶ 6, Δεύτερος.) Ἐκ Δ. Γ. ἀντὶ τοῦ, Δεύτερον, οἱ πρὸ ἐμοῦ. —στ. 7, Ὑπερβαλόμενος.) Ἐκ διορθώσεως οἱ πρὸ ἐμοῦ ἀντὶ τοῦ Ὑπερβαλλόμενος.—στ. 9, Μὲν ἔχει.) Ἐξ Ε. Δ. προσέθηκα τὸν σύνδεσμον.—στ. 20, Αὖθις.) "Αὖθις . . . μετὰ ,, ταῦτα,,", Ἡσύχιος.—στ. 21, Περὶ δὲ τήν.) Δ.Γ. Τὰ δὲ περὶ τήν. —στ. 28, Τοῦ βίου) Τὸν βίον γράφειν δεῖν εἴκασάν τινες οὐκ ἀπιθάνως, ἵν' ᾖ, Τὸ χρηστῶς βιοῦν ἀμυντήριον ἔχων.

ΣΕΛΙΔ. 304, στ. 7, Εὐθενούντων.) Δ. Γ. Εὐσθενούντων. —στ. 18, Πολλὰ καὶ χρήσιμα.) Κατὰ τὸ, Πολλὰ καὶ καλά. Περὶ οὗ ἔπιθι τὸν Πίνακα Ἰσοκράτους (λέξ. Πολύς).—Συλλεξάμενος.) Δ. Γ. Συνταξάμενος.—στ. 24, Ἔργον δέ μοι . . . καὶ οἵγοί.) Ἐκ τῆς Ὀδυσσείας (Ξ, 222-225).—στ. 29, Τοὔλαιον . . . βλαβερώτατον.) Τὸ μὴ χρηστὸν, ἢ τὸ μὴ καλῶς ἐσκευασμένον. Ἄλλως δὲ, "Ἔλαιον, καὶ ὅσα ,, ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα ,,, ὥς φησιν Ἱπποκράτης (Περὶ παθ. § 50, σελ. 193).

ΣΕΛΙΔ. 305, στ. 15, Δημοσιεύοντι ταῖς ἀρεταῖς ἁπάσαις.) Τουτέστι, Τὰ δημόσια πράττοντι μετὰ πασῶν τῶν ἀρετῶν, ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο. Ἔστι δὲ τοῦτο, τὸ παντὸς λήμματος ἀλλότριον εἶναι, τὸ μὴ πρὸς ἔριν, μηδὲ πρὸς φθόνον ἑτέρων πολιτεύεσθαι, τὸ δίκαιον ἐν ἅπασιν ἑαυτὸν παρέχειν, καὶ τὰ τοιαῦτα.—στ. 17, Οὐ γάρ ἔστι κ. τ. λ.) Ἐκ τοῦ Δημοσθένους (Περὶ Συντάξ. σελ. 173), "Εστι δ' ,, οὐδέποτ', οἶμαι, δυνατὸν, μικρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ ,, νεανικὸν φρόνημα λαβεῖν ,,.—στ. 19, Αὐτάρκεια.) Ἐνάρθρως γεγράφθαι τὸ πάλαι, Ἡ αὐτάρκεια, καὶ οἱ πρὸ ἡμῶν ὑπενόησαν.— στ. 21, Ἀπροσδεής . . . τελειότατον.) Τοῦθ' ὃ καὶ Σωκράτης ἔλεγε (παρὰ τῷ Ξενοφ. Ἀπομνημ. Α, ς' , 10), "'Ἐγὼ δὲ νομίζω τὸ μὲν ,, μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ ,, θείου· καίτοι τὸ μὲν θεῖον κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ,, ἐγγυτάτω τοῦ κρατίστου. ,,—στ. 27, Ἀλλ' εἴτε μὴ θεῖται, τῇ παρασκευῇ ὧν οὐκ ὀρέγεται, μάταιος.) Τῇ παρασκευῇ, ἔγραψαν οἱ πρὸ ἐμοῦ, ἐκ τῆς Λατινικῆς ὡρμημένοι μεταφράσεως, ἀντὶ τοῦ, Τῆς

παρασκευῆς, κατὰ τοιόνδε νοῦν, Εἴτε μὴ χρείαν ἔχει, μάταιός ἐστι διὰ τὴν παρασκευὴν ὧν οὐκ ὀρέγεται. Τῆς δὲ κατὰ γενικὴν γραφῆς τοιοῦτος ἂν εἴη ὁ νοῦς, Εἴτε μὴ χρείαν ἔχει τῆς παρασκευῆς ὧν οὐκ ὀρέγεται, μάταιός ἐστιν.

ΣΕΛΙΔ. 306, στ. 9, Τοσαῦτα.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τοσαυτάκις.

ΣΕΛΙΔ. 307, στ. 9, Ἡ.) Ἐξ Η. Δ. ἀντὶ τοῦ, Ἤ. Δ. Γ. Ἐν ᾗ.—στ. 14, Ἄθικτον.) Ἐκ Δ. Γ. οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἄμικτον.

ΦΙΛΟΠΟΙΜΗΝ.

